Mi : Parisinus 2899, saec. XV.
Mj : Parisinus 2900, saec. XV.
Mk : Parisinus 2902, saec. XVI uel XVI.
Ml : Vindobonensis philologicus graecus 152, saec. XV.
Mm : Laudanus 10, saec. XIV uel XV.
Mn : Ambrosianus 91, saec. XV.
Mo : Barberinus 47, saec. XV.

Singvli codices.

T : Triuultianus 775, saec. XV.
V : Vaticanus 1745, saec. XVI.

Digitized by Google

AESOPI FABVLAE AD LITTERAM DIGESTAE

1

Ἀγαθὰ καὶ κακά.

Ὑπὸ τῶν κακῶν τὰ ἀγαθὰ ἐδιώχθη ὡς ἀσθενῆ ὄντα· εἰς οὐρανὸν δὲ ἀνῆλθεν. Τὰ δὲ ἀγαθὰ ἠρώτησαν τὸν Δία πῶς εἶναι μετ' ἀνθρώπων. Ὁ δὲ εἶπεν ⟨μὴ⟩ μετ' ἀλλήλων πάντα, ἓν δὲ καθ' ἓν τοῖς ἀνθρώποις ἐπέρχεσθαι. Διὰ τοῦτο τὰ μὲν κακὰ συνεχῆ τοῖς ἀνθρώποις, ὡς πλησίον ὄντα, ἐπέρχεται, τὰ δὲ ἀγαθὰ βράδιον, ἐξ οὐρανοῦ κατιόντα.

Ὅτι ἀγαθῶν μὲν οὐδεὶς ταχέως ἐπιτυγχάνει, ὑπὸ δὲ τῶν κακῶν ἕκαστος καθ' ἑκάστην πλήττεται.

Codd. Ba 137 Mb 16.

1 Ἀγαθὰ πάντα ὑπὸ τῶν κακῶν Mb || **2** ἀνῆλθον Mb || Τὰ δὲ ἀγαθὰ Knöll Τὰ δὲ κακὰ Ba Καὶ τὰ κακὰ Mb || **3** μετ' ἀνθρώποις Ba || μὴ addidit Furia || **8** Ὁ λόγος δηλοῖ ὅτι ἀγαθῶ Mb || Epimythia in Ba sunt ante fabulas; ea post fabulas reposui.

Digitized by Google

2

Ἀγαλματοπώλης.

Ξύλινόν τις Ἑρμῆν κατασκευάσας καὶ προσενεγκὼν εἰς ἀγορὰν ἐπώλει· μηδενὸς δὲ ὠνητοῦ προσιόντος, ἐκκαλέσασθαί τινας βουλόμενος, ἐβόα ὡς ἀγαθοποιὸν δαίμονα καὶ κέρδους δωρητικὸν πιπράσκει. Τῶν δὲ παρατυχόντων τινὸς εἰπόντος πρὸς αὐτόν· « Ὦ οὗτος, καὶ τί τοῦτον τοιοῦτον ὄντα πωλεῖς, δέον τῶν παρ' αὐτοῦ ὠφελειῶν ἀπολαύειν; » ἀπεκρίνατο ὅτι ἐγὼ μὲν ταχείας ὠφελείας τινὸς δέομαι, αὐτὸς δὲ βραδέως εἴωθε τὰ κέρδη περιποιεῖν.

Πρὸς ἄνδρα αἰσχροκερδῆ μηδὲ θεῶν πεφροντικότα ὁ λόγος εὔκαιρος.

Codd. Pa 170 Pb 99 Pc 98 Pe 59 Pf 93 Pg 61 Mb 53 Me 120 Mj 110 Ca 128.

1 Ἑρμῆν τιὴ ξόανον Pe Ἑρμῆν τις ξύλινον Pb Pg Mb || καὶ προσενεγκὼν εἰς ἀγορὰν ἐπώλει Pb Pe ἐπώλει προενεγκὼν τοῦτον ἐν πόλει Pa τοῦτον (τοῦτον om. Ca) προσενεγκὼν (προε- Pf Me) ἐπώλει Pc Pf Mb Me Mj Ca || προσαγαγὼν pro προσενεγκὼν Pg Mb || **2** μὴ δὲ ὠνητοῦ Pf Me μὴ οὖν ὠ- Mj || προιόντος Pg || ἐκκάλεσθαι Pa ἐγκαλέσασθαι Ca ἐκκαλεῖσθαι δὲ Pe || **3** ὡς ἀγαθὸν θεὸν Pe Pg Mb || **4** θεωρητικὸν Pb τηρητικὸν Me Mj Ca || πιπράσκω Pe -κειν Ca || παρατυχόντων τις ἔφη Pb περιτυχόντων τις εἶπε Pe || **5** Ὦ ἄνθρωπε, τί τοιοῦτον (τοῦτον Pe Pg Mb) εὐεργέτην ὄντα Pb Pe Pg Mb Mj || ὄντα τοιοῦτον Ca || **6** δέον ἐστὶ Pb Pg Mb || ἀπολαύειν σε Pb || **7** κἀκεῖνος (κἀκ- om. Pg Mb) ἀπεκρίνατο λέγων ὅτι ταχείας τινὸς ὠφελείας Pb Pg Mb ἀπεκρίνατο δὲ πάλιν λέγων ὅτι ταχείας τινὸς ἄρτι ὠφελείας Pe || τινος ὠφελείας Me || δέομαι Pa Pe ἐπιδέομαι ceteri || **8** οὗτος Mb || οὗτος δὲ βραδέα εἴωθε τὰ κέρδη ἐπιτελεῖν Pe || ποιεῖν Pb Pg Ca || **9** Ὁ μῦθος δηλοῖ πρὸς Mj || μὴ θεῶν Pc || καὶ μηδὲν περὶ θεοῦ πεφροντικότα (φροντίζοντα Mb) Pg Mb καὶ τὸ θεῖον περιφρονοῦντα Me καὶ τῷ θεῷ περιφρονοῦντα Ca || Epimythium deest in Pe || Pb fert : Ὁ λόγος δηλοῖ ὅτι διδόασι κατὰ τῶν ἀμεινόνων τὰ θράση οἱ καιροί, quod pertinet ad fabulam Ἔριφος ἐπὶ δώματος καὶ λύκος.

Digitized by Google

3

Ἀετὸς καὶ ἀλώπηξ.

Ἀετὸς καὶ ἀλώπηξ φιλίαν πρὸς ἀλλήλους ποιησάμενοι πλησίον ἑαυτῶν οἰκεῖν διέγνωσαν, βεβαίωσιν φιλίας τὴν συνήθειαν ποιούμενοι. Καὶ δὴ ὁ μὲν ἀναβὰς ἐπί τι περίμηκες δένδρον ἐνεοττοποιήσατο· ἡ δὲ εἰσελθοῦσα εἰς τὸν ὑποκείμενον θάμνον ἔτεκεν. Ἐξελθούσης δὲ αὐτῆς ποτε ἐπὶ νομήν, ὁ ἀετός, ἀπορῶν τροφῆς, καταπτὰς εἰς τὸν θάμνον καὶ τὰ γεννήματα ἀναρπάσας, μετὰ τῶν ἑαυτοῦ νεοττῶν κατεθοινήσατο. Ἡ δὲ ἀλώπηξ ἐπανελθοῦσα, ὡς ἔγνω τὸ πραχθέν, οὐ ⟨τοσοῦτον⟩ ἐπὶ τῷ τῶν νεοττῶν θανάτῳ ἐλυπήθη ὅσον ἐπὶ τῇ ἀμύνῃ· χερσαία γὰρ οὖσα πετεινὸν διώκειν ἠδυνάτει. Διόπερ πόρρωθεν στᾶσα, ὃ μόνον τοῖς ἀδυνάτοις καὶ ἀσθενέσιν ὑπολείπεται, τῷ ἐχθρῷ κατηρᾶτο. Συνέβη δ᾽ αὐτῷ τῆς εἰς τὴν φιλίαν ἀσεβείας οὐκ εἰς μακρὰν δίκην ὑποσχεῖν· θυόντων γάρ τινων αἶγα ἐπ᾽ ἀγροῦ, καταπτὰς ἀπὸ τοῦ βωμοῦ σπλάγχνον ἔμπυρον ἀνήνεγκεν· οὗ κομισθέντος ἐπὶ τὴν καλιάν, σφοδρὸς ἐμπεσὼν ἄνεμος

Codd. Pa 11 Pb 1 Pd 1 Pf 1 Ph 1 Ma 11 Mb 1 Me 1.

1 φιλεῖν ἀλλήλους συνθέμενοι Pb φιλίαν πρός ἀλλήλους ἀσπασάμενοι Pd || σπεισάμενοι Pf Ph Mb Me σπασάμενοι Ma || **3** ἡγούμενοι pro ποιούμενοι Pf Ph Ma Me || τι om. Ma || **4** ἐνεοττοποίησεν Pd || ἐλθοῦσα Pf || **5** ποτε αὐτῆς Pb Ph Me || αὐτῆς om. Mb || ποτε om. Pd Ma || **6** ὁ ante ἀετός om. Pa || ἀπορῶν om. Pd || **7** καὶ ante τὰ γεννήματα om. Ma || ἀφαρπάσας Pd Pf Ph Mb Me ἀνασπάσας Ma || τῶν αὐτοῦ Pb Pd || **8** καθευθυνύσατο Ma || **9** οὐ <τοσοῦτον> nos οὐ μᾶλλον Pa Pb Ma Mb || οὐ μόνον ἐπὶ τῷ θανάτῳ τῶν τέκνων ἐλυπήθη, ἀλλ᾽ ὅτι οὐχ ἠδύνατο ἀμύνασθαι Pd || οὐχ οὕτως ἐπὶ τῷ (τῷ om. Pf) Pf Ph Me || τῷ θανάτῳ τῶν νεοττῶν κατελυπήθη Ma || ἐπὶ τὰ τῶν νεοττῶν θύματα Mb || **10** ἐπὶ τῆς ἀμύνης Pa Pb ἐπὶ τῷ ἀδυνάτῳ τῆς ἀμύνης Ph || πτηνὸν Pb || **11** ἠδύνατο Pd || Πόρρωθεν δὲ στᾶσα Pf Ph Me || στᾶσα καὶ ἐπὶ τῶν ἀδυνάτων τὸν ἐχθρὸν κατηράσατο Ph Me || ὃ μόνον... ὑπολείπεται om. Pd || τοῖς ἀσθενέσι καὶ ἀδυνάτοις Pb Mb || **12** καὶ ἀσθενέσι om. Pf Me || τὸν ἐχθρὸν Pf Ma || **13** εἰς τὸν φίλον Ph εἰς φιλίαν Me || αὐτῷ... ὑποσχεῖν bis legitur in Pa || **14** μικρὰν Ma || ὑπελθεῖν Pb ὑπέχειν Pf Me || ἐπ᾽ ἀγροῦ αἶγα Pf Me || αἶγα om. Ph || ἐπ᾽ ἀγρόν Ma || **15** ἐκ πυρὸς pro ἔμπυρον Pb ἀνήνεικε Pd ἀπηνέγκατο Ph || **16** οὗ καὶ Pf Ph Me || εἰς τὴν καλιάν Pb.

Digitized by Google

ἐκ λεπτοῦ καὶ παλαίου κάρφους λαμπρὰν φλόγα ἀνῆψε. Καὶ διὰ τοῦτο καταφλεχθέντες οἱ νεοττοὶ (καὶ γὰρ ἦσαν ἔτι ἀτελεῖς οἱ πτηνοὶ) ἐπὶ τὴν γῆν κατέπεσον. Καὶ ἡ ἀλώπηξ προσδραμοῦσα ἐν ὄψει τοῦ ἀετοῦ πάντας αὐτοὺς κατέφαγεν.

Ὁ λόγος δηλοῖ ὅτι οἱ φιλίαν παρασπονδοῦντες, κἂν τὴν τῶν ἠδικημένων ἐκφύγωσι κόλασιν δι' ἀσθένειαν, ἀλλ' οὖν γε τὴν ἐκ θεοῦ τιμωρίαν οὐ διακρούονται.

17 ἀνήνεγκεν pro ἀνῆψεν Ma || **18** Καταφλεχθέντες δὲ οἱ νεοττοὶ Pd || διὰ τούτου Me || **19** ἔτι πτῆναι ἀτελεῖς Pb ἔτι πτηνοὶ εὐτελεῖς Pd ἔτι πτήσεως ἀτέλεστοι Pf Ph Me ἦσαν ἐπίπτηνοι τέλος ἐπὶ τὴν καλιάν. Ἡ ἀλώπηξ δραμοῦσα πάντα κατέφαγεν Ma || πτῆνες ἀτελεῖς Mb || κατέπεσεν Pa || **22** ὅτε pro ὅτι Pb || οἱ ὅρκον καὶ φιλίαν Pf Ph Me || ἡ φιλία Ma || κἂν manus recens ex καὶ effecit in Pa εἰ καὶ Mb || τὴν ἐκ τῶν ἠδικημένων Pa Pd Pf Me || **24** οὐ διακρούεται Pa διακρούονται οὐδ' ὅλως Pb || **22-24** κἂν τῶν ἠδικημένων ἐκφύγωσι τὰς κολάσεις, ἀλλ' οὖν γε τῶν θεικῶν τιμωριῶν οὐ διαφεύγωσιν Ma.

Aliter.

Ἀετὸς καὶ ἀλώπηξ φιλίαν πρὸς ἀλλήλους ποιησάμενοι, πλησίον ἑαυτῶν οἰκεῖν διέγνωσαν, βεβαίωσιν φιλίας τὴν συνήθειαν καὶ τὸ ἐν ταὐτῷ εἶναι ἡγούμενοι. Καὶ δὴ ὁ μὲν ἀναβὰς ἐπί τι περίμηκες δένδρον ἐνεοττοποίησεν· ἡ δὲ εἰσελθοῦσα εἰς τὸν ὑποκείμενον θάμνον ἔτεκεν. Μετ' οὐ πολλὰς δὲ ἡμέρας ἐξελθούσης αὐτῆς ποτε ἐπὶ νομήν, ἀπορῶν ὁ ἀετὸς τροφῆς, καταπτὰς εἰς τὸν θάμνον καὶ τὰ γεννήματα ἁρπάσας, μετὰ τῶν ἑαυτοῦ νεοττῶν κατε

Codd. Ca ι Cb ι Cd ι Ce ι Cf ι Ch ι Mc ι Mk ι.

2 ἑαυτοῖς Cf ἑαυτῶν om. Ce || καὶ βεβαίωσιν Ce || τὴν συνήθειαν om. Ca || ποιήσαντες τὴν συνήθειαν Cd || τὴν συνήθειαν ποιούμενοι (ποιησά- Cf) Ce Cf || **3** ἐν ταὐτῷ ἅμα εἶναι ἡγήσαντο Ce καὶ (καὶ ὡς Cd) ἐν ταὐτῷ ἅμα (ἅμα om. Cb Cd) εἶναι ἡγούμενοι Cb Cd Cf Ch καὶ ἐν ταὐτὰ εἶναι βουλόμενοι Mc || ἐνταῦθα Mk || **4** ἐπὶ μήκιστον δένδρον, libri excepto Ca || τὴν καλιὰν ἐπήξατο Ce || **5** εἰσελθοῦσα κάτωθεν Cb Cd Ce Ch, Mc Mk ἐλθοῦσα κάτωθεν Cf || ἐπικείμενον Cb Cd Mc || ἀπέτεκε Mk || **5-6** Μιᾷ (μιᾶς Cd) οὖν (οὖν om. Cf) τῶν ἡμερῶν ἐξελθούσης τῆς ἀλώπεκος, libri excepto Ca || 7 ὁ ἀετὸς ἀπορῶν τροφῆς Cb Cd, Ce Ch Mk || τὰ γεγεννημένα Ce Cf || **8** κατεθοινήσατο... θανάτῳ om. Cd || ἐτιθηνήσατο Cb Ce Cf ἐθοινήσατο Ch Mc.

θοινήσατο. Ἡ δὲ ἀλώπηξ ἐπανιοῦσα, ὡς ἔγνω τὸ πραχθέν, οὐ τοσοῦτον ἐπὶ τῷ τῶν νεοττῶν θανάτῳ ἐλυπήθη ὅσον ἐπὶ τῇ ἀμύνῃ· χερσαία γὰρ οὖσα πετεινὸν διώκειν ἠδυνάτει. Διόπερ πόρρωθαν στᾶσα, ὃ τοῖς ἀσθενέσι καὶ ἀδυνάτοις ὑπάρχει ἔργον, τὸν ἐχθρὸν κατηρᾶτο. Συνέβη οὖν αὐτοῖς ἀντὶ τῆς πολλῆς ἀγάπης μεγίστην ἐχθρὰν ἐσχηκέναι μεταξὺ ἀλλήλων. Ὁ δὲ θεὸς τῆς εἰς τὴν φιλίαν γενομένης ἀσεβείας οὐκ εἰς μακρὰν δίκην περιέσχε· θυόντων γάρ τινων αἶγα ἐπ᾽ ἀγρῷ, ὁ ἀετὸς καταπτὰς ἀπὸ τοῦ βωμοῦ σπλάγχνον ἔμπυρον ἀνήνεγκεν ἐπὶ τὴν καλιάν· οὗ κομισθέντος ἐπὶ τῇ καλιᾷ, σφοδρὸς ἐνέπεσεν ἄνεμος· ὑπάρχουσα δὲ ἡ καλιὰ ἐκ λεπτοῦ καὶ παλαιοῦ χόρτου λαμπρὰν φλόγα ἀνῆψε. Καὶ διὰ τοῦτο καταφλεχθέντες οἱ νεοττοί, καὶ γὰρ ἦσαν ἔτι πτῆναι ἀτελεῖς, ἐπὶ τὴν γῆν κατέπεσον. Ἡ δὲ ἀλώπηξ προσδραμοῦσα ἐν ὄψει τοῦ ἀετοῦ πάντας αὐτοὺς κατέφαγεν.

Ὁ λόγος δηλοῖ ὅτι οἱ φιλίαν παρασπονδοῦντες, κἂν τὴν

9 ἐλθοῦσα Cb Mc ἐπανελθοῦσα Ce Ch || ἐλθοῦσα καὶ γνοῦσα τὸ γεγενημένον Mk || ὡς om. Cb Mc || τὸ γιγνόμενον Cb τὸ γινό- Mc || **10** οὐχ (οὐχ om. Cf) εἰς τοσοῦτον ἐπὶ τὸν θάνατον τῶν νεοττῶν Ce Cf || μᾶλλον pro τοσοῦτον Ca || τῷ θανάτῳ τῶν νεοττῶν Cb Ch τῷ θανάτῳ τῶν γεγενημένων Mc τῷ θανάτῳ τῶν τέκνων Mk || ὅσον ὅτι ἀμύνασθαι τὸν ἀετὸν ῥαδίως οὐ δύναται Mk || ὅσον ἐπὶ τῇ ἀμύνῃ om. Cd || ἐπὶ τῆς ἀμύνης Cb Cf Ch Mc ἐπὶ τῇ τῆς ἀμύνης ἀπορίᾳ Ce || **11** οὐχ ἠδύνατο libri excepto Ca || **12** τοῖς ἀ. κ. τοῖς ἀδυνάτοις Mk τοῖς ἀδυνάτοις καὶ τοῖς ἀσθενέσιν (ἀσθενοῦσιν Ce Cf) libri exceptis Ca et Mk || **13** ὑπάρχειν Cd || ὑπάρχων ἔργω Cf || κατηράσατο Cb Cd Ch Mc Mk || Συνέβη οὖν ἐκ ταύτης μεγίστην ἐχθράν Ce || Συναίδει οὖν αὐτοὺς τῆς πολλῆς Cf || αὐτοῖς om. Cb Ce Mc Mk || **14** μεταξὺ (ἀλλήλων addit Mk) ἐσχηκέναι, libri excepto Ca || **15** ὁ δὲ θεὸς ... περιέσχε om. libri excepto Ca || **16** θυόντων δὲ Cb Cd Ce Cf Mc || **17** αἰγῶν Mc || αἰγῶν ἐπ᾽ ἀγρῷ Cf || ἐπ᾽ ἀγρὸν Cb Cd Mc || καταπτὰς μέρος τι τῆς αἰγὸς μετὰ καὶ ἐμπύρων ἀνθράκων ἁρπάσας ἐπὶ τὴν ἑαυτοῦ (ἑαυτοῦ om. Ce Cf Mc Mk) καλιὰν ἀνήγαγεν libri excepto Ca || **18** οὗ κομισθέντος ἐπὶ τῇ καλιᾷ nos οὗ κωλυθέντος ἐ- τ- κ- τῇ Ca om. ceteri || **19** ἐνέπεσεν nos ἐμπεσὼν Ca || **19-21** σφοδρός (-ῶς Cd) οὖν (δὲ Mk) ἄνεμος ἐμπνεύσας (πνεύσας Ce Cf Ch) ἐκ λεπτοῦ καὶ παλαιοῦ (παλ-κ-λεπ- Mc) χόρτου οὖσα ἡ καλιὰ (οὖσαν τὴν καλιὰν Mk) λαμπρὰν φλόγα (-γαν Mc) ἀνήγαγεν (ἀνῆψεν Mc ἐποίησεν ἀνενεγκεῖν Mk). Καταφλεχθέντες (-φλεγόμενοι Mk) δὲ οἱ νεοττοὶ libri excepto Ca || **21** καὶ γὰρ .. ἀτελεῖς om. Cb Cd Ce καὶ γὰρ ἦν ἐπιπτήνω Cf καὶ γὰρ ἦσαν ἐπίπτηνοι Ch Mc Mk || **22** ἐπὶ τῆς γῆς Mc || κατέπεσον ἐπὶ τὴν γῆν Cb Cd || **23** δραμοῦσα Cb Cd Ce Cf Mc || ἐν ὄψει αὐτοῦ Ce Cf || πάντας αὐτοῦ τοὺς νεοττοὺς Cd || πάντα (-τας Mk) κατέφαγεν Ce Mk αὐτὰ κατέφαγεν Mc || **25** Ὅτι Cb || Ὁ μῦθος Ce Ch Mc Mk Ὁ μῦθος οὗτος Cf || ἡ φιλίαν Mc.

Digitized by Google

ἐκ τῶν ἠδικημένων ἐκφύγωσιν κόλασιν δι' ἀσθένειαν, ἀλλά γε τὴν ἐκ τοῦ θεοῦ τιμωρίαν οὐ διακρούσονται.

26 ἀδικουμένων Cb Mk || φύγωσι Ce Cf || ἀλλ' οὖν γε τὴν τοῦ θεοῦ Cd Mc ἀλλ' οὖν γε ἐκ θεῶν (θεοῦ Mk) Cε Cf Mk || τὴν τοῦ θεοῦ Cb Mc || **27** διαφεύξονται Cd Mc Mk.

Aliter.

Ἀετὸς καὶ ἀλώπηξ φιλιωθέντες πλησίον ἀλλήλων οἰκεῖν ἔγνωσαν, βεβαίωσιν φιλίας ποιούμενοι τὴν συνήθειαν. Ὁ μὲν οὖν ἐφ' ὑψηλοῦ δένδρου τὴν καλιὰν ἐπήξατο· ἡ δ' ἀλώπηξ ἐν τοῖς ἔγγιστα θάμνοις ἐτεκνοποιήσατο. Ἐπὶ νομὴν οὖν ποτε τῆς ἀλώπεκος προελθούσης, ὁ ἀετός, τροφῆς ἀπορῶν, καταπτὰς ἐπὶ τῶν θάμνων καὶ τὰ τέκνα ταύτης ἀναρπάσας, ἅμα τοῖς αὐτοῦ νεοττοῖς ἐθοινήσατο. Ἡ δ' ἀλώπηξ ἐπανελθοῦσα καὶ τὸ πραχθὲν μαθοῦσα οὐ τοσοῦτον ἐπὶ τῷ τῶν τέκνων ἠνιάθη θανάτῳ ὅσον ἐπὶ τῷ τῆς ἀμύνης ἀπόρῳ· χερσαία γὰρ οὖσα πτηνὸν διώκειν οὐχ οἵα τε ἦν. Διὸ καὶ πόρρωθεν στᾶσα, τοῦθ' ὃ καὶ τοῖς ἀδυνάτοις ἐστὶν εὔπορον, τῷ ἐχθρῷ κατηρᾶτο. Οὐ πολλῷ δ' ὕστερον αἶγά τινων ἐπ' ἀγροῦ θυόντων, καταπτὰς ὁ ἀετὸς μέρος τι τῶν θυμάτων σὺν ἐμπύροις ἄνθραξιν ἥρπασε, κἀπὶ τὴν νεοττιὰν ἤγαγεν. Ἀνέμου δὲ σφοδροῦ πνεύσαντος τηνικαῦτα, καὶ φλογὸς ἀναδοθείσης, οἱ ἀετιδεῖς ἀπτῆνες ἔτι τυγχάνοντες, ὀπτηθέντες εἰς γῆν κατέπεσον. Ἡ δ' ἀλώπηξ ἐπιδραμοῦσα ἐν ὄψει τοῦ ἀετοῦ πάντας κατέφαγεν.

Ὁ μῦθος δηλοῖ ὅτι οἱ φιλίαν παρασπονδοῦντες, κἂν τὴν ἐκ τῶν ἠδικημένων φύγωσι τιμωρίαν δι ἀσθένειαν, ἀλλὰ τήν γε θείαν δίκην οὐ διακρούσονται.

Codd. La 1 Lb 1 Le 1 Lf 1 Lh 1 Md 1 Me 1^{bis} in margine Mf 1 Mg 1 Mi 36 Mj 1 Ml 1 Mm 1.

1 καὶ πλησίον Le Md Mf Mj Ml || καὶ πλησίον ἀλλήλοις Me καὶ πλησίον ἀλλήλων φι Lh || **2** ποιησάμενοι Md Mm || **3** καλλιὰν Md Mm || **4** ἐν om. Md Mi || **5** ποτε om. Lh || προσελθούσης Le || **6** καὶ καταπτὰς Mj || ἐπὶ τὸν θάμνον Lb Le Lf Lh Me Mf Mj ἐπὶ τοὺς θάμνους Md Mi Mm || τὰ τέκνα αὐτῆς Le Md Me || **7** ἁρπάσας Md Mm || **9** ἐπὶ τῷ τέκνων Md || ἐπὶ τῆς ἀμύνης ἀπόρῳ Mi || **11** καὶ om. Md || **13** ἀπ' ἀγροῦ Lh || **15** ἥρπαξε Mg || καὶ ἐπὶ Md Mm || καλιὰν Me || **16** τῆς φλογὸς Md Mm || **17** καταφλεχθέντες Mj ὀπτηθέντες καὶ καταφλεχθέντες Md Mi Mm || **18** δραμοῦσα Md Mi Mm || **19** πάντα Mm || **20** παρασπονδῶντες Mj || **21** ἀλλά γε τὴν Me Mf || **22** διαφεύξονται Mg.

Digitized by Google

Aliter

Φιλίαν ἐσπείσατο πρὸς ἀετὸν ἀλώπηξ, καὶ ὁ μὲν εἶχε τὴν καλιὰν ἐπάνω τοῦ δένδρου, ἡ δὲ ὑπὸ τὴν ῥίζαν. Ὁ δὲ ἀετὸς ἐπιορκήσας τοὺς σκύμνους τῆς ἀλώπεκος τοῖς νεοσσοῖς θοίνην ἔδωκεν. Ἄλλοτε δὲ ἱερεῖον ἐκ τοῦ βωμοῦ ἁρπάσας μετὰ ἄνθρακος ἔθετο εἰς τὴν καλιάν. Ἡ δὲ ἐξήφθη καὶ οἱ νεοσσοὶ κατέπεσον. Καὶ ἡ ἀλώπηξ θήραν ἐποιήσατο τὸ συμβάν.

Ὅτι δίκη τις ἐφορᾷ τὰ τῶν ἀνθρώπων καὶ τοὺς ἐπιόρκους ἀμύνεται καὶ ἀποδίδωσι κατ' ἀξίαν.

Codd. Ba 139 Bb 84.

1 ἐποιήσατο Bb || ὁ μὲν ἀετὸς Bb || **2** ἐπὶ τὴν ῥίζαν Bb || **3** τοῖσδε νεοσσοῖς Ba || **4** Ἀλλ' ὅτε ἱερεῖον Bb || **8** τὰ om. Bb.

4

Ἀετὸς καὶ κάνθαρος.

Ἀετὸς λαγωὸν ἐδίωκεν· ὁ δὲ ἐν ἐρημίᾳ τῶν βοηθησόντων ὑπάρχων, ὃν μόνον ὁ καιρὸς παρέσχε, κάνθαρον ἰδών, τοῦτον ἱκέτευεν. Ὁ δὲ παραθαρσύνας αὐτόν, ὡς ἐγγὺς ἐλθόντα τὸν ἀετὸν ἐθέασατο, παρεκάλει μὴ ἀπάγειν αὐτοῦ τὸν ἱκέτην. Κἀκεῖνος ὑπεριδὼν τὴν μικρότητα ἐν ὄψει τοῦ

Codd. Pa 13 Pb 3 Pd 5 Pf 2 Ph 2 Ma 13 Me 2 Mh 1 Mk 3 — Cb 3 Cc 1 Cd 3 Cf 3 Ch 3.

1 βοηθούντων Pa Cd Cf -θησάτω Pb -θησάντων Pd Ph τοῦ βοηθήσοντος Mk || **2** ἢ μωγῶν ὁ καιρὸς Cf || μόνον om. Cc || ὃν μόνον ... παρέσχε om. Mk || παρεῖχε Pd || κατιδὼν Pd || **3** ἱκέτευσεν Pf || ὃς παραθαρρύνειν αὐτὸν ἐπειρᾶτο· ὡς δὲ ... θεασάμενος Pd || παραθαρσύνας Pa -θαρύναι Cb -θύνας Cd -θαρρύνας ceteri || ὡς om. Cd || **4** ἐλθόντος Ma || εὐετὸν pro ἀετὸν Mk || παρεκάλει αὐτὸν ὁ κάνθαρος (ὁ κ- om. Mk) μὴ ἀπαγαγεῖν (ἀπάγη Cf) C Mk || παριδεῖν Ph ἁρπαγεῖναι Ma pro ἀπάγειν || **5** οἰκέτην Pb || παραλογισάμενος αὐτοῦ τὴν σμικρότητα Ph || τῇ μικρότητι Pa τὴν σμικρότητα Pb Cf τῆς μικρότητος Pd Ma Cb Cd τῆς σμικρότητος Cc Ch αὐτοῦ τῆς σμικρότητος Pf Me || τὴν τοῦ κανθάρου σμικρότητα ἐν ὄψει αὐτοῦ τὸν λαγωὸν κατέφαγεν Mk || τοῦ ante κανθάρου om. Pb Pd.

Digitized by Google

κανθάρου τὸν λαγωὸν κατεθοινήσατο. Ὁ δὲ ἀπ' ἐκείνου μνησικακῶν διετέλει παρατηρούμενος τοῦ ἀετοῦ τὰς καλιάς καί, εἴ ποτε ἐκεῖνος ἔτικτε, μετάρσιος αἰρόμενος ἐκύλιε τὰ ᾠὰ καὶ κατέασσε, μέχρις οὗ πανταχόθεν ἐλαυνόμενος ὁ ἀετὸς ἐπὶ τὸν Δία κατέφυγεν (ἔστι δὲ τοῦ Διὸς ἱερὸς ὁ ὄρνις), καὶ αὐτοῦ ἐδεήθη τόπον αὐτῷ πρὸς νεοττοποιίαν ἀσφαλῆ παρασχεῖν. Τοῦ δὲ Διὸς ἐν τοῖς ἑαυτοῦ κόλποις τίκτειν ἐπιτρέψαντος αὐτῷ, ὁ κάνθαρος τοῦτο ἑωρακώς, κόπρου σφαῖραν ποιήσας, ἀνέπτη καὶ γενόμενος κατὰ τοὺς τοῦ Διὸς κόλπους ἐνταῦθα καθῆκεν. Ὁ

6 κατέφαγεν C || ἀπ' ἐκείνης τῆς ἡμέρας Cf || **7** μνησικακόν Pd || αὐτοῦ pro τοῦ ἀετοῦ Ma || **8** καλλιὰς Cf || τὴν καλιὰν Ph Mk || εἴποτ' ἐκεῖ Pd || ὁπότε Cc ὅπου τε Cf || μεταρσίως Cf Mk διαιρόμενος Pb αἰρούμενος Cb || καὶ εἴ ποτε ... αἰρόμενος om. Cd || **9** κύλιε Pa || κατέασε Pb -έαε Pd -έαγε Cb Cc Mk -έαζε Cf || μέχρις οὖν Pa Cb || ἐκλυόμενος Ph || κατέαγε, ἀλλὰ καὶ ἐν τοῖς Διός κόλποις τὴν νεοττοποιίαν τοῦ ἀετοῦ ποιησαμένου, ὁ κάνθαρος κόπρου σφαῖραν ποιήσας ἀνέπτη καὶ τὴν κόπρον ἐκεῖσε καθῆκεν, reliquis omissis Cc || κατέαγεν. Ἐντεῦθεν πάσχων ὁ ἀετός ἐπὶ τὸν Δία κατέφυγε Mk || **10** Δία sine τὸν Pa Ma || ἐστὶ δὲ τοῦ Διός ἱερὸς ὁ ὄρνις Pb Mh om. Pa Mk || τοῦ θεοῦ pro τοῦ Διός Cf || ἔστη δὲ ἐνώπιον τοῦ θεοῦ ὁ ὄρνις Pd ἐστὶ δὲ οὗτος τοῦ θεοῦ ἱερὸς ὁ (ὁ om. Pf) ὄρνις Pf Me ἐστὶ γὰρ τούτου τοῦ θεοῦ ἱερὸς ὄρνις Ph ἐστὶ δὲ ἱερὸν τοῦ θεοῦ ὁ ὄρνις Cb Cd ἐστὶ δὲ τοῦ θεοῦ ὁ ἱερὸς (ὁ ἱερὸς om. Ch) ὄρνις Ch Ma || **11** καὶ αὐτοῦ ἐδεήθη P (excepto Pa) Ma Me Ἤτει δὲ τὸν θεὸν ὁ ὄρνις τόπον Pa || καὶ ἐδεήθη αὐτοῦ (αὐτῶ Cf) τόπον ἀσφαλῆ αὐτῷ (αὐτῷ ἀσφαλῆ Ch) (αὐτῷ om. Cf) πρὸς νεοττοποιίαν παρασχεῖν Cb Cd Cf Ch || πρὸς νεοττοποιίαν τόπον αὐτῷ (αὐτῶν Pf αὐτῷ om. Ph) ἀσφαλῆ παρασχεῖν Pf Ph Me || Codex Mh qui truncus est incipit hic: Ἐδεήθη αὐτῶ τόπον ἀσφαλῆ πρὸς νεοττοποιήαν αὐτῷ παρασχεῖν || καὶ ἐδεῖτο ἐκείνου τόπον ἀσφαλῆ αὐτῷ παρασχεῖν ἐν τῷ ἱερῷ αὐτοῦ προσελθών Mk || **12** ἀσφαλῶς Pd || Ἐπιτρέψαντος δὲ τοῦ Διὸς ἐν τῷ ἑαυτοῦ κόλπῳ πῆξαι τὴν καλιάν Mk || ἐν τοῖς κόλποις αὐτοῦ Pb || ἐν om. Pd || **13** ἐπιτρέψαντος αὐτῷ (αὐτοῦ Cb) τὸ (τὸ om. Cf) νεοττοποιεῖν Cb Cd Cf ἐπιτρέψαντος αὐτῷ πρὸς νεοττοποιεῖν Mh || αὐτόν Pa || ὁ κάνθαρος τὸν ἀετὸν ὁρῶν οὕτω πηγνύοντα, ἐκ κόπρου σφαῖραν ποιήσας ἀνέπτη μετ' αὐτῆς Mk || **14** τοῦτον Cb Cd Cf || ἑωρακὼς αἰσθόμενος Pa αἰσθόμενος Pd Pf Ph Me || καὶ κόπρου Mh || ἐνέπτη Cf || **15** κατὰ τοῦ κόλπου (τοὺς κόλπους Ch Cf) τοῦ Διὸς καθῆκε (καθεῖκε Cd) τὴν (τὸν Cf Ma) κόπρον Cb Cd Ch Cf Mk || ἄνωθεν τῶν Δ ὸς κόλπων καθῆκε τὴν κόπρον Mh || τοὺς om. Pa Pd.

Digitized by Google

δὲ Ζεὺς ἀποσείσασθαι τὴν κόπρον βουλόμενος, ὡς διανέστη, ἔλαθεν τὰ ᾠὰ ἀπορρίψας. Ἀπ' ἐκείνου τέ φασι περὶ ὃν καιρὸν οἱ κάνθαροι γίγνονται μὴ νεοττεύειν τοὺς ἀετούς.

Ὁ λόγος διδάσκει μηδενὸς καταφρονεῖν λογιζομένους ὅτι οὐδεὶς οὕτως ἐστὶν ἀδύνατος ὡς προπηλακισθεὶς μὴ δύνασθαί ποτε ἑαυτὸν ἐκδικῆσαι.

16 ἀποδύσασθαι Pb ἀποσείσασθαι ταύτην Mh ἀποσείσασθαι τὸν κόλπον Cf. || ἐξανέστη C Ma Mh Mk || **17** τὰ ᾠὰ om. Pa Pb || ἀπορρίψας τὰ ᾠά Ph καὶ τὰ ᾠὰ ἀπορρίψας· Pf Me καὶ τῶν ᾠῶν ἐπιλαθόμενος ἀπορρίψας κατέαξεν Mh || τε om. Pd δὲ Cc Mh || ἀπ' ἐκείνης δέ φησι Cf || καὶ ἀπ' ἐκείνου, φασί, οἱ κάνθαροι περιγίνονται τοὺς νεοττοὺς μὴ νεοττεύειν Ph || περὶ ὃν οἱ κάνθαροι καιρὸν γίνονται Pf Me καθ' ὃν οἱ κάνθαροι γίνονται καιρόν Mk || **18** τοὺς ἀετοὺς μὴ νεοττεύειν Pb Ph C Ma || τοὺς ἀετοὺς μὴ νεοττοποιεῖν Me || **19** Ὁ μῦθος Cc Cf Ch || δηλοῖ Pb C excepto Cb qui incipit a Μηδενὸς || μηδενός τις Ma || λογιζομένου Pa -μενος Ma || **20** ὃς pro ὡς Pa || ἀδ- ἐστι Ma || **21** ποτε om. Pb || ἑαυτόν ποτε Pd || αὐτὸν Pb || **19-21** μηδενὸς καταφρονεῖν ὡς ἀδυνάτου· πολλάκις γὰρ (γὰρ om. Ph) δυνήσεται ἑαυτὸν ἐκδικῆσαι (-κεῖν Ph) Pf Ph Me || ὅτι (ὡς Cc) οὐδείς ἐστιν ὃς προπηλακισθεὶς ἑαυτὸν μή ποτε ἐκδικῆσαι θελήσει (ἑαυτὸν οὐκ ἐκδίκησεν Cc ἑ- ποτε οὐκ ἐκδικῇ Ch) Cb Cc Cd Ch οὐδείς ἐστιν ὡς προπηλακισθῆναι αὐτόν ποτε ἐκδικῆσαι Cf οὐδείς ἐστιν ὁ προπηλακισθεὶς ὡς μὴ ἑαυτόν ποτε ἐκδικῆσαι Mh || Ὁ μῦθος δηλοῖ ὅτι οὐδὲ τῶν σμικροτάτων πάνυ καὶ εὐτελῶν δεῖ πολλάκις καταφρονεῖν, ἵν' ἀνελπίστως μὴ βλάβην τις ὑποστῇ Mk.

Aliter.

Ἀετὸς λαγωὸν ἐδίωκε. Ὁ δὲ ἐν ἐρημίᾳ τῶν βοηθησόντων ὑπάρχων, ὃν μόνον ὁ καιρὸς παρέσχε, κάνθαρον ἰδών, τοῦτον ἱκέτευεν. Ὁ δὲ παραθαρσύνει αὐτόν. Ὁ δὲ κάνθαρος ἐγγὺς ἐλθὼν τὸν ἀετὸν ἐθεάσατο, παρεκάλεσε δὲ μὴ ἀπαγαγεῖν αὐτὸν τὸν ἱκετεύσαντα. Ὁ δὲ ἀετός, ἀπιδὼν περὶ τὴν τοῦ κανθάρου σμικρότητα, ἐν ὄψει αὐτοῦ τὸν λαγωὸν ἐθοινήσατο. Ὁ δὲ κάνθαρος ἀπ' ἐκείνου μνησικακῶν διετέλει παρατηρούμενος τὰς τοῦ ἀετοῦ καλιάς. Καί ποτε ὁ ἀετὸς ἔτικτε. Εἶτα μετάρσιος αἰρόμενος ὁ κάνθαρος ἐκύλιε τὰ ᾠὰ τοῦ ἀετοῦ καὶ κατέασσε ταῦτα, μέχρις οὗ ἐλαυνόμενος πανταχόθεν ὁ ἀετὸς ἐπὶ τὸν Δία κατέφυγεν (ἐστὶ δὲ τοῦ θεοῦ ὁ ὄρνις), καὶ ἐδεήθη αὐτοῦ τόπον αὐτῷ πρὸς νεοττοποιίαν παρασχεῖν. Τοῦ δὲ Διὸς ἐν τοῖς αὐτοῦ κόλποις τίκτειν ἐπιτρέψαντος αὐτόν, ὁ [δὲ] κάνθαρος,

Cod. Pe 9.

2 ἰδὼν τοῦτον ἰδὼν ἱκέτευεν cod. || **5** ἀπειδὼν cod. || **7** ἐτιθηνήσατο cod. || **14** δὲ recidendum.

Digitized by Google

τούτους ἑωρακὼς καὶ αἰσθόμενος, κόπρου σφαῖραν ποιησάμενος, ἀναπτὰς ἐπὶ τοὺς τοῦ Διὸς κόλπους, τὴν κόπρον ἔρριψεν. Ὁ δὲ Ζεὺς τὴν κόπρον αἰσθόμενος καὶ ἀποσείσασθαι βουληθεὶς ἀνέστη. Ὡς δὲ ἀναστὰς ἐπελάθετο τῶν ᾠῶν καὶ ἔρριψεν ταῦτα, συνετρίβησαν. Ἀπ' ἐκείνου τέ φασι περὶ ὃν καιρὸν οἱ κάνθαροι γίνονται τοὺς ἀετοὺς μὴ νεοττεύειν.

Δηλοῖ δὲ ὁ λόγος μηδὲ τῶν μικρῶν καταφρονεῖν λογιζομένους ὅτι προπηλακισθέντες καὶ θεῶν καταφρονοῦσι πρὸς ἄμυναν.

15 κόπρον σφαῖραν cod. || 19 καὶ ἔρριψεν nos καὶ ῥρίψας cod. || 20 περὶ ὃν nos π- τὸν cod. || 23 καταφρονῶσι cod.

Aliter.

Λαγωὸς ὑπ' ἀετοῦ διωκόμενος πρὸς κοίτην κανθάρου κατέφυγε, δεόμενος ὑπ' αὐτοῦ σωθῆναι. Ὁ δὲ κάνθαρος ἠξίου τὸν ἀετὸν μὴ ἀνελεῖν τὸν ἱκέτην, ὁρκίζων αὐτὸν κατὰ τοῦ μεγίστου Διὸς ἦ μὴν μὴ καταφρονῆσαι τῆς μικρότητος αὐτοῦ. Ὁ δὲ μετ' ὀργῆς τῇ πτέρυγι ῥαπίσας τὸν κάνθαρον, τὸν λαγωὸν ἁρπάσας κατέφαγεν. Ὁ δὲ κάνθαρος τῷ τε ἀετῷ συναπέπτη, ὡς τὴν καλιὰν τούτου καταμαθεῖν, καὶ δὴ προσελθὼν τὰ ᾠὰ τούτου κατακυλίσας διέφθειρε. Τοῦ δὲ δεινὸν ποιησαμένου εἴ τις τοῦτο τολμήσειε, κἀπὶ μετεωροτέρου τόπου τὸ δεύτερον νεοττοποιησαμένου, κἀκεῖ πάλιν ὁ κάνθαρος τὰ ἴσα τοῦτον διέθηκεν. Ὁ δ' ἀετός, ἀμηχανήσας τοῖς ὅλοις, ἀναβὰς ἐπὶ τὸν Δία (τούτου γὰρ ἱερὸς εἶναι λέγεται) τοῖς αὐτοῦ γόνασι τὴν τρίτην γονὴν τῶν ᾠῶν ἔθηκε, τῷ θεῷ ταῦτα παραθέμενος καὶ ἱκετεύσας φυλάττειν. Ὁ κάνθαρος δέ, κόπρου σφαῖραν ποιήσας καὶ ἀναβὰς ἐπὶ τοῦ κόλπου Διός, ταύτην καθῆκεν. Ὁ δὲ Ζεύς, ἀναστὰς ἐφ' ᾧ τὴν ὄνθον ἀποτινάξασθαι, καὶ τὰ ᾠὰ διέρριψεν ἐκλαθόμενος, ἃ καὶ συνετρίβη πεσόντα. Μαθὼν δὲ πρὸς τοῦ κανθάρου ὅτι ταῦτ' ἔδρασε τὸν ἀετὸν ἀμυνόμενος, οὐ γὰρ δὴ τὸν κάνθαρον ἐκεῖνος μόνον ἠδίκησεν, ἀλλὰ καὶ εἰς τὸν Δία αὐτὸν ἠσέβησε, πρὸς τὸν ἀετὸν εἶπεν ἐλθόντα, κάνθαρον

Codd. La 2 Lf 2 Me 2^bis in margine Mf 2 Ml 105.

1 Ἀετὸς λαγωὸν ἐδίωκεν. Ὁ δὲ (Ὁ δὲ om. Mf) πρὸς κοίτην Me Mf || 3 τὸν οἰκέτην La Ml αὐτοῦ τὸν ἱκέτην Me Mf || 4 καὶ κατὰ τοῦ μεγίστου Me Mf || μὴ ante καταφρονῆσαι om. Me || 5 σμικρότητος Me || 7 τῷ ἀετῷ Me Mf || 11 τὰ ἴσα τούτων διέφθειρε Ml || 16 τοῦ Διός: Me Ml || 17 τὸν ὄνθον Lf Mf || 18 ἀποτεινάξασθαι La Me || 21 εἰς: ante τὸν Δία om. Me Mf Ml || 22 πρὸς τὸν ἀετὸν ἐπελθόντα κάνθαρον εἶναι τὸν λυποῦντα ἔφη Me.

εἶναι τὸν λυποῦντα καὶ δὴ καὶ δικαίως λυπεῖν. Μὴ βουλόμενος οὖν τὸ γένος τὸ τῶν ἀετῶν σπανισθῆναι, συνεβούλευε τῷ κανθάρῳ διαλλαγὰς πρὸς τὸν ἀετὸν θέσθαι. Τοῦ δὲ μὴ πειθομένου, ἐκεῖνος εἰς καιρὸν ἕτερον τὸν τῶν ἀετῶν μετέθηκε τοκετόν, ἥνικα ἂν μὴ φαίνωνται κάνθαροι.

Ὁ μῦθος δηλοῖ μηδενὸς καταφρονεῖν, λογιζομένους ὡς οὐδείς ἐστιν ὃς προπηλακισθεὶς οὐκ ἂν δυνηθείη ἑαυτῷ ἐπαμῦναι.

24 οὖν om. Ml || **26** πρὸς ἕτερον καιρὸν Me Mf || **28** Ὁ μῦθος δηλοῖ μηδενὸς δεῖ καταφρονεῖν ὡς ἀδυνάτου· πολλάκις γὰρ δυνήσεται ἑαυτὸν ἐκδικῆσαι Mf || Epimythium deest in Me.

5

Ἀετὸς καὶ κολοιὸς καὶ ποιμήν.

Ἀετὸς καταπτὰς ἀπό τινος ὑψηλῆς πέτρας ἄρνα ἥρπασε· κολοιὸς δὲ τοῦτο θεασάμενος διὰ ζῆλον τοῦτον μιμήσασθαι ἠθέλησε· καὶ δὴ καθεὶς ἑαυτὸν μετὰ πολλοῦ ῥοίζου ἐπὶ κριὸν ἠνέχθη. Ἐμπαρέντων δὲ αὐτοῦ τῶν ὀνύχων τοῖς μάλλοις, ἐξαρθῆναι μὴ δυνάμενος ἐπτερύσσετο,

Codd. Pa 12 Pb 2 Pd 4 Pe 8 Pg 1 Ma 12 Mb 2 — Ca 3 Cb 2 Cd 2 Ce 2 Cf 2 Ch 2 Mc 2 Mk 2 Ml 21.

1 ἐπί τινος Ma Cd Mc Mk || ὑψηλοῦ Cf || ἥρπασεν ἄρνα Ca Cb Mc Mk || **2** τοῦτον pro τοῦτο libri excepto Pb || καὶ διὰ ζῆλον Cd Ml || διὰ (καὶ διὰ Ml) ζῆλον μιμησάμενος, καθεὶς ἑαυτὸν (καθῖσαι omisso ἑ- Ml) Ca Cb Cd Ch Ml || διὰ ζῆλον γὰρ μιμησάμενος. Καθῖσαι αὐτὸν μετὰ πολλῆς ῥοίζου Cf || καὶ διὰ ζῆλον ἠβουλήθη μιμήσασθαι, καὶ δὴ καθήσας ἑαυτὸν ἀνήχθη Ce || **3** ἤθελε Pb || καθεσθεὶς ἑαυτοῦ Ma καθῆσαι αὐτῷ Mb καθῖσαι omisso ἑαυτόν Mk || πολλοῦ τοῦ ῥοίζου C (excepto Ch) Mb || **3-4** μιμησάμενος, ἐπὶ κριὸν ἀνήχθη, ceteris omissis Mc Mk || **4** ἀνήχθη Cd Ch || Ἐμπαρόντων Pd || Ἐμπαρέντων δὲ τῶν ὀνύχων αὐτοῦ ἐν τοῖς τοῦ κριὸς ἐρίοις καὶ ἐξαρθῆναι μὴ δυνηθείς, καταλαβὼν δὲ ὁ ποιμὴν καὶ ἰδὼν τὸ γεγονὼς προσδραμὼν συνήλαβεν, περικόψας δὲ τὰ ὀξύπτερα τοῖς ἑαυτοῦ παισὶ προσεκόμισε Pe || Ἐμπαγέντων δὲ αὐτοῦ τῶν ὀνύχων ἐν τῷ τοῦ κριοῦ ἐρίῳ Mc || Ἐμπαγέντων δὲ αὐτῷ τῶν ὀνύχων ἐπὶ τοῖς ἐκείνου μαλίοις καὶ περιπλακέντων Mk || αὐτοῦ om. Ma αὐτῷ Pb Pg Mb || **5** μαλοῖς Pa || τοῖς ἐκείνου μαλλοῖς Pd Ma ἐν τοῖς ἐκείνου μαλλοῖς (μαλοῖς Ca μαλίοις Cb Cd) Ca Cb Cd Ch ἐν τοῖς ἐκείνου μέλεσιν Ce Cf Ml || καὶ πτερῦσαι in rasura Ma ἐπτερύσατο Mb Mc ἐπερείσετο Ce ἐπερρύσσετο Cf ἐπτερίσετο Ml.

ἕως ὁ ποιμήν, τὸ γεγονὸς αἰσθόμενος, προσδραμὼν συνέλαβεν αὐτὸν καὶ περικόψας αὐτοῦ τὰ ὀξύπτερά, ὡς ἑσπέρα κατέλαβε, τοῖς ἑαυτοῦ παισὶν ἐκόμισε. Τῶν δὲ πυνθανομένων τί εἴη τὸ ὄρνεον, ἔφη. « Ὡς μὲν ἐγὼ σαφῶς οἶδα, κολοιός, ὡς δὲ αὐτὸς βούλεται, ἀετός. »

Οὕτως ἡ πρὸς τοὺς ὑπερέχοντας ἅμιλλα, πρὸς τῷ μηδὲν ἀνύειν, καὶ ἐπὶ συμφοραῖς προσκτᾶται γέλωτα.

6 ἕως οὗ Ma Ca || αἰσθόμενος τὸ γεγονώς Pd || ἀνελάβετο Ca || Ἐλθὼν δὲ ὁ ποιμὴν καὶ θεασάμενος αὐτὸν προσδραμὼν ἀνελάβετο αὐτόν Cb Cd Cf Ch Mc Mk Ml. Καὶ ἐλθὼν καὶ θεασάμενος αὐτὸν προσδραμὼν ἀνελάβετο omisso αὐτόν Ce || **7** καὶ κόψας Ml || τὰ εἰς ὀξυπτερά Pa τὰ ταχύπτερα Cd || **8** Πειθανομένων τὸ τί ὄρνεον, ἔφη Cf || **9** τί ἂν εἴη Pb Mb τί ἐστι Pe τί εἶ Ma || εἴη om. Cb Cd Ce Cf Mc Mk Ml || ὁ πατὴρ αὐτῶν ἔφη Pe || ἔφησεν Pd || ὡς μὲν ἐγὼ σαφῶς ἐπίσταμαι, κολοιὸν αὐτὸν οἶδα, ὡς δὲ αὐτὸς ἐβούλετο γενέσθαι, ἀετός Pe || σαφῶς om. Ce || **10** κολοιός ἐστιν Mc Mk || ὡς αὐτὸς δὲ Cf || 11 Οὕτως εἰσὶν οἱ πρὸς ὑπερέχοντας ἅμιλλαν ποιοῦνται Pe || τοὺς ante ὑπερέχοντας om. Pa Pe || τὸ μηδὲν Pa Pd, Pe Ma || **12** ἀνύει Ma || καὶ (καὶ om. Pd) ἐπὶ (ἐν Ma) ταῖς συμφοραῖς Pd Pe Ma || κτᾶται Ma || γέλωτος Pd || προσκαταγελᾶται Pg Mb || **11-12** Ὁ μῦθος (λόγος Cd) δηλοῖ (Ὁ μ- δ- om. Cb δηλοῖ om. Ch Ὁ μ- δ- ὅτι Mc) πρὸς τοὺς ὑπερέχοντας ἅμιλλαν (πρὸς τῶ addit Ch) μηδὲν ἀνύειν καὶ ἐπὶ συμφοραῖς (-ᾶς Mc) προσκτῶνται γέλωτα Ca Cb Cd Ch Mc. Ὁ μῦθος δηλοῖ πρὸς τοὺς ὑπερέχοντας μὴ ἁμιλλᾶσθαι· καὶ γὰρ ἀντὶ τιμῆς κερδαίνουσι γέλωτα Ce Ὁ μῦθος οὗτος δηλοῖ πρὸς τοὺς ὑπερέχοντας ἅμιλλαν πρὸς μηδὲν ἀνύει καὶ ἐπὶ συμφορᾶς προσκτῶνται γέλωτα Cf Ὁ μῦθος δηλοῖ ὅτι πρὸς τοὺς ὑπερέχοντας οὐ δεῖ ἁμιλλᾶσθαι· ἐπὶ γὰρ συμφοραῖς καὶ γέλωτα προσκτῶνται Mk Ὁ μῦθος δηλοῖ πρὸς τοὺς ὑπερέχοντας ἅμιλλαν πρὸς μηδὲν ἀνύσειν, ἀλλὰ μᾶλλον ἐπὶ ταῖς συμφοραῖς οἱ ἁμιλλώμενοι προσκτῶνται καὶ γέλωτα Ml.

Aliter.

Ὄνυξιν ἄρας ἀετὸς ἄρνα ἤγαγε τοῖς παισὶ δεῖπνον. Τοῦτο δὲ ζηλώσας κολοιὸς ὡρμήθη καὶ δὴ καταπτὰς ἐπὶ ἄρνα ἐνεπάρη τοῖς μαλλοῖς. Οἱ δὲ παῖδες τοῦτον κρατήσαντες ᾔκιζον. Ὁ δὲ κολοιὸς ἔφη· « Δίκαια πάσχω· τί γὰρ κολοιὸς ὢν ἀετὸν ἐμιμούμην ; »

Ὅτι τὰ κατὰ σὲ καὶ πρὸς δύναμιν ποίει, τὰ ὑπὲρ σὲ δὲ μὴ ζηλοῦ.

Cod. Ba 110.

2 Τοῦτο δὲ ποιήσας cod. : ex P correxi ζηλώσας || **3** ἐκρατήθη τοῖς μαλλοῖς cod. : ex P correxi ἐνεπάρη.

Digitized by Google

6

Ἀετὸς ⟨τὰ πτερὰ τιλθεὶς⟩ καὶ ἀλώπηξ.

Ἀετός ποτε ἑάλω ὑπ' ἀνθρώπου,
ὅστις τὰ πτερὰ αὐτοῦ εὐθέως τίλας
εἴασεν αὐτὸν ἐκ οἴκῳ σὺν ὀρνίθοις.
Ὁ δὲ κατηφὴς ἐκ τῆς λύπης ὑπῆρχεν.
Ἕτερος δέ τις τοῦτον ἐξαγοράσας
ἀνεπτέρωσε τὸν ἀετὸν αὐτίκα.
Ὁ δὲ πετασθεὶς καὶ λαγωὸν ἁρπάσας,
ἤνεγκεν εὐθὺς δῶρον τῷ εὐεργέτῃ.
Τοῦτο ἀλώπηξ κατιδοῦσα ἐβόα·
« Μὴ τοῦτον σὺ ξένιζε, ἀλλὰ τὸν πρῶτον,
μήπως ὁ αὐτός σε πάλιν κυνηγήσας
αὖθις τὰ πτερὰ τὰ σὰ κατερημώσῃ. »

Ὁ μῦθος δηλοῖ ὅτι δεῖ χρηστὰς ἀμοιβὰς τοῖς εὐεργέταις παρέχειν, τοὺς δὲ κακοὺς ἐκφεύγειν.

Codd. Ca 23 Cb 17 Cc 14 Cd 17 Cf 21 Ch 17 Ma 152 Mc 22 Md 22 Mh 15 Mi 57 Mk 23 Mm 22.

2 ὅς Cc τινος pro ὅστις Cf || εὐθέως om. Cb Cd Cf Mc Mk || ἅπαντα pro εὐθέως in margine Mc || τίλλας Ca Mk Mm ἐκτείλας Cd || τίλλας εὐθέως Cc || **3** ὄρνισιν Ca || **4** ὑπῆρχεν ἐκ τῆς λύπης M excepto Mc || σὺν ὀρνίθοις.,..ὑπῆρχεν om. Cc || **5** τις om. Ma Md Mi Mm || **6** αὐτίως pro αὐτίκα Cd || τὸν ἀετὸν αὐτίκα om. Cc || **7** πετάσας Cd || λαγὼν Cc || κρατήσας pro ἁρπάσας Ma Md Mh Mi Mm || **8** αὐτῷ (αὐτὸν Cf) pro εὐθύς Cf Mc Mh Mk || λόγῳ pro δῶρον Ma Md Mi Mm || ὡς εὐεργέτῃ Mk || post εὐεργέτῃ desinit Cc || **9** Τοῦτον Cd Cf M || **11** μήπως σε αὐτὸς (σεαυτὸν Cf) καὶ Cf Mc Mh μήπως σε πάλιν ἐκεῖνος Mk || κυνηγήσῃ καὶ αὖθις Ca Ch κυνηγετήσῃ, αὖθις δὲ Cd || κυνηγήσει Cf || κυνηγήσῃ καὶ τῶν πτερῶν στερήσῃ τῶν σῶν ὡς καὶ τὸ (τὸ om. Mh) πρῶτον Ma Md Mh Mi Mm || **12** τῶν πτερῶν τούτων Cb Cd Cf Mc Mk || κατερημώσει Cf Mc || **13** Ὁ μῦθος δηλοῖ ὅτι δεῖ τοὺς εὐεργέτας ἀμείβεσθαι εὐεργεσίαις Mk || παρέχειν τοὺς εὐεργέτας, τοὺς δὲ κακοὺς καὶ πονηρούς Cf || **14** ἐκκλίνειν pro ἐκφεύγειν Md Mh Mm || **13-14** Τοῦτο δ' ἁρμόζει τῷ λόγῳ ὅτι δεῖ τὰς ἀμοιβὰς παρέχειν τοῖς εὐεργέταις, τούς τε κακοὺς ἐκφεύγειν Cd.

Digitized by Google

Aliter.

Ποτὲ ἀετὸς ἑάλω ὑπ' ἀνθρώπου. Τούτου δὲ τὰ πτερὰ ὁ ἄνθρωπος κόψας ἀφῆκε μετὰ τῶν ὀρνίθων ἐν οἴκῳ εἶναι. Ὁ δὲ ἦν κατηφὴς καὶ οὐδὲν ἤσθιεν ἐκ τῆς λύπης, ὅμοιος δὲ ἦν βασιλεῖ δεσμώτῃ. Ἕτερος δέ τις τοῦτον ὠνησάμενος καὶ τὰ πτερὰ ἀνασπάσας καὶ μύρῳ χρίσας ἐποίησε πτερῶσαι. Ὁ δὲ πετασθεὶς καὶ τοῖς ὄνυξι λαγωὸν ἁρπάσας ἤνεγκεν αὐτῷ δῶρον. Ἀλώπηξ δὲ ἰδοῦσα εἶπεν· « Μὴ τούτῳ δίδου, ἀλλὰ τῷ πρώτῳ, ὅτι ὁ μὲν φύσει ἀγαθός ἐστι· ἐκεῖνον δὲ μᾶλλον ἐξευμένιζου, μή πως πάλιν λαβών σε τὸ πτερὸν ἐρημώσῃ. »

Ὅτι δεῖ χρηστὰς ἀμοιβὰς τοῖς εὐεργέταις παρέχειν, τοὺς πονηροὺς δὲ φρονίμως τροποῦσθαι.

Codd. Ba 128 Bb 76. (Fabula primitus uersibus scripta, ut patet ex initio).

3 καὶ οὐδὲν nos καὶ οὐδὲ Bb οὐδὲ Ba || ὁμρίως Bb || **5** μυρωχρήσας Bb || **10** ἐρημώσει Bb || **11** τοὺς εὐεργέτας Ba || Ὅτι οἱ τῇ φύσει δεινοὶ ἁρπάζειν καὶ πλεονεκτεῖν μαθόντες τοὺς διδάξαντας πολλάκις ἔβλαψαν Bb, quod epimythium non huic argumento, sed fabulae Ποιμὴν καὶ λύκου σκύμνος conuenit.

7

Ἀετὸς ⟨τοξευθείς⟩.

Ὑπεράνωθεν πέτρας ἀετὸς ἐκαθέζετο λαγωοὺς θηρεῦσαι ζητῶν. Τοῦτον δέ τις ἔβαλε τοξεύσας, καὶ τὸ μὲν βέλος ἔσω εἰσῆλθεν· ἡ δὲ γλυφὶς σὺν τοῖς πτεροῖς πρὸ τῶν ὀφθαλμῶν εἱστήκει. Ὁ δὲ ἰδὼν ἔφη· « Καὶ τοῦτό μοι ἑτέρα λύπη, τὸ τοῖς ἐμοῖς πτεροῖς ἀποθνήσκειν. »

Ὅτι τὸ κέντρον τῆς λύπης δεινότερόν ἐστιν, ὅταν τις ἐκ τῶν οἰκείων κινδυνεύσῃ.

Codd. Ba 138 Bb 83 La 137 Lg 39 Md 106 Mg 149 Mh 90 Mi 22 Mm 131.

1 λαγιωούς B -ος Mi -όν ceteri || **2** σκοπῶν pro ζητῶν Ba || **3** ἐντὸς ἀετοῦ (αὐτοῦ La Mg) εἰσῆλθεν LM || γλυφῆς Ba γλυφὴ Lg M excepto Mg || **5** ἐμοῖς B ἰδίοις ceteri || ἀποθνήσκειν B ἐναπο- ceteri || **6** Ὁ μῦθος δηλοῖ ὅτι δεινόν ἐστιν, ὅταν τις ἐκ τῶν οἰκείων κινδυνεύσῃ LM || ὅτε τις (τι Bb) ἐξ οἰκείων κινδυνεύσει B.

Digitized by Google

Aliter.

Ἀετὸς εἰς ὕψος ἐκάθητο θηρεῦσαι λαγωούς. Τοῦτον τοξότης ἰδὼν ἔβαλεν εὐστοχήσας. Στραφεὶς δέ, ἰδὼν τὴν γλυφίδα τῶν πτερῶν ἐξ αὐτοῦ οὖσαν, ἔφη· « Οὐ τοσοῦτον τὸν πέμψαντά σε μέμφομαι ὅσον τὰ ἐξ ἐμοῦ φυέντα πτερά. »
Ὅτι τοῦτον κρεῖσσον λύπη καθέστηκεν, ὅταν τις ὑπὸ τῶν ἰδίων συγγενῶν πάθος κακὸν ὅσον τῶν ἀλλοτρίων καὶ ξένων.

Codd. Ma 146 Mo 146.

2 ἔϐαλλεν Ma || **4** τῶν ἐξ ἐμοῦ φυέντων πτερῶν codd. || Epim. corruptum est : coniicere licet : Ὅτι μείζων λύπη ... πάθῃ κακὸν ἢ ὑπὸ τῶν...

8

Ἀηδὼν καὶ ἱέραξ.

Ἀηδὼν ἐπί τινος ὑψηλῆς δρυὸς καθημένη κατὰ τὸ σύνηθες ᾖδεν. Ἱέραξ δὲ αὐτὴν θεασάμενος, ὡς ἠπόρει τροφῆς, ἐπιπτὰς συνέλαβεν. Ἡ δὲ μέλλουσα ἀναιρεῖσθαι ἐδέετο αὐτοῦ μεθεῖναι αὐτήν, λέγουσα ὡς οὐχ ἱκανή ἐστιν ἱέρακος αὐτὴ γαστέρα πληρῶσαι· δεῖ δὲ αὐτόν, εἰ τροφῆς ἀπορεῖ, ἐπὶ τὰ μείζονα τῶν ὀρνέων τρέπεσθαι. Καὶ ὃς ὑποτυχὼν εἶπεν· « Ἀλλ' ἔγωγε ἀπόπληκτος ἂν εἴην, εἰ τὴν

Codd. Pa 14 Pb 4 Pd 6 Pe 10 Pf 3 Pg 2 Ph 3 Ma 14 Me 3 Mf 3.

1 ἐπὶ τῆς Ma || δρυὸς ὑψηλῆς Pd || καθημένης Ma || κατὰ σύνηθεν Pd συνηθῶς Ph || **2** ᾖσεν Ma ἐλύριζεν Pf Ph || ἰδών, ὡς περὶ τροφῆς Ph || ὡς om. Pε || ἠπορεῖτο τροφῆς καὶ Pe || **3** ἐπιστὰς Pa καταπτὰς Pd || συνέλαβεν αὐτήν Pd Pe Ma || Ἥτις μέλλουσα ἀναιρεθῆναι Pd || **4** ἐδέετο αὐτοῦ μαθεῖν αἰτοῦσα καὶ λέγουσα Pa || αὐτοῦ om. Pb || μὴ θοινηθῆναι αὐτήν Pd μὴ θοῖναι αὐτήν Ph μεθεῖναι αὐτὴν om. Pe || ὡς ὅτι Pg || οὐχὶ Ma || **5** αὕτη Pa || ἱέρακος γαστέρα αὕτη Pb αὐτὴ ἱέρακος γαστέρα Pd || ἱέρακος πλῆσαι γαστέρα Pe || αὐτή om. Pe Pf, Ph Ma Me || δεῖν δέ Pb Pd || δεῖ σε δέ, εἰ τροφῆς ἀπορεῖς Pe || **6** τὰ μείζω Pd || Καὶ ὡς Pa Ὃς Ma || Καὶ ὁ ἱέραξ ὑπολαβὼν Me || Ὁ δὲ εἶπεν Pf Ph Mf || **7** ἐπιτυχὼν Pa Pb Ma || ἄφρων Me || εἰ om. Pe

Digitized by Google

ἐν χερσὶν ἑτοίμην βορὰν παρεὶς τὰ μηδέπω φαινόμενα διώκοιμι. »

Οὕτως καὶ τῶν ἀνθρώπων ἀλόγιστοί εἰσιν οἳ δι' ἐλπίδα μειζόνων [πραγμάτων] τὰ ἐν χερσὶν ὄντα προΐενται.

8 βορρὰν Pe τροφὴν Mf || ἀφεὶς Pb || τὰ μηδέ που φαινόμενα ἐκδιώκειν Pe || 9 διώκειν Pa διώκειμι Me. || 10 Ὁ λόγος δηλοῖ ὡς οὕτω Pb Ὁ λόγος δηλοῖ τοῦτο· οὕτως Pf || Ὁ λόγος δηλοῖ ὡς ἀλόγιστοι τῶν ἀνθρώπων εἰσὶν Ph || Ὁ λόγος δηλοῖ τοῦτο (τοῦτο om. Mf)· οὗτοι τῶν ἀνθρώπων Mc Mf || ὅσοι pro οἱ Pe Pf Mc Mf || δι' ἐλπίδω... προϊέναι Ma || διὰ ἐλπίδα Pa || ἐλπῖσι τῶν μειζόνων τὰ ἐν χερσὶ προΐενται Pe || 11 τῶν πραγμάτων Pd || προιέμενοι Pg.

Aliter.

Ἀηδὼν ἐπί τινος δρυὸς ὑψηλῆς καθημένη ᾖδε κατὰ τὸ σύνηθες. Ἱέραξ δὲ αὐτὴν θεασάμενος, ἀπορῶν τροφῆς, ἐπιπτὰς ἀνελάβετο αὐτήν. Ἡ δὲ μέλλουσα ἀναιρεῖσθαι ἐδέετο αὐτοῦ λέγουσα μὴ βρωθῆναι αὐτήν, ἐπειδὴ οὐχ ἱκανή ἐστιν ἱέρακος πληρῶσαι γαστέρα· δεῖ δὲ αὐτόν, εἰ τροφῆς ἀπορεῖ, ἐπὶ τὰ μείζονα τῶν ὀρνέων τρέπεσθαι. Ὑπολαβὼν δὲ ὁ ἱέραξ ἔφη· « Ἀλλ' ἔγωγε ἄφρων ἂν εἴην, εἰ τὴν ἐν χερσὶν ἑτοίμην βορὰν παρεὶς τὰ μηδέπω φαινόμενα διώκοιμι. »

Codd. Ca 2 Cb 4 Cc 2 Cd 4 Ce 3 Cf 4 Ch 4 Mc 3 Mh 2 Mk 4.

1 ὑψηλῆς om. Cc || ἐπί τινος ὑψηλῆς δρυὸς Cd Ch Mk[1] ἐπὶ δένδρου in rasura Mk[2] || καθήμενος Mh || κατὰ τὸ σύνηθες ᾖδε Ch Mk || εἶδεν Cb Mc ᾖδε om. Cd Ce Cf || δρυὸς κατὰ τὸ σύνηθες καθημένης ᾖδε κατὰ τὸ σύνηθες Cc || 2 δὲ om. Cb || καὶ ἀπορῶν Cd || τροφῆς ἀποροῦντος Cf τροφῆς ἀπορῶν Mh ἀπορῶν τροφῆς om. Cc || 3 ἐπὶ πᾶς Cb καταπτὰς Cc || συνελάβετο Mh || ταύτην Ce αὐτήν om. Cc || Ἀναιρεῖσθαι δὲ μέλλουσα Cc || 4 ἐδεῖτο Mk || αὐτὸν Mc || αὐτῇ λέγουσα Cb || λέγουσα om. Cc Mk || μὴ βρωθῆναι ὑπ' αὐτοῦ ταύτην Cd μὴ καταβρωθῆναι ὑπ' αὐτοῦ Mk || αὐτήν om. Cc Mk || μὴ γὰρ ἱκανὴν εἶναι γαστέρα πληρῶσαι Cc ἐπεὶ οὐδ' ἱκανή ἐστιν ἱέρακος ἐμπλῆσαι γαστέρα Mk || 5 ἱέρακος γαστέρα πληρῶσαι Ce πληρῶσαι γαστέρα ἱέρακος Mh || δεῖν δέ, εἰ τροφῆς ἀπορεῖν Mc || αὐτόν om. Cb Mk || εἰ τροφῆς ἀπορεῖ om. Cc || τροφὴν ἀποροῦντα Ce τροφῆς ἀποροῦντος Cf || 6 ἀμοιρεῖν Mh || ἐπὶ ... Ὑπολαβὼν δὲ om. Cd || τὰ μείζω Cc || τρέπεσθαι τῶν ὀρνέων Mh τὰ μίζω τράπεσθαι τῶν ὀρνέων Mk || Ὁ δὲ ὑπολαβὼν ἔφη Cc || 7 δὲ om. Cd οὖν pro δὲ Ce || Ἀλλ' ἔγωγε, ἔφη Mh || εἰ om. Cb || 8 βορρὰν Cf Mh || βορὰν καταλυπεῖν τὰ μὴ φαινόμενα διώκειν Mc || τὰ μὴ φαινόμενά μοι διώκειν Cb Cd διώκειν μοι τὰ μηδέπω φαινόμενα Mh || μὴ pro μηδέπω Mk || διώκειν Ce Cf.

Digitized by Google

Ὁ μῦθος δηλοῖ ὅτι οὕτω καὶ τῶν ἀνθρώπων ἀλόγιστοί εἰσιν, οἵτινες δι' ἐλπίδα μειζόνων τὰ ἐν χερσὶν ὄντα προΐενται.

9 Ὅτι οὕτως Cb || Ὅτι οὕτω καὶ οἱ τῶν ἀνθρώπων Cd || ὅτι om. Ch Cf || τινες ἀλόγιστοι Mc || 10 οἵ pro οἵτινες Cb Cd Ch Mc || διὰ μειζόνων Ch || δι' ἐλπίδα μείζονα Mc || πλειόνων Cf || τὴν ἐν χερσὶν οὐ προσίενται Cc || 11 οὐ προσίενται Ca Cf || 9-11 Ὁ μῦθος δηλοῖ ὅτι τὰ ἐν χερσὶ κρατούμενα μείζονά εἰσι τῶν προσδοκωμένων Ce Ὁ μῦθος δηλοῖ ὅτι οὕτως ἀλόγιστος ἂν εἴη ὁ δι' ἐλπίδα μείζονος τὰ ἐν χερσὶν ἀφεὶς μικρὰ ὄντα ἐπὶ τῶν ἀδήλων μειζόνων καθαρεῖν Mh Ὁ μῦθος δηλοῖ ὅτι οὐ δεῖ δι' ἐλπίδα μειζόνων τὰ ἐν χερσὶν ὄντα ἀφρόνως προΐεσθαι Mk.

Aliter.

Ἀηδὼν ἐπὶ δένδρου καθεζομένη κατὰ τὸ εἰωθὸς ᾖδεν. Ἱέραξ δὲ θεασάμενος καὶ τροφῆς ἀπορῶν συνείληφεν ἐπιπτάς. Ἡ δ' ἀναιρεῖσθαι μέλλουσα ἐδεῖτο τοῦ ἱέρακος μὴ βρωθῆναι· μηδὲ γὰρ ἱκανὴν εἶναι ἱέρακος γαστέρα πληροῦν, δεῖν δὲ αὐτὸν τροφῆς προσδεόμενον ἐπὶ τὰ μείζω τῶν ὀρνέων τραπέσθαι. Καὶ ὁ ἱέραξ ὑπολαβὼν εἶπεν· « Ἀλλ' ἔγωγε ἄφρων ἂν εἴην, εἰ τὴν ἐν χερσὶν ἑτοίμην τροφὴν ἀφεὶς τὰ μὴ φαινόμενά πω διώκοιμι. »

Ὁ μῦθος δηλοῖ ὅτι καὶ τῶν ἀνθρώπων οὕτως ἀλόγιστοί εἰσιν οἱ δι' ἐλπίδα πλειόνων ἀδήλων τὰ ἐν χερσὶν προιέμενοι.

Codd. La 3 Lb 2 Lc 3 Le 2 Lf 3 Lg 3 Lh 2 Md 2 Mg 3 Mi 37 Mj 3 Ml 2 Mm 2.

2 συνειλήφει Mi Mm || 4 μὴ γὰρ ἱκανὴν εἶναι γαστέρα ἱέρακος Md || ἱκανὴ Lc Mi Mm || γαστέρα ἱέρακος Mi Mm || 6 Καὶ ἱέραξ Md || 7 ἐν χεροῖν Lg || 8 μήπω φαινόμενα Ml μή που φ- Le || 10 ἄρα pro πλειόνων Mi || ἄρα pro ἀδήλων Lc Md Mm || ἄδηλον Lb Lh Mj ἀδήλων om. Ml.

9

Ἀηδὼν καὶ χελιδών.

Ἀηδόνι συνεβούλευε χελιδὼν τοῖς ἀνθρώποις εἶναι ὁμόροφον καὶ σύνοικον ὡς αὐτή. Ἡ δὲ εἶπεν· « Οὐ θέλω

Codd. Ba 2 Bb 1 Bc 2.

1 Ἠδόνι Ba Ἀηδὸν Bb Ἀηδόνα Bc || συνεῖναι καὶ ὁμοροφεῖν ὡς κείνη. Ἡ δὲ ἔφησεν Bc || 2 Ὁ δὲ Ba.

Digitized by Google

τὴν λύπην τῶν παλαιῶν μου συμφορῶν μεμνῆσθαι, καὶ διὰ τοῦτο τὰς ἐρήμους οἰκῶ. »

[Ὅτι] τὸν λυπηθέντα ἔκ τινος τύχης καὶ τὸν τόπον φεύγειν ἐθέλειν ἔνθα ἡ λύπη συνέβη.

4 οἰκήσω Bc || **6** ἐθέλει Bb || Ὅτι εἰ τυγχάνει τινὶ ἔκ τινος λυπηθῆναι, καὶ τὸν τόπον φεύγειν (lege φεύγει) ἔνθα ἡ λύπη συνέβη Bc || Alterum epimythium inuenitur in Bb, quod a pio scriba additum est : Ἡ μὲν χελιδὼν τῶν ἐν τῷ κόσμῳ ἀνθρώπων (lege τοῖς... ἀνθρώποις) παρεικάζεται, ἡ δὲ ἀηδὼν τοῖς φιλερήμοις κατὰ θεὸν μονάχοις οἵτινες τῷ κόσμῳ (lege τὸν κόσμον) ἔφυγον.

Aliter.

Χελιδὼν δέ τις ὡμίλει ἀηδόνι
ἵν' ὁμόροφος ταύτῃ γε συνυπάρχῃ.
Ἡ δὲ πρὸς αὐτὴν δακρύουσα ἐβόα·
« Οὐ δυνήσομαι ἐγὼ τοῦτο ποιῆσαι·
τῶν γὰρ προγόνων τὴν λύμην ἀναφέρω.
Διὰ γὰρ τοῦτο τὰς ἐρήμους οἰκήσω. »

Ὅτι, ἐὰν λυπηθῇ τις ἔκ τινος τύχης, καὶ τὸν τόπον ἐκφεύγει οὗ ἐλυπήθη.

Cod. Mb 224.

4 ποιῆσαι nos πεποιηκέναι cod. || **5** ἀναφέρω nos ἀνεισφέρω cod.

10

Ἀθηναῖος χρεωφειλέτης.

Ἀθήνησι χρεωφειλέτης ἀνὴρ ἀπαιτούμενος ὑπὸ τοῦ δανειστοῦ τὸ χρέος τὸ μὲν πρῶτον παρεκάλει ἀναβολὴν αὐτῷ δοῦναι, ἀπορεῖν φάσκων. Ὡς δὲ οὐκ ἔπειθε, προσα-

Codd. Pa 15 Pb 5 Pc 11, Pf 4 Pg 3 Ph 4 Me 4 Mf 4.

1 Ph. incipit: Ἀνήρ τις χρεωφειλέτης ἀπαιτούμενος || ἀνὴρ χρεωφειλέτης Pb Pg Me Mf || παρὰ τοῦ δανειστοῦ Me Mf || τοῦ om. Pc || **2** χρέως sine τό Pb || καὶ τὸ μὲν Pc || **3** αὐτὸν ἀνασχέσθαι Pb || δοῦναι Pa παρασχέσθαι libri exceptis Pa Pb || προαγαγὼν Pa ἀγαγὼν Pg.

Digitized by Google

γαγὼν ὗν ἣν εἶχε μόνην, παρόντος αὐτοῦ, ἐπώλει. Ὠνητοῦ δὲ προσελθόντος καὶ διερωτῶντος εἰ τοκὰς ἡ ὗς εἴη, ἐκεῖνος ἔφη μὴ μόνον αὐτὴν τίκτειν, ἀλλὰ καὶ παραδόξως· τοῖς μὲν γὰρ μυστηρίοις θήλεα ἀποκύειν, τοῖς δὲ Παναθηναίοις ἄρσενα. Τοῦ δὲ ἐκπλαγέντος πρὸς τὸν λόγον, ὁ δανειστὴς εἶπεν· « Ἀλλὰ μὴ θαύμαζε· αὕτη γάρ σοι καὶ Διονυσίοις ἐρίφους τέξεται. »

Ὁ λόγος δηλοῖ ὅτι πολλοὶ διὰ τὸ ἴδιον κέρδος οὐκ ὀκνοῦσιν οὐδὲ τοῖς ἀδυνάτοις ψευδομαρτυρεῖν.

4 ὗν ἣν εἶχε μόνην Pg ὕνην μόνην ἣν omisso εἶχε Pa ὗν ὃν μόνον εἶχε Pb ἣν μόνον εἶχεν ὗν ἤγουν χοῖρον Pf ἣν μόνην (μόνον Me) εἶχεν ὗν Ph Me Mf || ἣν μόνην εἶχεν ὕαιναν ἐπώλει omisso παρόντος αὐτοῦ Pe || Αὐτῷ δὲ παρελθόντες καὶ διερωτῶντές τινες εἰ τοκάς ἐστιν ἡ ὗς, αὐτὸς ἔφη μὴ μόνην αὐτὴν τίκτειν Pe. Hic desinit Pe: reliqua pertinent ad aliam fabulam, Αἰγοβοσκὸς καὶ αἶγες ἄγριαι || **5** δέ om. Pg Me || || εἰ τέτοκεν ἡ ὗς Pg || εἴην Ph || εἴη om. Pf Me Mf || **6** ἐκεῖνος δὲ Pa || μὴ om. Pa || **7** γὰρ μυρίοις ἐστὶ θήλεα Pg || γὰρ om. Pb || ἐστὶ θήλεια Pa Pb || **8** ἀρρήν Pg || **9** αὐτὴ γὰρ καὶ Διονυσίους ἐρίφους σοι Pa || γὰρ om. Pb || σοι om. Pg || **10** Διονυσίους Ph || **12** ψευδομαρτυρεῖ Pa || **11-12** Ὁ λόγος (μῦθος Mf) δηλοῖ ὅτι (τοῦτο pro ὅτι Pf Me) οὐκ ὀκνοῦσιν οἱ πολλοὶ διὰ τὸ (τὸ om. Ph) ἴδιον κέρδος εἰς τὰ ἀδύνατα καὶ ἀνυπάρκτα ψευδομαρτυρεῖν Pf Ph Me Mf.

11

Αἰθίοψ.

Αἰθίοπά τις ὠνήσατο τοιοῦτον αὐτῷ τὸ χρῶμα εἶναι δοκῶν ἀμελείᾳ τοῦ πρότερον ἔχοντος. Καὶ παραλαβὼν οἴκαδε, πάντα μὲν αὐτῷ προσῆγε τὰ ῥύμματα, πᾶσι δὲ λούτροις ἐπειρᾶτο καθαίρειν. Καὶ τὸ μὲν χρῶμα μεταβάλλειν οὐκ εἶχε, νοσεῖν δὲ τῷ πονεῖν παρεσκεύασεν.

Ὁ μῦθος δηλοῖ ὅτι μένουσιν αἱ φύσεις ὡς προῆλθον τὴν ἀρχήν.

Codd. La 79 Lb 20 Le 20 Lf 79 Lh 9 Ma 157 Md 32 Mg 12 Mi 67 Mj 23 Ml 17 Mm 33.

1 τοιοῦτο Ma Md || **3** ῥύματα La Mg || **5** τὸ πονεῖν La τὸν πονεῖν Mg || **6** Ὁ μῦθος ὅτι Mm Ὅτι Ma Md || μέλλουσι Lf.

Digitized by Google

12

Αἴλουρος καὶ ἀλεκτρυών.

Αἴλουρος, συλλαβὼν ἀλεκτρυόνα, τοῦτον ἐβούλετο μετ' εὐλόγου αἰτίας καταθοινήσασθαι. Καὶ δὴ ἀρξάμενος κατηγόρει αὐτοῦ λέγων ὀχληρὸν αὐτὸν εἶναι τοῖς ἀνθρώποις νύκτωρ κεκραγότα καὶ οὐδὲ ὕπνου τυχεῖν ἐῶντα αὐτούς. Τοῦ δὲ εἰπόντος ὡς ἐπ' ὠφελείᾳ αὐτῶν τοῦτο ποιεῖ· ἐπὶ γὰρ τὰ συνήθη τῶν ἔργων διεγείρει, ἐκ δευτέρου ἔλεγεν· « Ἀλλὰ καὶ ἀσεβὴς εἰς τὴν φύσιν καθέστηκας καὶ ἀδελφαῖς καὶ μητρὶ ἐπεμβαίνων. » Τοῦ δὲ καὶ τοῦτο εἰς ὠφέλειαν τῶν δεσποτῶν πράττειν φήσαντος· πολλὰ γὰρ αὐτοῖς ᾠὰ τίκτεσθαι παρασκευάζει, διαπορηθεὶς ἐκεῖνος ἔφη· « Ἐὰν οὖν σὺ ἀεὶ ἀφορμῶν εὐπορῇς, ἐγώ σε οὐχ ἧσσον ἔδομαι. »

Codd. Pa 3 Pb 16 Pc 3 Pd 13 Pf 5 Pg 12 Ph 5 Pi 2 Ma 3 Me 5 Mf 5.

1 Αἴλουρος εἷλεν ἀλεκτρυόνα· τοῦτον ἐβούλετο ἐπ' εὐλόγου αἰτίας φαγεῖν Pi || συλλαὶ Pa, λαβὼν Pc || **3** ὀχληρόν εἶναι αὐτόν Pc || αὐτὸν om. Pa Pb || **4** κεκραγότος Pa Pi || μὴ δὲ Pa καὶ μηδὲ Pf Me Mf καὶ μὴ Pd || αὐτοὺς ἐῶντα Pb ἐῶν Pc || ἐῶντος Pi || αὐτοὺς om. Pc Pd, Pf Pg Ph Me Mf || **5** ἐπ' ὠφέλειαν Pb Pc || ποιεῖν omisso ὡς Pa Pd || τούτων ποιεῖν ταῦτα omisso ὡς Ma || ὡς .. ποιεῖν Mf || **6** διεγείρω Pa Pi Ma ἐγείρειν Pb || ἐκ δευτέρου δὲ Pa || **7** Ἀλλὰ καὶ Pb Pc Pg Mf Ἀλλὰ ceteri || ἀσεβής τε libri excepto Pg || τὴν om. Pb || **8** μητρὶ ἐπεμβαίνων Pc μητράσιν ἐπεμβαίνεις Pa Pb Pi μητρὶ ἐπιμαίνει Pd μητράσιν ἐπιβαίνων (ἐπεμβ- Ma) Ph Ma || μητέρι ἐπιβαίνων Mf || ἐπιβαίνων Pf Pg Me || Τοῦ δὲ εἰπόντος ... πράττειν Pd || **9** τοῦ δεσπότου Pc || αὐτοῖς om. Pb || τίκτεσθαι αὐτοῖς ᾠὰ Pc || **10** παρασκευάζειν Pd -ζω Pa Pb Pi Ma || ἀποκριθείς Pa ἀπορηθείς Pd Pf Me Mf || **11** Εἰ δὴ οὖν Pf Ph || οὖν om. Pg || σὺ (σὺ ἀεὶ Pg) ἀφορμὰς εὑρήσεις Pb Pc Pg || ἀεὶ om. Pd || εὐπορήσεις Pd Pf εὐπορήσῃς Ph || Ἀλλ' εἰ σύ γε πολλῶν εὐπορεῖς εὐπροσώπων ἀπολογιῶν, ἔγωγε μέντοι ἄτροφος οὐ μένω· τοῦτον κατεθοινήσατο. Me Mf || ἐγώ σε οὐχ ἧσσον ἔδομαι nos ἐγώ σε οὐ κατέδομαι (-δοῦμαι Pb) Pa Pb Pf Pg Ph μῶν ἐγὼ κατέδομαι Pc ἔγωγε οὐ κατέδομαι Pd ἐγώ σοι οὐ φείδομαι Pi Ma.

῾Ο λόγος δηλοῖ ὅτι πονηρὰ φύσις πλημμελεῖν προαιρουμένη, κἂν μὴ μετ' εὐλόγου προσχήματος δυνηθῇ, ἀπαρακαλύπτως πονηρεύεται.

13 Λόγος Pc "Οτι Pd Ph 'Η πονηρὰ Pf || ἡ πονηρὰ (καὶ ἡ π-Pg) Pb Pc Ph Pi Ma || προαιρουμένη Pa Pd προελομένη ceteri || **14** κἂν μετ' εὐλόγου σχηματίου Ma || μὴ om. Pa Pi || ἀπεριχαλύπτως Pa Pi || **15** πράττει Pg.

Aliter.

Αἴλουρος, συλλαβὼν ἀλεκτρυόνα, τοῦτον ἐβούλετο μετ' εὐλόγου αἰτίας καταθοινήσασθαι. Καὶ δὴ ἤρξατο κατηγορεῖν αὐτοῦ λέγων ὀχληρὸν αὐτὸν εἶναι τοῖς ἀνθρώποις νύκτωρ κεκραγότα, μηδὲ ὕπνου τυχεῖν ἐῶντα. Τοῦ δὲ εἰπόντος ἐπ' ὠφελείᾳ αὐτῶν τοῦτο ποιεῖν, ἐπὶ γὰρ τὰ συνήθη τῶν ἔργων ἐγείρει, ἐκ δευτέρου ὁ αἴλουρος ἔλεγεν· « Ἀλλὰ ἀσεβὴς εἶς τὴν φύσιν τυγχάνεις, ἀδελφαῖς καὶ μητρὶ ἐπεμβαίνων. » Τοῦ δὲ καὶ τοῦτο εἰς ὠφέλειαν τῶν δεσποτῶν πράττειν φήσαντος, πολλὰ γὰρ ὠὰ αὐτοῖς τίκτεσθαι παρασκευάζει, ἀποκριθεὶς ἐκεῖνος ἔφη· « Ἐὰν σὺ ἀφορμῶν πολλῶν εὐπορήσῃς, ἐγὼ τέως ἄδειπνος οὐ μενῶ. »

Codd. Ca 15 Cb 7 Cd 7 Ce 7 Cf 7 Ch 7 Mc 5 Mh 5 Mk 6.

1 συλλαβόμενος Cb Cd Mc || ἐβούλετο τοῦτον Cb Mc Mk || μεθ' ἑτέρου ἐτίας Cb μεθ' ἑτέρας αἰτίας Mc μετὰ δικαίου τρώπου αὐτὸν Cd μετ' εὐλογίας Cf || **2** κατατηθηνήσασθαι Ce καταθινήσασθαι Cf Mc || Καὶ δὴ ἀρξάμενος κατηγόρει αὐτοῦ (αὐτὸν Cd) Cd Mc Mk || κατηγορεῖν αὐτὸν Mh || **3** ὡς ὀχληρὸν αὐτὸν τοῖς ἀνθρώποις κεκραγότα νυκτὸς καὶ ἡμέρας καὶ μηδὲ ὕπνου ἐόντα τυχεῖν Mh || ὀχληρὸν εἶναι τοῦτον Cd || **4** ὕπνων Ca ὕπνον Cf Ch ὕπνους Mc ὕπνου ceteri || τυχεῖν om. Cd || pro ἐῶντα Ce habet ἡδέως, Cf δέον || ἐπ' ὠφέλειαν Ce || ἐπ' ὠφελείᾳ τούτων ποιῶ Cf || **5** ποιῶ Cb Ce || ταύτῶν τοῦτο ποιῶ Cd τοῦτο αὐτοῖς ποιῶ Mc τοῦτο αὐτῶν ποιῶ Mk || ἐπεὶ γὰρ τοῦ συνήθους τῶν ἔργων Cf || ἐπὶ τὰ φίλα διεγείρων τῶν ἔργων Mh || **6** ἐγείρω, sed εἰ supra ω Ca διεγείρει Cb διεγείρω Cd Cf Ch Mc Mk || Ἀλλ' ἀσεβής, ἔλεγεν αἴλουρος, εἰς τὴν φύσιν τυγχάνῃς Mh || **7** εἶς om. Cb Cd Mk || καὶ μητέραις (μήτραις Cd) ἐπιβαίνων Cb Cd || **8** ἐπιβαίνων Mc || καὶ ante τοῦτο om. Mh || εἰς ὠφέλειαν αὐτῶν δεσπότα Mc || αὐτῶν τῶν δεσποτῶν Mk || τῶν δεσποτῶν om. Cb Cd || **9** αὐτοῖς ὠὰ Cd Ch Mc Mk || τίκτεσθαι τούτοις Mh || **10** παρασκευάζω libri exceptis Ca Cb || ἀποκριθεὶς δὲ ὁ (δὲ ὁ om. Mh) αἴλουρος Ce Cf Mh || εἶπεν libri exceptis Ca Mh || Ἐὰν (Εἰ Ce Cf) γὰρ Cb Cd Ce Cf Ch Εἰ γάρ σοι Mc || Εἰ σὺ ἀπολογιῶν (ἀπολογιῶν in rasura) πολλῶν εὐπορεῖς Mk || πολλῶν ἀφορμῶν εὐπορεῖς Mh || **11** εὐπορήσει Cb — ρῇς Cd — ρήσεις Cf Mc || ἐγὼ δὲ Mc || ουχ ἄδειπνος μένω Mk || καὶ ἔφαγεν αὐτόν addunt Cb Cd Ch Mc Mh.

Digitized by Google

Ὁ μῦθος δηλοῖ ὅτι ἡ πονηρὰ φύσις πλημμελεῖν προαιρουμένη, κἂν μετ᾽ εὐλόγου προσχήματος οὐ δυνηθῇ, ἀλλά γε ἀπαρακαλύπτως πονηρεύεται.

12 Ὅτι Cb || ἡ om. Mc || ὁ πονηρά Mk || **13** κἂν μητ᾽ εὐλογίας προσκώματος δυνηθείη Cf κἂν μετὰ λόγου προσχήματος συνήθους Mc κἂν δυνηθῇ μετ᾽ εὐλόγου προσχήματος Mh μετὰ λόγου καὶ προσχήματος συνήθους Mk || συνήθη pro δυνηθῇ Cb συνθῇ Cd || εἰ (εἰ om. Cf) δὲ μή γε pro ἀλλά γε Cb Cd Cf Mc Mh εἰ δὲ μὴ Mk || **14** ἀπαραλήπτως Cd Mc Mh ἀπαράλειπτος Cf || 12-14 προαιρουμένη μετ᾽ εὐλόγου αἰτίας προσχηματίζεται ἀδικεῖν· ὅταν δὲ μὴ δυνηθῇ, τότε φανερῶς τὸ δίκαιον ἀποκρούων, τὴν ἀδικίαν ἐναργῶς πλημμελεῖ Ce.

Aliter.

Αἴλουρος, ἀλεκτρυόνα συλλαβών, ἠβούλετο μετ᾽ εὐλόγου αἰτίας τοῦτον καταθοινήσασθαι. Καὶ δὴ λέγοντος ὀχληρὸν αὐτὸν εἶναι τοῖς ἀνθρώποις νύκτωρ κεκραγότα· « Ἐπ᾽ ὠφελείᾳ, ἔφη, τῶν ἀνθρώπων τοῦτο ποιῶ. » Ἐκ δευτέρου πάλιν φήσαντος· « Ἀλλ᾽ ἀσεβὴς εἰς τὴν φύσιν τυγχάνεις », « Καὶ τοῦτο ἐπ᾽ ὠφελείᾳ τῶν δεσποτῶν, εἴρηκε, πράττω. » Ὁ δὲ ἀποκριθείς· « Ἐὰν σὺ πολλῶν ἀφορμῶν εὐπορήσῃς, ἔφη, ἐγὼ τέως ἄδειπνος οὐ μενῶ. »
Οὕτως ἡ πονηρὰ φύσις ἀδικεῖν προαιρουμένη, κἂν μετ᾽ εὐλόγου προσχήματος οὐ δυνηθῇ, ἀλλά γε ἀπαρακαλύπτως πονηρεύεται.

Cod. Cc 5 (decurtata fabula).

Aliter.

Αἴλουρος, συλλαβὼν ἀλεκτρυόνα, μετ᾽ εὐλόγου τοῦτον αἰτίας ἠβουλήθη καταφαγεῖν. Καὶ δὴ κατηγόρει αὐτοῦ ὡς ὀχληρὸς εἴη τοῖς ἀνθρώποις νύκτωρ κεκραγὼς καὶ μὴ συγχωρῶν ὕπνου τυγχάνειν. Τοῦ δ᾽ ἀπολογουμένου ἐπὶ τῇ ἐκείνων ὠφελείᾳ τοῦτο ποιεῖν, ὡς ἐπὶ τὰ συνήθη τῶν ἔργων ἐγείρεσθαι, πάλιν ὁ αἴλουρος αἰτίαν ἐπέφερεν ὡς ἀσεβὴς εἴη περὶ τὴν φύσιν, μητρὶ καὶ ἀδελφαῖς συμμιγνύμενος. Τοῦ δὲ καὶ τοῦτο πρὸς ὠφέλειαν τῶν δεσποτῶν πράττειν φήσαντος, πολλῶν αὐτοῖς ἐντεῦθεν ᾠῶν τικτομένων, ὁ αἴλουρος εἰπών· « Ἀλλ᾽ εἰ σύ γε πολλῶν εὐπορεῖς

Codd. La 6 Lb 5 Lc 4 Le 5 Lf 6 Lg 4 Md 5 Mg 6 Mi 40 Mj 6 Ml 5 Mm 5.

2 λέγων ὡς ὀχληρὸς Le Lg Mg Mj || **4** τυγχάνειν ὕπνου Le || **5** ἐκείνου Lg || **6** ὁ ante αἴλουρος om. Mj || **7** μητρὶ δὲ (δὲ pro καὶ) Lc || συγγιγνόμενος Lg || **9** τικτουμένων Lc || **10** ὁ αἴλουρος ... πολλῶν om. Lg (εἶπεν Ἀλλ᾽ εἰ in margine) || εὐποροῖς Mj.

εὐπροσώπων ἀπολογιῶν, ἔγωγε μέντοι ἄτροφος οὐ μενῶ », τοῦτον κατεθοινήσατο.

Ὁ μῦθος δηλοῖ ὅτι ἡ πονηρὰ φύσις πλημμελεῖν αἱρουμένη, εἰ μὴ μετ' εὐλόγου δυνηθείη προσχήματος, ἀπαρακαλύπτως γε μὴν πονηρεύεται.

11 ἀπολογιῶν, ἔφη Lg || οὐ om. Le || **13** ἡ ante πονηρὰ om. Ml || **14** μετ' εὐλόγου om. Md Mm || ἀποκαλύπτως Mg.

13

Αἴλουρος καὶ μύες.

Ἔν τινι οἰκίᾳ πολλοὶ μύες ἦσαν. Αἴλουρος δὲ τοῦτο γνοὺς ἧκεν ἐνταῦθα καὶ συλλαμβάνων ἕνα ἕκαστον κατήσθιεν. Οἱ δὲ μύες συνεχῶς ἀναλισκόμενοι κατὰ τῶν ὀπῶν ἔδυνον, καὶ ὁ αἴλουρος μηκέτι αὐτῶν ἐφικνεῖσθαι δυνάμενος, δεῖν ἔγνω δι' ἐπινοίας αὐτοὺς ἐκκαλεῖσθαι. Διόπερ ἀναβὰς ἐπί τινα πάσσαλον καὶ ἑαυτὸν ἐνθένδε ἀποκρεμάσας προσεποιεῖτο τὸν νεκρόν. Τῶν δὲ μυῶν τις παρακύψας, ὡς ἐθεάσατο αὐτόν, εἶπεν· « Ἀλλ', ὦ οὗτος, σοί γε, κἂν θύλαξ γένῃ, οὐ προσελεύσομαι. »

Ὁ λόγος δηλοῖ ὅτι οἱ φρόνιμοι τῶν ἀνθρώπων, ὅταν τῆς ἐνίων μοχθηρίας πειραθῶσιν, οὐκέτι αὐτῶν ταῖς ὑποκρίσεσιν {οὗτοι] ἐξαπατῶνται.

Codd. Pa 76 Pb 80 Pc 41 Pe 45 Pg 51 Ma 59.

1 μύαι πολλαὶ Pe || ἧκεν ἐνταῦθα γνοὺς τοῦτο Pc || **2** ἐκεῖσε Pg || ἧκεν ἐνταῦθα om. Pe || ἕκαστον αὐτῶν Pe || **3** κατίσθιεν Pa || Οἱ δὲ, omisso μύες Pg || Οἱ δὲ μύαι συνεγῶς ἀλισκόμεναι κατὰ τὸν τόπον ἔδυον Pe || **4** καὶ ὁ αἴλουρος δὲ Pg || μηκέτι δυνάμενος ἀφικνεῖσθαι (-νῦσθαι Pe) Pe Ma || ἐφικέσθαι Pb || **5** δεῖν ᾠήθη δι' ἐπινοίας Pc || δι' ἐπινοίας αὐτὰς ἐκκαλεῖσθαι διενοήθη Pe || ἔγνω δεῖν Ma || ἔγνω om. Pa || **6** αὐτὸν ἐνθάδε Pb || ἐκεῖθεν Pg || ἐνθένδε om. Pe Ma || **7** τὸ νεκρὸν Pc || τὸν om. Pb Ma || **8** ἔφη Pe Ma || **9** σοί γε nos σύ γε Pa Pb Pc Pg || σοί γε om. Pe Ma || ἂν καθέλαξ γενήσει Ma || προσελεύσομαι Pa -μεθα Pb Pc Pg Ma || οὐκ ἐλεύσομαι πρός σέ Pe || **10** ὅταν τινῶν ἑταίρων μοχθηρίαν πειρασθῶσι Pe || **12** οὗτοι Pa οὗτος Pb αὖτ' Pc om. Pe Pg || In Ma epimythium exstat in fine fabulae sequentis (Μυῖα), sed truncum est et desinit in ἐνίων.

Digitized by Google

Aliter.

Ἔν τινι οἰκίᾳ πολλοὶ μύες ἦσαν. Αἴλουρος δὲ τοῦτο γνοὺς ἧκεν ἐνταῦθα καὶ συλλέγων ἕνα καθ' ἕνα κατήσθιεν. Οἱ δὲ μύες συνεχῶς ἀναλισκόμενοι εἶπον πρὸς ἑαυτούς· « Ἕτοιμοι κατέλθωμεν κάτω καὶ ἐπὶ τῶν ὀπῶν δύνωμεν, ἵνα μὴ παντελῶς ἀπολεσθῶμεν· τοῦ γὰρ αἰλούρου μηκέτι δυναμένου ἀφικνεῖσθαι ἐκεῖσε, ἡμεῖς διασωθησόμεθα. » Ὁ δὲ, μὴ δυνάμενος αὐτῶν ἀφικέσθαι, δεῖν ᾠήθη καὶ ἔγνω δι' ἐπινοίας καὶ μηχανῆς αὐτοὺς ἐκκαλεῖσθαι. Ἀναβὰς γὰρ ἐπί τινα πάσσαλον καὶ ἑαυτὸν ἔνθεν ἀποκρημνίσας τε καὶ κρεμάσας, προσεποιεῖτο αὐτὸν νεκρὸν εἶναι. Τῶν δὲ μυῶν τις παρακύψας, ὡς ἐθεάσατο αὐτόν, ἔφη· « Ὦ οὗτος, κἂν θύλαξ γένῃ σύ, οὐ προσελευσόμεθά σοι. »

Codd. Ca 67 Cb 44 Cd 41 Ce 46 Cf 50 Ch 51 Mc 43 Mh 44 Mk 47.

1 μύες πολλοὶ ὑπάρχοντες omisso ἦσαν Cb Cd Ce Mc μύες πολλαὶ ὑπάρχουσαι, omisso ἦσαν Cf μύες πολλοὶ ὑπῆρχον Ch ὑπήρχων μύες πολλοὶ Mh μύες ὑπῆρχον πολλοὶ Mk || Καὶ αἴλουρός τις Cd Γαλῆ τοῦτο γνοῦσα Ce || **2** γνοὺς οἶκον πλησίον ἐκτήσατο καὶ συλλαμβάνων Mk || ἐκεῖσε Mh || συλλαβὼν Cb Cd Mc || ἤσθιεν Cd Mh Mk || **3** ἁλισκομένους ἑαυτοὺς ὁρῶντες καὶ φθειρομένους πρὸς ἀλλήλους εἶπον· Μὴ κατέλθωμεν Mk || πρὸς αὐτοὺς εἶπον ὅτι (ὅτι om. Cd Mk ἔτι Ce Ch) μὴ κατέλθωμεν Cb Cd Ce Mc || **4** συντόμως pro ἕτοιμοι Mh || κάτω om. Cb || καὶ ἐπὶ τῶν ὀπῶν δύνωμεν, libri om. excepto Ca || **5** πάντες Md || ἀπολλώμεθα Cb ἀπολώμεθα Ch Mc Mk ἀπολύμεθα Cd || Καὶ ὁ αἴλουρος μηκέτι (οὐκέτι Cd) δυνάμενος ἀφικνεῖσθαι (ἀφικέσθαι Mc καθικέσθαι Mh) ἡμεῖς Cb Cd Cf Ch Mc Mh Καὶ ἡ γαλῆ μηκέτι δυναμένη ἀφικνεῖσθαι, ἡμεῖς δὲ Ce || μὴ δυναμένου ἀνέργεσθαι Mk || **6** ἐκεῖσε om. libri excepto Ca || ἡμοῖς διασωθῶμεν Mh || **7** Ὁ δὲ αἴλουρος (αἴλλουρος Cb) ἔγνω δι' ἐπινοίας αὐτοὺς ἐκκαλεῖσθαι Cb Cd Ch Ὁ δὲ αἴλουρος γνοὺς δι' ἀπενίαν αὐτοὺς ἐκκαλεῖσθαι Cf Ἡ δὲ γαλῆ ἔγνω δι' ἐπινοίας αὐτοὺς ἐκκαλέσασθαι Ce Ὁ δὲ αἴλουρος ἔγνω τὰς ἐπινοίας αὐτῶν ἐκκαλεῖσθαι Mc || Ὁ δὲ αἴλουρος γνοῦς τοῦτο, ἀναβὰς ἐπί τινα πάσσαλον ceteris omissis Mh Ὁ δὲ αἴλουρος ἔγνω τὰς ἐπινοίας αὐτῶν καὶ ἀναβὰς ἐπί τινος πασσάλου ceteris omissis Mk || **8** γὰρ om. Cb || **9** καὶ ἑαυτὸν (αὐτὸν Cb Mc ἑαυτὴν Ce) ἀποκρεμάσας (ἀποκρημνίσας Ce Ch Mk ἀποκρυμνήσας Cd Cf ἀποκριμνήσας Mc ἀποκρεμνήσας Mh) προσεποιεῖτο ἀπονεκρωθῆναι (ἀπονεκρωθῆναι προσεποιεῖτο Mk πρ- . ἀποθνήσκειν Cd πρ- αὐτὸν νεκρὸν εἶναι Ch) libri excepto Ca || **11** παρακύψας, καὶ εἰδὼν αὐτόν Mh || ὡς ἐθεάσατο, ἀπεκρίθη Mk || αὐτήν· Ὦ οὗτος, ἔφη Ce || ἀλλα κἂν Mh || κἂν θῆλαξ γενοίσει Cb || κἂν νεκρὸς γένῃ, οὐκ ἐλευσόμεθα Cd || **12** σύ om. Cb Cd Ce Cf Mh Mk || σοι om. Cb Cd Mc.

Digitized by Google

Ὁ μῦθος δηλοῖ ὅτι οἱ φρόνιμοι τῶν ἀνθρώπων, ὅταν τῆς ἐνίων μοχθηρίας πειραθῶσιν, οὐκέτι αὐτῶν ταῖς ὑποκρίσεσιν ἐξαπατῶνται.

13 Ὅταν τις ἐνίως Cb ὅταν τῆς τῶν ἐνίων Ce ὅταν τοῖς ἐννοίων Mc ὅταν τῆς τῶν ἐννοίχων Mk || **14** πονηρίας Mh || πειρασθῶσιν Mc || οὐκ ἐξαπατῶνται ταῖς ἑαυτῶν ὑποκρίσεσιν Ce οὐκέτι ταῖς ὑποκρίσεσιν ἐξαπάτονται αὐτῶν Mh || οὐδὲ ταῖς ἀποκρίσεσιν αὐτῶν ἀπατῶνται Mk || **13-15** Οἱ φρόνιμοι ὅτταν τινὰ πονηρὸν καταλάβωσι ταῖς ἐννοίαις, οὐκέτι αὐτοῦ ταῖς ἀποκρίσεσιν ἀπατῶνται Cd.

Aliter.

Ἐν οἰκίᾳ τινὶ πολλῶν μυῶν ὄντων, αἴλουρος τοῦτο γνοὺς ἧκεν ἐνταῦθα καὶ καθ' ἕκαστον αὐτῶν συλλαμβάνων κατήσθιεν. Οἱ δὲ καθ' ἑκάστην ἑαυτοὺς ἀναλισκομένους δρῶντες ἔφασαν πρὸς ἀλλήλους· « Μηκέτι κάτω κατέλθωμεν, ἵνα μὴ παντάπασιν ἀπολώμεθα. Τοῦ γὰρ αἰλούρου μὴ δυναμένου δεῦρο ἐξικνεῖσθαι, ἡμεῖς σωθησόμεθα. » Ὁ δὲ αἴλουρος, μηκέτι τῶν μυῶν κατιόντων, ἔγνω δι' ἐπινοίας αὐτοὺς σοφιζόμενος ἐκκαλέσασθαι. Καὶ δὴ ἀπὸ παττάλου τινὸς ἀναβὰς ἑαυτὸν ἀπῃώρησε καὶ προσεποιεῖτο νεκρὸς εἶναι. Τῶν δὲ μυῶν τις, παρακύψας καὶ ἰδὼν αὐτόν, ἔφη· « Ὦ οὗτος, κἂν θύλαξ γένῃ, οὐ προσελεύσομαί σοι. »

Ὁ μῦθος δηλοῖ ὅτι τῶν ἀνθρώπων οἱ φρόνιμοι, ὅταν τῆς ἐνίων μοχθηρίας πειραθῶσιν, οὐκέτι αὐτῶν ἐξαπατῶνται ταῖς ὑποκρίσεσι.

Codd. La 28 Lb 41 Le 41 Lf 28 Md 49 Me 48 Mf 43 Mg 56 Mi 84 Mj 49 Ml 55.

1 Ἔν τινι οἰκίᾳ ὑπῆρχον μύες πολλοί Md Mj || **3** καθ' ἕκαστον ἑαυτοὺς Ml || αὐτοὺς Md Mi || ἀλισκομένους Le || **9** ἀναβὰς ἑαυτὸν Md Mi Mj ἑαυτὸν ἀ-ceteri || ἀπῃώρισε Lf Mg || τὸ νεκρὸς Mi νεκρὸν La Lf νεκρὸν correctum in νεκρὸς Le || **11** ἀλλὰ κἂν Mi || προσελευσόμεθα Lb Le Mj || σοι om. Lb || **12** Ὁ μῦθος ὅτι Lb || **13** πειράσωσιν Le.

Aliter (fabula decurtata).

Αἰλούρου προσποιουμένου νεκρωθῆναι, ὡς τοῦτον οἱ μύες ἐθεάσαντο, ἔφησαν· « Ὦ οὗτος, κἂν θύλαξ γένῃ, οὐ προσελευσόμεθά σοι. »

Οὕτως τῶν ἀνθρώπων οἱ φρόνιμοι, ὅταν τῆς ἐνίων μοχθηρίας πειραθῶσιν, οὐκέτι αὐτῶν ἀπατῶνται ταῖς ὑποκρίσεσι.

Cod. Mm 35.

Digitized by Google

14

Αἴλουρος καὶ ὄρνιθες.

Αἴλουρος ἀκούσας ὅτι ἔν τινι ἐπαύλει ὄρνεις νοσοῦσι, σχηματίσας ἑαυτὸν εἰς ἰατρὸν καὶ τὰ τῆς ἐπιστήμης πρόσφορα ἀναλαβὼν ἐργαλεῖα, παρεγένετο, καὶ στὰς πρὸ τῆς ἐπαύλεως ἐπυνθάνετο αὐτῶν πῶς ἔχοιεν. Αἱ δὲ ὑποτυχοῦσαι· « Καλῶς, ἔφασαν, ἐὰν σὺ ἐντεῦθεν ἀπαλλαγῇς. »

Οὕτως καὶ τῶν ἀνθρώπων οἱ πονηροὶ τοὺς φρονίμους οὐ λανθάνουσι, κἂν τὰ μάλιστα χρηστότητα ὑποκρίνωνται.

Codd. Pa 17 Pb 7 Pd 8 Pe 12 Pg 5 Ma 15 Mb 3 — Ca 14 Ce 9 Cf 9.

1 Αἴλουρος ἀκούσας ἔν τινι αὐλαίᾳ ὡς ἐπαύλαι Ma || ἔν τινι τόπῳ ἐπ' αὐλῃ Ca ἔν τινι πόλει (πολλαὶ addit Cf) ποικίλαι Ce Cf || ἔν τι ἐπαύλει Mb || ὄρνῑς Pa Pb Mb Ce ὄρνιθες Ca || νοσεύουσι Pe || **2** σχημαθισθείς ἑαυτόν Ma || αὐτὴν Cf || εἰς ἰατρὸν ἑαυτὸν σχηματίσας Ca || εἰς om. Pd || εἶτα τῆς ἐπιστήμης ἐργαλεῖα ἀναλαβὼν παρεγένετο πρὸς αὐτάς Pe τῆς τῆς ἐπιστήμης πρόσφορον ἀναλαβὼν ἀργαλία Cf || **3** πρόσφορα om. Ce || **4** ἐπυνθάνετο αὐτὰς Ca || παρ' αὐτῶν Ce || αὐτῶν om. Ma || πῶς ἂν ἔχωσιν Pe πῶς ἔχωσι Ce πῶς ἔχει Cf || ἀποτυχοῦσαι Mb ἀποκριθεῖσαι Pg Ca || Αἱ δέ· Καλῶς, ἔφασχον, εἰ σὺ ἐντεῦθεν ἀπαλλάγεις Ce Ἕνα δὲ ἀποτυχοῦσα· Καλῶς, ἔφασκεν Cf || **5** ἔφησαν Pd Pe Ma Mb || ἀπαλλαγήσῃ Pe Cf || **7** λανθάνωσι Pa || Post λανθάνουσι desinit Pe || κἂν μάλιστα Ma Ca || ὑποκρίνονται Pd ἐπαγγέλλονται Pg || **6-7** Ὁ μῦθος δηλοῖ ὅτι τοὺς φρονίμους οὐ λανθάνει ἡ πονηρία τῶν κακούργων (πονηρίαν ἀνδρῶν Cf) Ce Cf.

Aliter.

Ὄρνις καὶ αἴλουρος.

Ὄρνις δέ ποτε κατακλιθεὶς ἠρρώστει·
εἰς ὃν αἴλουρος προκύψας ἔφη ταῦτα·
« Πῶς ἔχεις, φίλε, τί δέ σοι; ἄν τι χρῄζῃς,

Codd. Ca 157 Cb 85 Cd 99 Cg 30 Ch 105 Mb 139 Mc 84.

1 κατακλησθεῖσα Cb κατακλασθείς Mb κατακληθεὶς Mc || ἠρώστει Ca Cb Mc || **2** εἰς om. Mb || ὁ αἴλουρος Mb || ταῦτα ἔφη Cb || ταῦτα om. Cd || **3** τί δὲ σύ Ch Mb τί δ' εἰσίν Cg τί δέ σοι om. Cd || ἄν τι nos || ἵνα τί χρῄζῃς Ca Cb ἵνα τί δὲ καὶ χρῄζῃς Cd ἢ τινος ὧν χρήζεις Cg ἵνα χρῄζῃς Ch ἵνα χρήζεις Mb ἵνα τί δέ σοι χρήζεις Mc.

Digitized by Google

᾽Ανάγγειλόν μοι καὶ πάντα σοι παρέξω.
῞Ομως ἔγειρε, καὶ τεύξῃ τῆς ὑγείας. »
῾Η δ᾽ἀπεκρίθη πρὸς τὸν αἴλουρον ταῦτα·
« Εἰ σὺ παρέλθῃς, ἐγὼ οὐκ ἀποθνῄσκω·
ζωὴν γὰρ ζήσω δορκάδος ὑπερτέραν. »

Τοὺς δολίους ὑποκριτάς, τοὺς λέγοντας φιλεῖν, ὁ μῦθος ἐλέγχει.

4 ἐπεὶ ἐγὼ γὰρ ταῦτα πάντα σοι δώσω Mb || τὰ pro πάντα Cb || **5** ὅμως γὰρ Cb Mc || καὶ τύχῃς τῆς ὑγείας Cg || ὑγιείας Ca Cd ὑγίας Mb || **6** ῾Η δὲ Ca ῾Ο δ᾽ Cg || ῾Ο δ᾽ ἀπεκρίθη πρὸς αὐτήν τε καὶ λέγει Mb ῾Ο δ᾽ ἀποκριθεὶς πρὸς ταῦτα ἔφη Mc || 7 παρέλθῃ Cd || οὐδαμῶς ἐγὼ θάνω Mb || 8 ζωὴν γὰρ ἔχω Mb || ζορκάδος Cg Mc || ὑπερτέρα Mc || **9** ῾Ο μῦθος δηλοῖ ὅτι .... ὁ μῦθος ἐλέγχει Ca Ch Mc || ῞Οτι τοὺς Cb Mb || δειλοὺς Mb || **9-10** Οὗτος ὁ μῦθος ἐλέγχει τοὺς φιλοῦντας δολίως Cd.

Aliter.

Αἴλουρος καὶ ὄρνις.

῎Ορνις ποτὲ ἠσθένει· αἴλουρος δὲ προκύψας εἶπεν· « Πῶς ἔχεις; εἴ τι χρῄζεις, ἐγώ σοι δώσω, μόνον ὑγίαινε. » ῾Η δὲ ἔφη· « ᾽Εὰν ἀπέλθῃς, οὐκ ἀποθνῄσκω. »
[῞Οτι] ὑποκριτὰς δολίους φιλεῖν λέγοντας ὁ μῦθος ἐλέγχει.

Codd. Ba 111 Bb 67 Md 90 Mh 82 Mi 6 Mm 108.

1 ἔφη M || **2** εἴ τι χρῄζεις nos τί χρῄζεις B εἰ χρῄζεις τινός M || δώσω σοι Ba || ὑγιᾶνε B || **3** ῾Ο δὲ Bb || ἐὰν ἀπέλθῃς σὺ αὐτὸς τῶν ὧδε, ἐγώ σοι λέγω, οὐδαμῶς ἀποθνήσκω M || **4** δολίως codd. || ῾Ο μῦθος ἐλέγχει (δηλοῖ Mm) τοὺς λέγοντας φιλεῖν δολίως καὶ μεθ᾽ ὑποκρίσεως M.

15

Αἴξ καὶ αἰγοβοσκός.

Αἰγοβοσκὸς τὰς αἶγας ἀνεκαλεῖτο πρὸς τὴν μάνδραν. Μία δὲ ἐξ αὐτῶν ὑπελείφθη, ἡδύ τι βοσκομένη. ῾Ρίψας δ᾽ ὁ ποιμὴν πέτραν, τὸ κέρας αὐτῆς κατέαξεν εὐστοχήσας. ᾽Εδυσώπει δὲ τὴν αἶγα μὴ εἰπεῖν τοῦτο τῷ δεσπότῃ. ῾Η δὲ

Codd. Ba 4 Bb 3.

1 τὴν ante μάνδραν om. Bb || **3** ἀστοχήσας Ba. || **4** αἶγαν Bb.

Digitized by Google

εἶπεν· « Κἂν ἐγὼ σιωπήσω, πῶς κρύψω; πρόδηλον γάρ ἐστι πᾶσι τὸ κέρας μου κεκλασμένον. »

Ὅτι, τῆς αἰτίας προδήλου οὔσης, οὐ δυνατὸν ταύτην καλύψαι.

5 πῶς κρύψω om. Ba || γάρ om. Ba || ἐστι om. Bb.

Aliter.

Αἶξ καὶ αἰπόλος.

Αἰπόλος αἶγας πρὸς μάνδραν ἐνεκαλεῖτο. Μιᾶς δὲ ἐξ αὐτῶν ἐν πόᾳ τινὶ δροσερᾷ καταλειφθείσης, ὁ ποιμὴν κατ' ἐκείνης λίθον ἀφῆκε, καὶ εὐστόχως βαλὼν τὸ κέρας συνέτριψεν· ὅθεν καὶ ἐδυσώπει τὴν πεπονθυῖαν ἀνέκφραστον τῷ κυρίῳ διατηρῆσαι τὸ δρᾶμα. Ἡ δὲ ἔφησε· « Κἂν ἐγὼ σιωπήσω, τὸ κέρας κεκράξεται. »

Τῆς αἰτίας προδήλου οὔσης, ἀδύνατον ταύτην ἐπικαλύψαι.

Cod. Bc 4.

2 καταλειφθείσης nos κρατηθείσης cod.

Aliter.

Ποιμὴν καὶ αἶξ.

Ποιμὴν δέ ποτε αἶγας προσεκαλεῖτο
τοῦ προσβαλέσθαι ἔνδοθεν εἰς τὴν μάνδραν.
Μία δ' ἐξ αὐτῶν ἔξωθεν κατελείφθη
ὡς νεμομένη τὰς βοτάνας τῆς χλόης.
Εὐθὺς δ' ὁ ποιμὴν ἐπ' αὐτὴν ῥάβδον ῥίψας
τὸ ἓν κέρας ἔκοψε τῆς αἰγὸς ὅλον.
Ὡς οὖν κάτιδεν ὁ ποιμὴν κεκομμένον,
καθικέτευε τῷ δεσπότῃ μὴ φάσθαι,
μηδ' ὑποδεῖξαι κεκλασμένον τὸ κέρας.
Ἡ δὲ πρὸς αὐτὸν ἐγέλασεν εἰποῦσα·
« Πῶς ἂν κρύψω γε τὸ φανερὸν ἐν πᾶσι;
τῆς γὰρ καρᾶς μου μονοκέρωτος οὔσης,
πρόδηλόν ἐστι τοῖς ἐμὲ θεωροῦσι. »

Ὅτι, τῆς αἰτίας προδήλου τυγχανούσης, οὐδεὶς δύναται ταύτην κατακαλύψαι.

Cod. Mb 191.

3 κατελήφθη cod. || 4 ταῖς βοτάναις cod. || 8 φῆσθαι cod.

Digitized by Google

16

Αἴξ καὶ ὄνος.

Αἶγα καὶ ὄνον ἔτρεφέ τις. Ἡ δὲ αἴξ, φθονήσασα τῷ ὄνῳ διὰ τὸ περισσὸν τῆς τροφῆς, ἔλεγεν ὡς ἄπειρα κολάζῃ, ποτὲ μὲν ἀλήθων, ποτὲ δὲ ἀχθοφορῶν, καὶ συνεβούλευεν ἐπίληπτον ἑαυτὸν ποιήσαντα καταπεσεῖν ἔν τινι βόθρῳ καὶ ἀναπαύσεως τυχεῖν. Ὁ δὲ πιστεύσας καὶ πεσὼν συνετρίβη. Ὁ δὲ δεσπότης τὸν ἰατρὸν καλέσας ᾔτει βοηθεῖν. Ὁ δὲ αἰγὸς πνεύμονα ἐγχυματίσαι ἔλεγεν αὐτῷ καὶ τῆς ὑγείας τυχεῖν. Τὴν δὲ αἶγα θύσαντες τὸν ὄνον ἰάτρευον.

Ὅτι ὅστις καθ' ἑτέρου δόλια μηχανᾶται ἑαυτοῦ γίνεται τῶν κακῶν ἀρχηγός.

Cod. Ba 3 Bb 2.

4 ποιῆσαι καταπεσὼν Bb.

Aliter.

Αἶγα καὶ ὄνον ἔτρεφέ τις. Ἡ δὲ αἴξ, φθονήσασα τῷ ὄνῳ διὰ τὸ περιττὸν τῆς τροφῆς, εἰρωνικῶς συνεβούλευε λέγουσα· « Ἄπειρα κολάζῃ, ποτὲ μὲν ἀλήθων, ποτὲ δ' ἀχθηφορῶν. Ἐπίληπτον οὖν ἑαυτὸν ποιήσας τῷ βόθρῳ κρημνίσθητι. » Πεισθεὶς οὖν ὁ ὄνος ἐποίησεν ὡς ἐδιδάχθη· ὅθεν καὶ συνετρίβη. Ὁ δὲ δεσπότης ἀμφοτέρων καλέσας τὸν ἰατρὸν βοηθεῖν τῷ ὄνῳ ᾐτεῖτο. Ὁ δὲ πόμα τούτῳ δι' αἰγὸς πνεύμονος κατασκευασθὲν κεράσαι ὡρίσατο καὶ οὕτω τῆς ὑγείας τυχεῖν. Θύσαντες τοίνυν τὴν ἀθλίαν καὶ αὐτεπίβουλον αἶγα, τὸν ὄνον ἰάτρευον.

Ὅστις καθ' ἑτέρου δόλον μηχανᾶται ἑαυτοῦ ἐστι τῶν κακῶν αὐτουργός.

Cod. Bc 3.

11 καθ' ἕτερον cod.

Digitized by Google

Aliter.

Ἀνήρ τις ἔτρεφεν αἶγ' ἅμα καὶ ὄνον·
ἀλλ' ἡ αἴξ ἐφθόνησε πολλὰ τῇ ὄνῳ
διὰ τὴν τρυφὴν κριθάς τε καὶ τὸν χόρτον.
Αὐτῇ ἔλεγεν ὡς « ἄπειρα κολάζῃ
ποτὲ μὲν ἀλήθουσα ἐν τῷ μυλῶνι
ποτὲ δὲ πάλιν ἀχθοφοροῦσα μάλα·
λοιπὸν ἐν τούτῳ λίαν σε ἐλεοῦμαι.
Πῶς ταῦτα πάσχεις καὶ ἀτυχὴς τυγχάνεις ; »
Ὁ δὲ πρὸς αὐτὴν ⟨ἔφη⟩· « Καὶ τί ποιήσω ;
οὐ γὰρ δύναμαι τὴν ζωὴν ἄλλως ἔχειν. »
Ἡ συμβουλεύει ἐπίληπτον γενέσθαι
καὶ καταπεσεῖν ἐν ἑνὶ τῶν βαράθρων,
ὅπως ἂν καὐτὴ ἀναπαύσεως τύχῃς.
Καὶ δὴ ἡ ὄνος ὑπακούσασα τούτου
πεσοῦσα πρὸς γῆν εὐθέως συνετρίβη,
ὥσπερ νόσημα δεινὸν προσκεκτημένη
καὶ τὸν θάνατον αὐτὴ προσδεδεγμένη.
Τοῦ γοῦν δεσπότου τῇ λύπῃ συσχεθέντος,
δραμὼν αὐτίκα τὸν ἰατρὸν ἐκάλει
ἐκλιπαρῶν τοῦτον ὑγιᾶναι ὄνον.
Ὁ οὖν ἀκέστωρ αἰγὸς πνεύμονα φάσκει
ἐγχυματίζειν καὶ ῥώσεως τυγχάνειν.
Οἳ παραυτίκα τεθυκότες τὴν αἶγα
τρίψαντες τὸν πνεύμον' αἵματι ἰδίῳ
ἐγχυματοῦντες ἰάτρευσαν τὴν νόσον.
Αὐτὸς καθ' αὑτοῦ λανθάνει τοῦτο ποιῶν.

Cod. Mb 12.

1 αἶγα ἅμα cod. || **2** ἡ αἴξ ἐφθόνησε nos ἡ ἐξεφθόνησε cod. || **5** ἀλήθουσα ἐν τῷ μυλῶνι nos ἐν τῷ μύλῳ ἀλήθων cod. || **6** ἀχθοφοροῦσα μάλα nos ἀχθοφορῶν καὶ μάλα cod. || **9** ἔφη addidi || **13** καὐτὴ nos καὐτὸς cod. || **20** ὑγιᾶναι ὄνον nos ὑγιαῖναι τὴν ὄνον cod. || **24** πνεύμονα σὺν αἵματι cod. σὺν seclusi || **26** καθ' αὑτοῦ nos καθ' ἑαυτοῦ cod. || τοῦτο ποιῶν nos τούτῳ ἰὼν cod.

Digitized by Google

17

Αἰπόλος καὶ αἶγες ἄγριαι.

Αἰπόλος τὰς αἶγας αὐτοῦ ἀπελάσας ἐπὶ νομήν, ὡς ἐθεάσατο ἀγρίαις αὐτὰς ἀναμιγείσας, ἑσπέρας ἐπιλαβούσης, πάσας εἰς τὸ ἑαυτοῦ σπήλαιον εἰσήλασε. Τῇ δὲ ὑστεραίᾳ χειμῶνος πολλοῦ γενομένου, μὴ δυνάμενος ἐπὶ τὴν συνήθη νομὴν αὐτὰς παραγαγεῖν, ἔνδον ἐτημέλει, ταῖς μὲν ἰδίαις μετρίαν τροφὴν παραβάλλων πρὸς μόνον τὸ μὴ λιμώττειν, ταῖς δὲ ὀθνείαις πλείονα παρασωρεύων πρὸς τὸ καὶ αὐτὰς ἰδιοποιήσασθαι. Παυσαμένου δὲ τοῦ χειμῶνος, ἐπειδὴ πάσας ἐπὶ νομὴν ἐξήγαγεν, αἱ ἄγριαι ἐπιλαβόμεναι τῶν ὀρῶν ἔφευγον. Τοῦ δὲ ποιμένος ἀχαριστίαν αὐτῶν κατηγοροῦντος, εἴγε περιττοτέρας αὐταὶ τημελείας ἐπιτυχοῦσαι καταλείπουσιν αὐτόν, ἔφασαν ἐπιστραφεῖσαι· « Ἀλλὰ καὶ δι' αὐτὸ τοῦτο μᾶλλον φυλαττόμεθα· εἰ γὰρ ἡμᾶς τὰς χθὲς σοι προσεληλυθυίας τῶν πάλαι σὺν σοὶ προετίμησας, δῆλον ὅτι, εἰ καὶ ἕτεραί σοι μετὰ ταῦτα προσπελάσουσιν, ἐκείνας ἡμῶν προκρινεῖς. »

Ὁ λόγος δηλοῖ μὴ δεῖν τούτων ἀσμενίζεσθαι τὰς φιλίας οἳ τῶν παλαιῶν φίλων ἡμᾶς τοὺς προσφάτους προτιμῶσι,

Codd. Pa 16 Pb 6 Pe 11 altera pars Pg 4.

1 αὐτοῦ libri || ἐπὶ νομὴν ἀπελάσας Pb || **5** προαγαγεῖν Pg || ἔνδον ἔστησε μένειν Pb Pg || **6** παραβάλλων nos -βαλών Pa Pb περιβάλλων Pg || **7** ὀθνίαις Pa || περισωρεύων Pb Pg || **8** ἐξιδιοποιήσασθαι Pb || **10** Τοῦ δὲ ποιμένος ἀχαριστίαν τοῦ ἀπαιτοῦντος τὸ χρέος κατηγοροῦντος, ἔφησαν ἐπιστραφεῖσαι, sic incipit Pe, confusa fabula Χρεωφειλέτης cum nostra || **11** εἰ Pb || αὗται Pa αὐταὶ om. Pg || ἐπιμελείας Pb Pg || **12** ἔφησαν Pg || **13** αὐτὸ om. Pg. || μᾶλλον om. Pe || φυλαττόμεθα λέγοντες Pe || **14** τῇ χθὲς Pg || παρεληλυθυίας τούτων σὺν σοὶ προετίμησας Pe || μειζόνως τῶν πάλαι σὺ προετιμήσας Pb || **15** ὅτι εἰ καὶ Pb || εἰ in Pa transpositus est ante προσπελάσουσιν || ὅτι κἂν Pg || ὅτι κἂν ἑτέρας σοι μετὰ ταῦτα προτρέπουσιν Pe || **17** μηδὲν Pa μὴ δὲ Pb Pg || ἕνα συνίζεσθαι Pb || **18** οἱ Pa ὅσοι Pg || προτιμῶντες Pa.

Digitized by Google

λογιζομένους ὅτι, κἂν ἡμῶν ἐγχρονιζόντων ἑτέροις φιλιάσωσιν, ἐκείνους προκρινοῦσιν.

19 καὶ κἄν Pb || ἑτέρους Pb || **20** ἐκείνοις Pa || **17-20** Ὁ λόγος δηλοῖ μὴ ἀσμενίζεσθαι τούτων τὰς φιλίας οἱ τῶν παλαιῶν ἡμᾶς φίλων προκρινοῦσιν εἰδότες ὅτι ἡμῶν καταφρονήσωσι προσφάτως, ἀλλ' οὓς μεθ' ἡμῶν κτησάμενοι Pe.

Aliter.

Ἐν σπηλαίῳ ἀοικήτῳ αἰγοβοσκὸς ἐν χειμῶνι τὰς αἶγας ἤγαγεν. Εὗρε δὲ ἐκεῖ ἀγρίας αἶγας καὶ τράγους πλείονας ὧν εἶχεν αὐτὸς καὶ μείζους. Τὰς ἰδίας δὲ ἀφεὶς, τερφθεὶς ἐπὶ ταῖς ἀγρίαις, ταύτας ἔτρεφε τοῖς φύλλοις. Ὅτε δὲ εὐδία γέγονε, τὰς μὲν ἰδίας εὗρε τεθνεώσας ἐκ τοῦ λιμοῦ, αἱ δὲ ἄγριαι πρὸς τὸ ὄρος ἔφυγον. Ὁ δὲ αἰπόλος [γελάσας] εἰς τὸν οἶκον ἦλθε κενός.

Ὅτι οὐδαμῶς ἡμᾶς πρέπει ἀμελεῖν τῶν οἰκείων ἐπ' ἐλπίδι κέρδους ἐξ ἀλλοτρίων γινομένου.

Codd. Ba 37 Bb 25 Mg 63.

1 τὰς ante αἶγας om. Bb || **2** πλείονας om. Ba || **3** τερφθείς om. Bb || **6** γελάσας om. Mg κλαύσας proponebat Neuelet || **8** δεῖ pro πρέπει Mg || **9** γινομένους Ba om. Mg.

Aliter.

Ποιμὴν ἐν σπηλαίῳ ⟨τὰς⟩ αἶγας προσάγει
ὥρᾳ χειμῶνος καὶ παγετοῦ καὶ ψύχους.
Εὑρὼν δ' ἀγρίας πλείονας ὧν κατέσχε
πάνυ χάρη τερφθεὶς ἐπὶ ταῖς ἀγρίαις,
ἃς ὡς κατεῖδεν, ἐξέτρεφε τοῖς φύλλοις.
Μετὰ δὲ ταῦτα εὐδίας γεγονυίας,
εὗρεν ἃς εἶχεν ἐκ λιμοῦ τεθνηκυίας·
αἱ δὲ ἄγριαι πρὸς τὸ ὄρος δραμοῦσαι
τοῦτον εἴασαν ὡς ἄφρονα καὶ ἄνουν.
Ὁ δὲ αἰπόλος, ὡς εἶδε πεφευγυίας
ἃς ἐξέτρεψε τῇ ὥρᾳ τοῦ χειμῶνος,
μέγα στενάξας κωλολύξας ἐκ βάθους
θρηνῶν ἀπῄει μηδὲν προσκεκτημένος,
εἰ μὴ τὴν ῥάβδον μετὰ τοῦ μαρσιπίου.

Cod. Mb 198.

1 τὰς addidi || **4** χάρη ... ἀγρίαις nos ἐχάρη ... ἄγραις cod. || **5** ἃς ὡς κατεῖδεν nos ὃς ὡς εἶδεν cod. || **12** κωλολύξας nos καὶ ὀλολύξας cod. || **14** ῥάβδον μετὰ τοῦ μαρσιπίου nos ῥαύδον μετὰ τοῦ μαρσίππτου cod.

Digitized by Google

Ὁ λόγος δηλοῖ ὅτι οὐ χρὴ ἡμᾶς ἀμελεῖν τῶν ἰδίων.

Aliter.

Ἐν σπηλαίῳ τινὶ ἐρήμῳ αἰπόλος ἐν χειμῶνι τὰς ἑαυτοῦ αἶγας ἤγαγεν. Εὑρὼν δὲ ἐκεῖ ἀγρίους πλείους τῶν ἑαυτοῦ καὶ μεγίστας, καὶ τερφθεὶς ἐπὶ ταύταις, ταύτας τοῖς φύλλοις [τῶν φύλων] διέτρεφε, τῶν ἑαυτοῦ ἀμελήσας παντάπασι. Τοῦ χειμῶνος δὲ παρελθόντος, αἱ μὲν ἄγριαι ἐπὶ τοῖς ὄρεσιν ἔφυγον, τὰς δὲ ἰδίας ζητῶν εὗρε πάσας τεθνηκυίας, καὶ στενάξας ἔφη· « Ὦ μάταιος ἐγώ, ὃς τῶν ἐμῶν [μὲν] ἀμελήσας ἐπὶ ταῖς ἀγρίαις αἰξὶ τὴν πᾶσαν φροντίδα ἐποιησάμην.

Cod. Bd 17.

4 τῶν φύλων inclusi || 7 μὲν inclusi.

18

Αἰσχρὰ δούλη καὶ Ἀφροδίτη.

Αἰσχρᾶς καὶ κακοτρόπου δούλης ἤρα δεσπότης. Ἡ δὲ χρυσίον λαμβάνουσα λαμπρῶς ἑαυτὴν ἐκόσμει καὶ τῇ ἰδίᾳ δεσποίνῃ μάχας συνῆπτε· τῇ δὲ Ἀφροδίτῃ ἔθυεν συνεχῶς καὶ ηὔχετο ὡς ὡραίαν αὐτὴν ποιούσῃ. Ἡ δὲ καθ' ὕπνου φανεῖσα τῇ δούλῃ ἔφη μὴ ἔχειν αὐτῇ χάριν ὡς καλὴν αὐτὴν ποιούσῃ, « ἀλλ' ἐκείνῳ θυμοῦμαι καὶ ὀργίζομαι ᾧ σὺ φαίνῃ καλή. »

Ὅτι οὐ δεῖ τυφοῦσθαι τοὺς δι' αἰσχρὰ πλουτοῦντας καὶ μάλιστα, εἰ ἀγενεῖς εἰσι καὶ ἄμορφοι [πρὸς αἰσχύνην μείζονα].

Cod. Ba 6 (Cf. Babrius 10).

5 αὐτῇ...ποιούσῃ Knöll, αὐτὴν ποιοῦσαν cod. || 6 ᾧ σὺ Knöll ᾧ σοὶ cod.

Digitized by Google

19

Αἴσωπος ἐν ναυπηγίῳ.

Αἴσωπος ὁ λογοποιὸς σχολὴν ἄγων εἰς ναυπήγιον εἰσῆλθε. Τῶν δὲ ναυπηγῶν σκωπτόντων τε αὐτὸν καὶ ἐκκαλουμένων εἰς ἀπόκρισιν, ὁ Αἴσωπος ἔλεγε τὸ παλαιὸν χάος καὶ ὕδωρ γενέσθαι, τὸν δὲ Δία βουλόμενον καὶ τὸ τῆς γῆς στοιχεῖον ἀναδεῖξαι παραινέσαι αὐτῇ ὅπως ἐπὶ τρὶς ἐκροφήσῃ τὴν θάλασσαν. Κἀκείνη ἀρξαμένη τὸ μὲν πρῶτον τὰ ὄρη ἐξέφηνεν, ἐκ δευτέρου δὲ ἐκροφήσασα καὶ τὰ πεδία ἀπεγύμνωσεν· « ἐὰν δὲ δόξῃ αὐτῇ καὶ τὸ τρίτον ἐκπιεῖν τὸ ὕδωρ, ἄχρηστος ὑμῶν ἡ τέχνη γενήσεται. »

Ὁ λόγος δηλοῖ ὅτι οἱ τοὺς κρείττονας χλευάζοντες λανθάνουσι μείζονας ἑαυτοῖς τὰς ἀνίας ἐξ αὐτῶν ἐπισπώμενοι.

Codd. Pa 18 Pb 8 Pd 9 Pe 13 Mb 44.

1 Αἴσωπός ποτε Pb Mb || ὁ μυθοποιὸς Pb || ναυπηγεῖον libri || ναυπηγίον εἰσῆλθε. Τῶν δὲ om. Pa || εἰσῆλθε om. Pe || **2** Τῶν τε Pe || σκωπτόντων Hudson σκοπούντων libri σκοπούντων τὰ ἑαυτῶν Pe || **4** γεγενεῖσθαι Pd || τὸν δὲ διανοούμενον Pd τῶν δὲ διανοουμένων Pe || **5** ἀποδεῖξαι Mb || παρήνεσεν Pb Mb || παρήνεσεν αὐτὴν ἐπὶ τρεῖς ἐκροφῆσαι Pe || ὅπως ἐπὶ τρεῖς ἐκροφῆσαι (-φῆται Pb ἐκρηφῆσαι Pd) Pb Pd Mb || ἐπὶ τρὶς Schneider, om. Pa || **6** τὰ μὲν πρῶτα ὄρη ἐξέφανεν Pa || τὼ ὄρει ἐξέφανεν Pe || **7** ἐξέφαγεν pro ἐξέφηνεν Pb Pd || τὰ παιδία ἐγύμνωσεν Pe || **8** εἰ δὲ δόξει ἐν αὐτῃ Pd || δόξει αὐτὴν Pb || καὶ τρίτον libri excepto Mb || **9** ἡμῶν Pa Pb ἡμῖν Pd Mb || **10** Ὅτι Pd || ὅτι τοὺς κρείττονας λανθάνουσι μειζόνως ἑαυτοὺς τὰς ἀνοίας ἐξ αὐτῶν ἐπισπώμενοι Pe || **11** λαμβάνουσι Pa μανθάνουσι Mb || τὰς ἀνοίας Pd || τὰς ἀνίας αὐτῶν ἐπισπώμενοι Mb.

20

Ἀλέκτορες δύο καὶ ἀετός.

Ἀλεκτόρων δύο μαχομένων περὶ θηλειῶν ὀρνίθων, ὁ εἷς τὸν ἕτερον κατετροπώσατο. Καὶ ὁ μὲν ἡττηθεὶς εἰς

Cod. T 1.

2 κατετροπόσατο cod.

Digitized by Google

τόπον κατάσκιον ἀπιὼν ἐκρύβη· ὁ δὲ νικήσας εἰς ὕψος ἀρθεὶς καὶ ἐφ' ὑψηλοῦ τοίχου στὰς μεγαλοφώνως ἐβόησε. Καὶ παρευθὺς ἀετὸς καταπτὰς ἥρπασεν αὐτόν. Ὁ δ' ἐν σκότῳ κεκρυμμένος ἀδεῶς ἔκτοτε ταῖς θηλείαις ἐπέβαινε.

Ὁ μῦθος δηλοῖ ὅτι Κύριος ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν.

Cod. T. 1.

6 ἀδιῶν pro ἀδεῶς cod.

Aliter.

Ἀλέκτορες δύο δι' ὄρνεις ἐμάχοντο, οὓς λέγουσι θυμὸν ἔχειν οἷον ἀνθρώπων. Τούτων ὁ ἡττηθεὶς κατεκρύβη ἐν γωνίᾳ· ὁ δὲ ἕτερος ἀνακράξας καὶ ἐπὶ τὸ δῶμα ἀναπετάσας διὰ τὴν νίκην εὐθὺς ἡρπάγη ὑπὸ ἀετοῦ. Ὁ δὲ ἕτερος ταῖς ὄρνισιν ἀφόβως συνῆν.

Ὅτι οὐ δεῖ τινα ἐπὶ τύχῃ καὶ ἀνδρείᾳ μέγα καυχᾶσθαι· πολλοὺς γὰρ ἔσωσε καὶ τὸ μὴ καλῶς πράττειν [· αὐτοὺς δὲ πολλάκις καὶ ἀπώλεσεν].

Codd. Ba 7 Bb 4 Mg 22.

7 αὐτούς... ἀπώλεσεν om. Ba || Huic fabulae adiungit Mg epimythium fabulae sequentis Ἁλιεὺς καὶ βραχεῖς ἰχθύες· « Ὅτι εὔκολον εἰς σωτηρίαν (lege ἡ σωτηρία) τοῖς μὴ μεγάλως εὐτυχοῦσι· τὸν δὲ μέγαν ὄντα τῇ δόξῃ σπανίως <ἂν> ἴδοις ἐκφυγόντα τοὺς κινδύνους. »

Aliter.

Ἀλέκτορες δύο δι' ὄρνεις ἐμάχοντο· τούτους δὲ ἱστοροῦσι θύμον ἔχειν ἀνθρώποις παρόμοιον. Ὁ τῇ μάχῃ οὖν ἡττηθεὶς διὰ τῆς ἑτέρου στερρότητος, ἐν γωνίᾳ τινὶ καθυποδὺς τὴν λόχμην ἐκρύβη. Ὁ δὲ ἕτερος βρενθυόμενος διάτορον ἐξεβόησε τοῦ δώματος ὑπερβάς. Τοῦτον οὖν ἀετὸς καταπτὰς ἀφήρπασε καὶ ἐπεθοινήσατο. Ἔμεινεν οὖν ὁ δειλότερός τε καὶ ἀσθενέστερος ταῖς θηλείαις ἔκτοτε ἄμαχός τε καὶ ἄφθονος.

Ἐπὶ τύχῃ καὶ ἀνδρείᾳ οὐ δεῖ τινα μέγα καυχᾶσθαι.

Cod. Bc 6.

6 ἐπεθοινήσατο nos ἐπιθηνήσατο cod.

Digitized by Google

Aliter.

Μαχομένων δέ ποτε τῶν ἀλεκτόρων
διὰ τὴν ὄρνιν τὸ τίς αὐτὴν ἐγγήμῃ,
ὁ εἷς ἡττηθεὶς ἐκρύπτετ᾽ ἐν γωνίᾳ,
ὡς δειλιάσας καὶ εἰς τροπὴν χωρήσας.
Ὁ δὲ ἕτερος σφοδρῶς μέγα κοκκύσας
ἀνεπέτασεν ἐπάνω τῶν δωμάτων,
ὡς τροπαιοῦχος κατὰ τοῦ πολεμίου,
φωνῶν · « Ἥττησα τὸν ἴδιον ἐχθρόν μου
τροπωσάμενος ἀντίπαλον εἰς κράτος. »
Ὡς οὖν ἐβόα τοιαῦτα ὁ ἀλέκτωρ,
ἧκεν ἀετὸς καταπτὰς ἐκ τῶν ἄνω
καὶ καταλαβὼν τὸν νικήτην ἐκεῖνον
ἤγαγεν αὐτὸν τοῖς τέκνοις παραυτίκα
βρῶμα ποιήσας τοῖς νεοττοῖς καὶ πόμα.
Ὁ δὲ ἕτερος ἐλευθερίως ζήσας
διῆγεν οὕτως ἐν ἀδείᾳ τυγχάνων
λαβὼν εὔκλειαν κατὰ τοῦ πολεμίου
τοῦ ἐκπορθοῦντος καὶ τροπώσαντος τοῦτον
καὶ καυχωμένου ὡς ὄντος νικηφόρου.

Codd. Ca 119 Cb 70 Cd 84 Ce 81 Cf 85 Cg 9 Ch 84 Mc 70.

1 Μάχην δύο ἔστησαν ἀλεκτρυόνες Cd || δὲ om. Ce || ἀλεκτρυόνων Ce Cg || **2** ὄρνιν εἰς τίς αὐτὴν Cd || τὸ τίς αὐτῶν Md || ἐγγήμει Ca Cf Cg Mc || αὐτῆς πλησιάσει Ce || **3** ἀλλ᾽ εἷς Cd || ἐστράφη εἰς γονίαν Cf. || ἐν γωνίᾳ Fedde ἔν τινι γωνίᾳ Ca γωνίας Cb Cg Ch γωνίᾳ Cd Mc || **4** ἐκδειλιάσας omisso ὡς Cd || ἐκρύβη δειλιάσας omisso ἔν τινι γωνίᾳ ὡς ... χωρήσας Ce || δειλιάσας δὲ καὶ omisso ὡς Cf || **5** Ὁ δὲ δεύτερος σφοδρῶς καὶ μεγάλως κοχίσας ἀνεπέτασεν ἐν τῷ δώματι Ce || σφοδρῶς καὶ μεγάλως κομήσας Cf || κωκύσας Ch Mc || **6** τοῦ δόματος Cf || **8** φωνεῖν Ca || ὡς ἥττησα Ce || ἴδιον om. Ce Cf || **9** ἀντίπαλον om. Ce || uersum 9 om. Cd || **10** Ὡς γοῦν Cd || uersum 10 om. Ce Cf || **11** Ἀετὸς δ᾽ ὀφθεὶς καταπτὰς ἐκ τῶν ἄνω (ἐκ τῶν ἄνω om. Ce) κατέβαλε (καὶ καταβάλλων Cf) τὸν νικήτην ἐκεῖνον καὶ (καὶ om. Cf) ἤγαγεν Ce Cf || **12** καταβαλὼν Cd Mc || **14** καὶ βρῶμα Cb αὐτὸν βρῶμα τοῖς νεοττοῖς αὐτοῦ Ce || νεοσσοῖς Cg || **15** ἐλευθέρως Ce ἐλευθερίᾳ Cd Cf || **16** διῆγεν Cg ἤγετο Ca Cb Cd Ce Ch || ἦγεν οὗτος Mc || ἤγετο ὁ αὐτὸς ἐν ἀδίᾳ Cf || ἐν ἀδίᾳ τυγχάνων hic desinit Ce || διάγων pro τυγχάνων Cd || **17** εὔκλειαν ἔχων Cf || λαβὼν om. Mc || λαβὼν οὖν ἐναλείαν κατὰ τοῦ παλαμναίου Cb || παλαμναίου Cf Ch πολεμναίου Cd || **18** τροπουμένου Cg || **19** καυχομένων ὡς ὄντως νικηφόρου Cb || καυμένου Cd || ὄντως Ca || νικηφόρος Cd.

Digitized by Google

Ὁ λόγος πρὸς ἄνδρας θεομάχους.

20 Ὅλως πρὸς Ca || Πρὸς ἄνδρας θεομάχους φράζει τοῦτο Cb || Ὁ λόγος δηλοῖ ὅτι ὁ θεὸς ἐκδικεῖ τοὺς κακοὺς ἀλάζονας Cd Ὁ μῦθος δηλοῖ ὅτι τοὺς ἀσελγεῖς ἄνδρας ἀμύνεται τὸ θεῖον Ce Ὁ μῦθος δηλοῖ πρὸς ἄνδρας θεομάχους φράσει (φράσαι Mc) τοῦτο Cf Mc Μῦθος πρὸς ἄνδρας θεομάχους Cg.

21

Ἀλεκτρυόνες καὶ πέρδιξ.

Ἀλεκτρυόνας τις ἐπὶ τῆς οἰκίας ἔχων, ὡς περιέτυχε πέρδικι τιθασῷ πωλουμένῳ, τοῦτον ἀγοράσας ἐκόμισεν οἴκαδε ὡς συντραφησόμενον. Τῶν δὲ τυπτόντων αὐτὸν καὶ ἐκδιωκόντων, ὁ πέρδιξ ἐβαρυθύμει, νομίζων διὰ τοῦτο αὐτὸν καταφρονεῖσθαι ὅτι ἀλλόφυλός ἐστι. Μικρὸν δὲ διαλιπών, ὡς ἐθεάσατο τοὺς ἀλεκτρυόνας πρὸς ἑαυτοὺς μαχομένους καὶ οὐ πρότερον ἀποστάντας πρὶν ἢ ἀλλήλους αἱμάξαι, ἔφη πρὸς ἑαυτόν· « Ἀλλ' ἔγωγε οὐκέτι ἄχθομαι ὑπ' αὐτῶν τυπτόμενος· ὁρῶ γὰρ αὐτοὺς οὐδὲ αὐτῶν ἀπεχομένους. »

Ὁ λόγος δηλοῖ ὅτι ῥᾳδίως φέρουσι τὰς τῶν πέλας ὕβρεις οἱ φρόνιμοι, ὅταν ἴδωσιν αὐτοὺς μηδὲ τῶν οἰκείων ἀπεχομένους.

Codd. Pa 26 Pb 23 Pf 6 Ph 6 Ma 20 Me 6 Mf 6.

1 ἔχων ἐπὶ τῆς οἰκίας Me || ὡσπερεὶ ἔσχε Pa || **2** ἀτιθασσῷ Pb τιθασῷ om. Ph || **3** συντραφησόμενον τοῖς ἀλεκτρυῶσι Ma || **6** διαλιπὼν om. Pb || ἐθεᾶτο Pa -άσατο Pa[2] || πρὸς ἑαυτῶν μαχομένους Ph || **7** καὶ ὑπρότερον Ma || ἢ om. Me Mf || **8** ἡμάξαι Ph πατάξαι Pb || Ἀλλ' om. Ma || οὐκ ἄχθομαι Pb || **9** ὑπὸ τούτων Pb Pf Ph Me τούτων omisso ὑπὸ Ma || τυπτόμενος om. Ph Me Mf || ὁρῶ ... ἀπεχομένους om. Pa || **11** ῥαδίως τὰς ἐκ τῶν πέλας ὕβρεις οἱ φρόνιμοι δέχονται... Pb || ἐκ τῶν πέλας pro τὰς τῶν π- Ma || **11-13** Πρὸς μαχίμους ἄνδρας ὁ μῦθος εὔδηλος (εὔκαιρος Ph) τοὺς μηδὲ μετὰ τῶν ἰδίων (τοὺς μήτε τῶν ἰδίων Me) εἰρηνεύοντας Pf Ph Ma Me || Ὁ μῦθος δηλοῖ πρὸς μαχίμους ἄνδρας τοὺς μὴ μετὰ τῶν ἴδιων εἰρηνεύοντας Mf.

Digitized by Google

Aliter.

Ἀλεκτρυόνας τις ἐν τῇ οἰκίᾳ ἔχων αὐτοῦ, περιτυχὼν πέρδικι καὶ τοῦτον ἐπαγοράσας, εἰσήνεγκεν ἐν τῇ οἰκίᾳ αὐτοῦ τοῦ συναναστραφῆναι τοῖς ὄρνισι. Τῶν δὲ τυπτόντων αὐτὸν καὶ ἐκδιωκόντων, ὁ πέρδιξ ἐλυπεῖτο σφόδρα, νομίζων διὰ τὸ εἶναι αὐτὸν ἀλλόφυλον, τούτου χάριν διώκεσθαι παρὰ τῶν ἀλεκτρυόνων. Μικρὸν δὲ ὅσον ὑποχωρήσας, θεωρεῖ τοὺς ἀλεκτρυόνας μαχομένους καὶ ἀλλήλους συγκόπτοντας. Ταῦτα ὁ πέρδιξ ὁρῶν ἀποθεραπευθεὶς ἔφη· « Ἀλλ' ἔγωγε ἀπὸ τοῦ νῦν οὐ λυποῦμαι· ὁρῶ γὰρ αὐτοὺς καὶ ὑπ' ἀλλήλων μαχομένους. »

[Ὁ μῦθος δηλοῖ ὅτι] ὁ λόγος πρὸς φρονίμους ἀνθρώπους οἵτινες ῥᾳδίως φέρουσι τὰς ἐκ τῶν πέλας ὕβρεις, ὅταν ἴδωσιν αὐτοὺς μηδὲ τῶν οἰκείων ἀπεχομένους.

Codd. Ca 16 Cb 13 Cc 10 Cd 13 Ce 13 Cf 14 Ch 13 Mh 11.

1 Ἀλεκτρυόνα Cb || οἰκείᾳ αὐτοῦ ἔχων Cb || αὐτοῦ ἔχων Cd || ἔχων ἐν τῇ οἰκίᾳ αὐτοῦ Mh || αὐτοῦ om. Cc Cf Ch || ἔχων, εἰσήνεγκε καὶ πέρδικα τοῦ συναναστραφῆναι ceteris omissis Cc || περιτυχὼν (δὲ Ce Cf) πέρδικα καὶ ταύτην ἀγοράσας (ἐπαγρεύσας Cd) εἰσήνεγκεν (εἰσήγαγεν Ce Cf) Cd Ce Cf || περιέτυχε πέρδικος καὶ ταύτην ἀγοράσας εἰσήνεγκεν ἐν τῷ οἴκῳ αὐτοῦ συνανατρέφεσθαι Ch || **2** πέρδικα καὶ ταύτην ἐπάγρευσε Cb || **3** ὀρνίθοις Cb Ch Mh || ἐν (ἐν om. Ce) τοῖς ὀρνίθοις αὐτοῦ Ce Cf || **4** αὐτὴν Cb Cd Ce Cf Mh || αὐτὴν καὶ διωκόντων Cb Cd || καὶ ἐκδιωκόντων om. Cc || ἡ πέρδιξ... νομίζουσα... αὐτὴν Cb Cd Mh || σφόδρα om. Cc || **5** αὐτὸν om. Cc || αὐτὸν εἶναι Cf || διὰ τὸ εἶναι ἀλλόφυλον τοῦτο πάσχειν, omisso παρὰ τῶν ἀλεκτρυόνων Cc || διώκεται Cb Cd Cf Ch || **6** Μικρόν τι (τε Cf) καὶ ἑωρακὼς ὁ πέρδιξ τοὺς ἀλεκτρυόνας συγκόπτοντας ἕτερος ἕτερον ἀποθεραπευθεὶς τῆς λύπης ἔφη Ce Cf || ὑποχωρήσασα Mh || **7** θεωρεῖ αὐτοὺς μαχομένους καὶ ἀποθεραπευθεὶς εἶπεν Cc || σφοδρῶς (σφόδρα Ch) μαχομένους καὶ διαχειριζομένους καὶ ἀλλήλοις συγκόπτοντας (ἀλλήλους καὶ συγκόπτοντας ἑαυτούς Ch) Cb Cd Ch || ἀλλήλους om. Ca || συγκόπτοντας ἑαυτούς Mh || **8** Ταῦτα ὁ πέρδιξ ὁρῶν om. Cd Ch || ἡ πέρδιξ ὁρῶν Cb || ἡ πέρδιξ ὁρῶσα καὶ ἀποθεραπευθεῖσα Cd || Τοῦτο ἰδοῦσα καὶ ἀποθεραπευθῆσα Mh || τῆς λύπης post ἀποθεραπευθεὶς libri excepto Ca || **9** ἀπὸ τοῦ νῦν om. Cc || ὁρῶν Ce Cf || γὰρ om. Ce || **10** καὶ πρὸς ἀλλήλους μαχομένων Cb || ἐπ' ἀλλήλων Cf || ἐπ' ἀλλήλων συγκοπτομένους Mh || καὶ ἀπ' ἀλλήλων ἀπεχομένους Ch || **11** Ὁ μῦθος δηλοῖ ὅτι ὁ λόγος.. Ca Πρὸς τοὺς φρονίμους ἀνθρώπους ὅτε ῥάδιον φέροντας ἐκ τῶν πέλας τὰς ὕβρεις... Cb Ὁ λόγος (μῦθος Ch) δηλοῖ ὅτι οἱ φρόνιμοι τῶν ἀνθρώπων τότε ῥάδιον φέρουσι τὰς ἐκ τῶν πέλας ὕβρεις (τὰς ὕβρεις τῶν πέλας Cd)... Cd Ch Ὁ μῦθος δηλοῖ τότε ῥάδιον ἐκφέρουσιν τὰς ἐκ τῶν πέλας ὕβρεις οἱ ἄνθρωποι.. Ce Ὁ μῦθος δηλοῖ πρὸς φρονίμους ἀνθρώπους ὅτε ῥάδιον ἐκφέρουσι.. Cf Ὁ μῦθος δηλοῖ ὅτι οἱ φρόνιμοι ῥάδιον φέρουσι.. Mh || **13** ἀντεχομένων pro ἀπεχομένους Cb Ce Cf || μὴ φειδομένους καὶ τῶν οἰκείων Mh.

Digitized by Google

Aliter.

Ἀλεκτρυόνας τις ἔχων ἐπὶ τῆς οἰκίας, πριάμενος καὶ πέρδικα, σὺν ἐκείνοις ἀφῆκε νέμεσθαι. Τῶν δὲ τυπτόντων αὐτὸν καὶ ἀπελαυνόντων, ἐκεῖνος ἠθύμει σφόδρα, νομίζων ὡς ἀλλόφυλος ταῦτα πάσχειν ὑπὸ τῶν ἀλεκτρυόνων. Ὡς δὲ μετὰ μικρὸν κἀκείνους ἑώρακε μαχομένους καὶ ἀλλήλους κόπτοντας, τῆς λύπης ἀπολυθεὶς εἶπεν· « Ἀλλ' ἔγωγε ἀπὸ τοῦ νῦν οὐ λυπήσομαι, δρῶν καὶ αὐτοὺς μαχομένους ἀλλήλοις. »

Ὁ μῦθος δηλοῖ ὅτι οἱ φρόνιμοι ῥᾳδίως φέρουσι τὰς παρὰ τῶν ἀλλοτρίων ὕβρεις, ὅταν αὐτοὺς ἴδωσι μηδὲ τῶν οἰκείων ἀπεχομένους.

Codd. La 10 Lb 9 Lc 5 Ld 3 Le 9 Lf 10 Lg 5 Mc 11 Md 9 Mi 44 Mj 11 Mk 12 Ml 9 Mm 9 Mn 3.

1 ἐπὶ τὴν οἰκίαν Mc Md Mi Mk Mn || **2** ἐφῆκε Lc || τυπτόντων αὐτῶν Lc || **3** αὐτὸς ἠθύμει Lc Lg || ἐκείνη Mm || νομίζων om. Ld || **4** ἀλλόφυλος ὢν Ld || ὑπὸ La Mi Mn παρὰ Mn πρὸς ceteri || **5** κατὰ μικρὸν Ld Mi Mk Mm Mn || ἑώρα Le Mk || πρὸς ἀλλήλους κόπτοντας Le || **6** ἐγὼ Le || **7** λυπηθήσομαι Le Mk || **9** οἱ ante φρόνιμοι om. Mn || περὶ τῶν ἀλλοτρίων Mn || **10** τῶν ἰδίων Lg.

22

Ἁλιεῖς καὶ θύννος.

Ἁλιεῖς ἐπ' ἄγραν ἐξελθόντες καὶ πολὺν χρόνον κακοπαθήσαντες οὐδὲν συνέλαβον· καθεζόμενοι δὲ ἐν τῇ νηῒ ἠθύμουν. Ἐν τοσούτῳ δὲ θύννος διωκόμενος καὶ πολλῷ τῷ ῥοίζῳ φερόμενος ἔλαθεν εἰς τὸ σκάφος ἐναλλόμενος. Οἱ δὲ συλλαβόντες αὐτὸν καὶ εἰς τὴν πόλιν ἐλάσαντες ἀπημπόλησαν.

Οὕτω πολλάκις ἃ μὴ τέχνη παρέσχε, ταῦτα τύχη διεβράβευσεν.

Codd. Pa 7 Pb 21 Pc 6 Pd 17 Pf 8 Ph 8 Ma 7 Me 8 Mf 8.

1 ἐλθόντες Ma || **2** οὐδὲν ἐπῆραν Pc || οὐδὲν ἐπῆραν (ἦραν Ph) καθεζόμενοι ἐν τῇ νηΐ, omisso ἠθύμουν Pf Ph Me Mf || ἐκράτησαν pro συνέλαβον Pd || δὲ om. Pb || **3** ἐντὸς τοσούτῳ Pb ἐν τούτῳ δὲ Ma || θῦνος Pa || **4** ἔδωκεν pro ἔλαθεν Pa || ἐναλλόμενον Pd ἀνελόμενος Ma || συλλαβόμενοι Pc συνέλαβον αὐτὸν καὶ Ma || **5** ἀπεμπώλησαν Pd || **6** παρέχει Pb || ταῦτα om. Pd || Ἃ (Ὃ Pf Ph) πολλάκις μὴ τέχνη παρέσχε, τύχη ταῦτα (ταῦτα om. Ph) διεβράβευσεν Pf Ph Me Mf.

Digitized by Google

Aliter.

Ἁλιεῖς ἐπὶ ἄγραν ἐξελθόντες καὶ πολὺν χρόνον κακοπαθήσαντες, καθεζόμενοι ἐτήκοντο τῷ λιμῷ, μηδέν τι πέρας δυνάμενοι ἐκτελέσαι. Λυπούμενοι δὲ ἐβούλοντο ἀναχωρῆσαι ἄπρακτοι. Καὶ ἰδοῦ θύννος, διωκόμενος παρὰ μεγίστου ἰχθύος, ἀναπηδήσας εἰσῆλθε ἐν τῷ πλοίῳ αὐτῶν. Λαβόντες δὲ αὐτὸν οἱ ἁλιεῖς μετὰ χαρᾶς εἰσῆλθον ἐν τῇ πόλει καὶ ἐπώλησαν αὐτίκα.

Ὁ μῦθος δηλοῖ ὅτι πολλάκις ἃ μὴ τέχνη παρέσχε, ταῦτα τύχη διεβράβευσεν.

Codd. Ca 35 Cb 22 Cc 26 Cd 22 Ce 24 Cf 27 Ch 29 Mc 26 Mh 29 Mk 27.

1 ἐξελθόντες ἐπ' ἄγρα Mh || ἐν ταῦτο pro ἐπ' ἄγραν Ce ἐπαυτὸν Cf || **2** ἐτήκοντο λιμῷ μηδὲν ὠθέλοντες ἄπρακτοι ὑποστρέψαι Mk || τοῦ λιμοῦ Ce Cf || μηδὲν τὸ πέρας δυνάμενοι ἀνῦσαι (ἀνεῦσαι Cd) Cb Cd μηδὲ τὸ πέρα (πέρας Cf) δυνάμενοι ἀναλῦσαι Ce Cf μηδὲν δυνάμενοι ἀνῦσαι Mh μηδὲν ... ἐκτελέσαι om. Cc || μηδὲν τὸ παράπαν δυνάμενοι ἀνῦσαι καὶ ἱστάμενοι ἄπρακτοι. Ἰδὼν διωκόμενα μικρὰ ἰχθύδια παρὰ μεγίστου ἰχύος ὃς κατὰ τὸ διώκειν ὁρμήσας ἀναπηδήσας εἰσῆλθε ἐν τῷ πλοίῳ αὐτῶν Mc || τὸ pro τι Ch || **3** ἠβούλοντο Cf || **4** Καὶ ἰδοῦ (ἰδὸν Cd) διωκόμενος μικρὸς ἰχθὺς παρὰ μεγίστου ἰχθύος (ἰχ- om. Cd) Cb Cd Mk || θύνα διωχωμένη (διο- Ce) Ce Cf || **5** ἀναπηδήσασα ἔπελθεν Ce || εἰς τὸ πλοῖον omisso αὐτῶν Mh || **6** δὲ om. Mh || αὐτοῦ Cb αὐτὴν Ce Cf || μετὰ χαρᾶς ἐπώλησαν αὐτίκα καὶ κέρδος ἔσχον Cc || εἰς τὴν πόλιν Mc || **7** αὐτὸν αὐτίκα Mc Md || ἐπώλησαν αὐτόν, omisso αὐτίκα Mh || καὶ ἐπώλησαν αὐτίκα om. Ce || **8** ἐὰν ἡ τέχνη μὴ παράσχει, ἡ τύχη βραβεύει Ce παράσχει, τοῦτον ἡ τύχη ἐβράβευσεν Cf || τοῦτο Ch τοῦτον Cb ταύτη Mh || **9** διεβραβεύσατο Mk || **8-9** Ὁ λόγος πρὸς εὐτυχῆς ὅτι οὓς ἡ τέχνη οὐ πάρεστι, τοῦτο ἡ τύχη διεβράβευσεν Cd.

Aliter.

Ἁλιεῖς ἐξελθόντες εἰς ἄγραν, ἐπειδὴ πολὺν χρόνον ταλαιπωρήσαντες οὐδὲν εἷλον, σφόδρα τε ἠθύμουν καὶ ἀναχωρῆσαι παρεσκευάζοντο. Εὐθὺς δὲ θύννος ὑπό του τῶν μεγίστων διωκόμενος ἰχθύων, εἰς τὸ πλοῖον αὐτῶν εἰσήλατο. Οἱ δὲ τοῦτον λαβόντες μεθ' ἡδονῆς ἀνεχώρησαν.

Ὁ μῦθος δηλοῖ ὅτι πολλάκις ἃ μὴ τέχνη παρέσχε, ταῦτα τύχη ἐδωρήσατο.

Codd. La 17 Lc 9 Le 16 Lf 17 Lg 9 Lh 8 Mg 8 Mi 51 Mj 19 Mm 16.

1 ἐπ' ἄγραν Lc Le Lh Mi Mm || **3** Εὐθὺς La Mg Ἐξαίφνης ceteri || του om. La Lf Lg Mg || **6** οἷς μὴ τέχνη Mm.

Digitized by Google

23

Αλιεῖς ⟨λίθον ἀγρεύσαντες⟩.

Ἁλιεῖς σαγήνην εἷλκον· βαρείας δὲ αὐτῆς οὔσης, ἔχαιρον καὶ ὠρχοῦντο, πολλὴν εἶναι νομίζοντες τὴν ἄγραν. Ὡς δὲ ἀφελκύσαντες ἐπὶ τὴν ἠιόνα τῶν μὲν ἰχθύων ὀλίγους εὗρον, λίθων δὲ καὶ ἄλλης ὕλης μεστὴν τὴν σαγήνην, οὐ μετρίως ἐβαρυθύμουν, οὐ τοσοῦτον ἐπὶ τῷ συμβεβηκότι δυσφοροῦντες ὅσον ὅτι καὶ τὰ ἐναντία προειλήφεισαν. Εἷς δέ τις ἐν αὐτοῖς γηραιὸς ὢν εἶπεν· « Ἀλλὰ παυσώμεθα, ὦ ἑταῖροι· χαρᾶς γάρ, ὡς ἔοικεν, ἀδελφή ἐστιν ἡ λύπη, καὶ ἡμᾶς ἔδει τοσαῦτα προησθέντας πάντως παθεῖν τι καὶ λυπηρόν. »

Ἀτὰρ οὖν καὶ ἡμᾶς δεῖ τοῦ βίου τὸ εὐμετάβλητον ὁρῶντας μὴ τοῖς αὐτοῖς πράγμασιν ἀεὶ ἐπαγάλλεσθαι, λογιζομένους ὅτι ἐκ πολλῆς εὐδίας ἀνάγκη καὶ χειμῶνα γενέσθαι.

Codd. Pa 21 Pb 13 Pd 12 Pf 7 Pg 10 Ph 7 Me 7 Mf 7.

1 αὐτῆς om. Pd Pf Me Mf || **2** νομίζοντες εἶναι Pg || εἶναι om. Pa || **3** ἑλκύσαντες Pb || ἀνελκύσαντες ἐπὶ τὴν γῆν Pd || τὸν μὲν ἰχθὺν ὀλίγον εὗρον, λίθων δὲ καὶ ἄμμων μεστὴν Pb τοὺς μὲν ἰχθῦς ὀλίγους εὗρον, λίθων δὲ καὶ ἄλλων μεστὴν Pg || **5** οὐ τοσοῦτον scripsi οὐχ οὕτω μᾶλλον libri || **6** ὅσον ὅτι καὶ Pb ὅσῳ καὶ ceteri || προσειλήφασιν Pb προυπειλήφασιν Pd Pf Me Mf προειλήφασι Ph || **7** ἐν ἑτέροις Pa ἐν αὐτῶν Pf || ἐξ αὐτῶν γηραιὸς ὑπάρχων Pd || **8** ὡς om. Pg || ἐστιν om. Pg || **9** προησθέντας ἤγουν προχαρέντας Pf || πρῶτον pro πάντως Pa || πάντως τι (τι om. Ph) καὶ λυπηθῆναι Pb Pd Pg Ph || πάντως ποτὲ καὶ λυπηθῆναι Pf Me Mf || **12** τοῖς ἑτέροις Pa || τοῖς αὐτοῖς ἀεὶ πράγμασιν Pb μὴ ἀεὶ τοῖς πράγμασιν Pg || **13** ἀνάγκην Pa || καὶ om. Pg || **11-14** Οὕτω δεῖ καὶ ἡμᾶς τοῦ βίου τὸ εὐμετάβλητον (-τάβολον Me[1]) ὁρῶντας μήτε ἐπαίρεσθαι (κατεπαίρεσθαι Ph) μήτε ἄγαν λυπεῖσθαι Pf Ph Me Mf || Epim. om Pd.

Digitized by Google

Aliter.

Ἁλιεῖς σαγήνην εἷλκον. Βαρείας δὲ αὐτῆς οὔσης, ἔχαιρον καὶ ὠρχοῦντο, πολλὴν εἶναι νομίζοντες τὴν ἄγραν. Ὡς δὲ εἵλκυσαν αὐτήν, ἰχθύας μὲν εὗρον ὀλίγους, λίθον δὲ μέγιστον ἐν τῇ σαγήνῃ ἀνήγαγον. Οἱ δὲ ἁλιεῖς οὐ μετρίως ἐβαρυθύμουν, οὐ τοσοῦτον ἐπὶ τῇ τῶν ἰχθύων ὀλιγότητι ὅσον ὅτι καὶ τὰ ἐναντία προειλήφασιν. Εἷς δέ τις ἐξ αὐτῶν γηραιὸς ἐξεῖπε· « Μὴ ἀχθώμεθα, ὦ ἑταῖροι· χαρᾶς γάρ, ὡς ἔοικεν, ἀδελφή ἐστιν ἡ λύπη, καὶ ἡμᾶς ἔδει τοσαῦτα προησθέντας πάντως τι λυπηθῆναι. »

Ὁ μῦθος δηλοῖ ὅτι οὐ δεῖ λυπεῖσθαι ἐπὶ ταῖς ἀποτυχίαις, γινώσκοντας τὰς τοῦ βίου τύχας.

Codd. Ca 28 Cb 25 Cc 19 Cd 25 Ce 17 Cf 19 Ch 32 Mc 28 Mh 22 Mk 29.

1 Initium fabulae sic contractum est in Cc: Ἁλιεῖς σαγήνην ἕλκοντες καὶ χαίροντες ὡς οὔσης αὐτῆς βαρείας, λίθον ἀνήγαγον. Βαρυθυμούντων δὲ αὐτῶν ἐπὶ τούτῳ, εἷς ἐξ αὐτῶν γηραιὸς ἔφη; reliqua sicut Ca || Ἁλιοί τινες σαγήνην ἐν τῷ βυθῷ ἔβαλλον Ce || ἧλκον σαγήνην Mh || ἕλκοντες Cb Cd Mc Mk || βαρείας οὔσης αὐτῆς Mh || βαρείαν αἰσθόμενοι αἴχαιρον Mk || **2** πολὺν μὲν οὖν εἶναι Mc || τὴν ἄγραν νομίζοντες Mh Mk || **3** εἵλασαν Mh || τῶν μὲν ἰχθύων εὗρον ὀλίγα (ὀλίγων Cf) Cb Cd Cf || τοὺς μὲν ἰχθύας Ce Mc || τὸν μὲν ἰχθὺν εὗρον ὀλίγον Ch || τοὺς μὲν ἰχθύας εὕρισκον ὀλίγους, λίθον δὲ ἀνήγαγον μέγιστον Mh τοὺς μὲν ἰχθύας εἶδον ὀλίγους, λίθον δὲ μέγαν ἀνειλκυσμένον Mk || **4** μέγαν Cb Mc μέγα Cd || ἐκ τῆς σαγήνης Ce || ἀνῆγον Cd || Ὡς οὖν εἶδον τοῦτον, ἐβαρυθύμουν Ch || Οἱ οὖν ἁλιεῖς Mk || ἁλιεῖς om. Mh || **5** ἐραθύμουν Cb Cd Mc ἠθύμουν Mk || οὐχ (οὐδ' Cf) ἐπὶ τοσοῦτον Ce Cf || ἐπὶ τὴν .. ὀλιγότητα Cf Mh || οὐ μόνον ἐπὶ τῇ ὀλιγότητι τῶν ἰχθύων, ἀλλ' ὅτι καὶ τὸν λίθον ἀνείλκυσαν Mk || σπάνῃ pro ὀλιγότητι Ce || **6** ὅτι ἐναντί Mh || τὰ ἐναντία Cb Ch Mc ἐναντία ceteri || προειλήφασι Cf Mh προσηλείφασι Mc προσειλήφασιν ceteri || **7** ἐξεῖπε Ca ἔφη Cc εἶπε ceteri || ὦ φίλοι Ce || Ὦ ἑταῖροι, μὴ ἀχθώμεθα Mh Mk || ὦ ἕτεροι Cf || γὰρ om. Mh || **8** ἀδελφὴ, ὡς ἔοικεν Mc || ἀδελφοὶ Cd Cf || ὦ ἔδει ὁ τοσαῦτα προσηδυνθέντας πάντας τῇ λύπῃ θεῖναι Cf || **9** προηδυνθέντας Mc προσηλωθέντας χαρᾷ Mh προσηδυνθέντας ceteri || πάντας Mk || καί τι λυπηθῆναι Cb Mk || τι om. Cd Ce Ch Mc || **10** Epim. om. Cb || Ὁ μῦθος δηλοῖ μὴ δεῖν λυπεῖσθαι (λυπειθῆναι Mh) ἐν (ἐπὶ Mh) ταῖς ἀποτυχίαις, ceteris omissis Ce Mh || δηλοῖ μὴ δεῖ Cf || ἐν ταῖς ἀποτυχίαις Cd Mc Mk || **11** γινώσκοντας (συγγινώσκοντας Cd) τὸ τοῦ βίου ἄστατον Cd Ch Mc Mk γινώσκεται τὰς τοῦ βίου ταύτας Cf.

Digitized by Google

Aliter.

Ἁλιεῖς εἷλκον σαγήνην. Βαρείας δὲ αὐτῆς οὔσης, ἔχαιρον καὶ ἐσκίρτων, πολλὴν εἶναι τὴν ἄγραν νομίζοντες. Ὡς δ' ἐπὶ τῆς ἠιόνος ταύτην ἑλκύσαντες τῶν μὲν ἰχθύων εὗρον ὀλίγους, λίθον δ' ἐν αὐτῇ παμμεγέθη, ἀθυμεῖν ἤρξαντο καὶ ἀλύειν, οὐ τοσοῦτον ἐπὶ τῇ τῶν ἰχθύων ὀλιγότητι ὅσον ὅτι καὶ τὰ ἐναντία προυπειλήφασιν. Εἷς δέ τις ἐν αὐτοῖς πρεσβύτερος εἶπε· « Μὴ ἀχθώμεθα, ὦ ἑταῖροι· τῇ γὰρ ἡδονῇ, ὡς ἔοικεν, ἀδελφή ἐστιν ἡ λύπη· καὶ ἡμᾶς οὖν ἔδει τοσαῦτα προηδυνθέντας πάντως τι καὶ λυπηθῆναι. »

Ὁ μῦθος δηλοῖ ὅτι οὐ δεῖ λυπεῖσθαι ἐπὶ ταῖς ἀποτυχίαις.

Codd. La 13 Lb 12 Le 12 Lf 13 Lh 6 Ma 147 Md 12 Mi 47 Mj 14 Ml 12 Mm 12.

1 ἔχαιρον, ἐσκίρτων Md Mi || ἔχαιρον om. Ma || **3** αὐτὴν ἑλκύσαντες Ma Md Mi || **5** τῇ om. Ma Md || **8** οὖν om. Lh || **9** τι om. Mm || **10** λυπεῖσθαι om. Md[1] || ἐν ταῖς ἀποτυχίαις Mj.

24

Ἁλιεὺς αὐλῶν.

Ἁλιεὺς αὐλητικῆς ἔμπειρος, ἀναλαβὼν αὐλοὺς καὶ τὰ δίκτυα, παρεγένετο εἰς τὴν θάλασσαν καὶ στὰς ἐπί τινος προβλῆτος πέτρας, τὸ μὲν πρῶτον ᾖδε, νομίζων αὐτομάτους πρὸς τὴν ἡδυφωνίαν τοὺς ἰχθύας ἐξαλεῖσθαι πρὸς αὐτόν. Ὡς δὲ, αὐτοῦ ἐπὶ πολὺ διατεινομένου, οὐδὲν πέρας

Codd. Pa 19 Pb 11 Pd 10 Pe 16 Pg 8 Ma 16 — Ca 34 Cb 21 Cc 25 Cd 21 Ce 23 Cf 26 Ch 28 Md 30 Mh 28 Mi 65 Mk 26 Ml 28 Mm 30 (C = hi 13) — La 133 Lf 134 Mc 25 Mg 21 (L = hi 4).

1 Ἁλιεὺς om. Cc || ἁλιευτικῆς Pd Pg || αὐλιτικῆς τέχνης ἔμπειρος Pe || ἁλιευτικῆς ἄπειρος CL || λαβὼν Cc Md Mh Mi Mk Ml Mm L || τὰ ante δίκτυα om. Ca Cc La || **2** παρήγετο Ce Ch Cf Ml || εἰς θάλασσαν Pd || ἐπί τινος (τινος om. Pe) προβλήματος πέτρας Pb Pe Ma ἐπί τινος πέτρας CL || **3** πέτρας ἔβαλε τὰ δίκτυα πρὸς ἄγραν καὶ τὸ μὲν πρῶτον ᾔδετο νομίζων αὐτομάτως Pe || ηὔλει CL || αὐτομάτους om. CL || **4** τὴν om. C exceptis Cd Ch Mc || διφωνίαν Mk || ἐξαλεῖσθαι nos ἐξελθεῖν Pa Ml ἐξελεύσεσθαι Pb ἐξάλλεσθαι Pg Ca Cc Cf Ch ἐξελέσθαι Ce Cf Ma ἐφάλλεσθαι La Mk ἐφαλέσθαι Cb Cd Lf Mc Mg || πρὸς αὐτόν Pa om. ceteri || **5** αὐτὸς (αὐτὸς om. La Mi) ἐπὶ πολὺ διατεινόμενος La Mc Mg Mi || αὐτοῦ om. Ce Md Mh Mm || ἐπὶ πολοῦ Cd ἐπὶ πολλοὺς Cf.

Digitized by Google

ἠνύετο, ἀποθέμενος τοὺς αὐλοὺς ἀνείλετο τὸ ἀμφίβληστρον καὶ βαλὼν κατὰ τοῦ ὕδατος πολλοὺς ἰχθύας ἤγρευσεν. Ἐκβαλὼν δὲ αὐτοὺς ἀπὸ τοῦ δικτύου ἐπὶ τὴν ἠιόνα, ὡς ἐθεάσατο σπαίροντας, ἔφη· « Ὦ κάκιστα ζῷα, ὑμεῖς, ὅτε μὲν ηὔλουν, οὐκ ὠρχεῖσθε, νῦν δέ, ὅτε πέπαυμαι, τοῦτο πράττετε. »

Πρὸς τοὺς παρὰ καιρόν τι πράττοντας ὁ λόγος εὔκαιρος.

οὐδὲν πλέον Pg || οὐδὲν ἠνύετο omisso πέρας Ca Cb Cc Md Mh Mk ἤνυεν οὐδὲν omisso πέρας La Mg || 6 ἤνυτο Ma || ἀποτιθέμενος Cf Md Mh Mi Mm ἀποθέμενος δὲ Pd Cf ἀπολυόμενος Ma || ἀνεῖλε Pd ἀνείλατο Cb Cf Ch ἀνήλατο Ce Ma ἀνείσατο Lf ἀνέλαβε Pe Ml ἀνελάβετο Mh ἀναλαμβάνει La Mg || τὸ ante ἀμφίβληστρον om. Pb Ch Mh || τῷ ἀμφιβλήστρῳ Lf Mc || τὸ ἀμφίβληστρον κατὰ τοῦ ὕδατος ἔβαλε καὶ πολλοὺς Cc || τὸ δίκτυον ἀνελάβετο καὶ χαλάσας κατὰ Md Mh Mi Mm || 7 λαβὼν pro βαλὼν Mc || καὶ ῥίψας ἐπὶ τοῦ ὕδατος Pe || κατὰ ὕδατος Pd || καὶ χαλάσας εἰς τὴν θάλασσαν πολλοὺς ἤγρευσεν ἰχθύας Mk || ἰχθύας ἃς ἀνήνεγκεν Mh || ἐξήνεγκεν Md Mi Mm || 8 Καὶ ὡς εἶδεν αὐτοὺς ἐπὶ τῆς χέρσου πηδῶντας, πρός αὐτοὺς ἔφη, omisso Ἐκβαλὼν .. ἠιόνα Cc || Ἐκβάλλων Mm || ἀπὸ τοῦ δικτύου om. Pe Md Mh Mi Mm || ἀπὸ om. Cf || ἀπὸ τῶν δικτύων Pb Pd Ma || ἐκ τῶν δικτύων Pg Ph ἀπὸ τὸ δίκτυον Cb Cf ἐκ τοῦ δικτύου Mk || πρὸς pro ἐπὶ Pa Pd Ma || ἐπὶ τὴν γῆν Pd εἰς τὴν γῆν Md Mh Mi Mm ἐπὶ τῆς γῆς Pe ἐπὶ τὴν ἠιόνα om. Ca La Mc Mj || ὡς (καὶ ὡς Cf) εἶδεν (οἶδε Cf ἴδε Mi) αὐτοὺς (αὐτοὺς om. La Cf Ch Md Mg Mh Mi Mk Mm) πηδῶντας (ἁλομένους Cd) Ca Cb Cd Ce Cf Ch Md Mm L || ὡς εἶδεν αὐτοὺς ἐπὶ τῆς χέρσου πηδῶντας πρὸς αὐτοὺς ἔφη Cc || καὶ ἰδὼν αὐτοὺς πηδῶντας Ml || ὡς om. Pa || 9 ἀσπαίροντας Pb σπαίροντα Pg || αὐτοὺς σπαίροντας Pd Pe αὐτοὺς κυβιστῶντας Ma || ὑμεῖς om. C || ὅταν μὲν .. ὅταν δὲ Pd || ὅτι Mi || 10 μὲν om. La Mg Ce Mk || ὅτε δὲ pro νῦν δὲ ὅτε Cd Md Mh Mi Mj Mk Mm La Mc || ὀρχεῖσθε Pe Cd Mm ὀρχεῖσθαι Mi ὀρχησθῆναι Ce ὀρχίσμου (ὀρχίσμον Cf) ἥπτεσθε Cf Mh || νυνὶ δὲ, ὅταν Pg || τότε pro τοῦτο Pa || 11 πράττεται Pc ποιεῖτε Cd La Mg Mk ποιῆται Cb || 12 Ὁ μῦθος δηλοῖ πρὸς (ὅτι πρὸς Mc) Pd Mc Λόγος πρὸς Ma || Ὁ (Ὁ om. Mi) μῦθος (μ- οὗτος Ca) δηλοῖ (πρὸς pro δηλοῖ Cc Cf La Mg δηλοῖ πρὸς Cf Mk δηλοῖ ὅτι πρὸς Md Πρὸς omisso ὁ μῦθος δηλοῖ Cb Ch) τοὺς παρὰ λόγον (λόγους Cf Mk) καὶ παρὰ καιρόν τι (τι om. Cc) πράττοντας Ca Cb Cc Ch La Mc Mg Mi Mk Ml Τοῦτο δ' ἁρμόζει πρὸς τοὺς παρὰ καιρὸν πράττοντάς τι Cd Ὁ μῦθος δηλοῖ ὅτι τὸ παρὰ καιρόν τι πράττειν παράλογόν ἐστι καὶ ἀσύμφορον Ce Ὁ μῦθος δηλοῖ τοὺς παραλόγως πράττοντας παρὰ καιρόν Mh.

Digitized by Google

25

Ἁλιεὺς ⟨καὶ ἰχθύες μεγάλοι καὶ βραχεῖς⟩.

Ἁλιεὺς ἐκ τῆς θαλάσσης τὸ πρὸς ἄγραν δίκτυον ἐκβαλὼν τῶν μὲν μεγάλων ἰχθύων ἐγκρατὴς γέγονε καὶ τούτους ἐν τῇ γῇ ἥπλωσεν· οἱ δὲ βραχύτεροι τῶν ἰχθύων διὰ τῶν τρυμαλιῶν διέδρασαν ἐν τῇ θαλάσσῃ.

Ὅτι εὔκολον ἡ σωτηρία τοῖς μὴ μεγάλως εὐτυχοῦσιν, τὸν δὲ μέγαν ὄντα τῇ δόξῃ σπανίως ἴδοις ἂν ἐκφυγόντα τοὺς κινδύνους.

Codd. Ba 8 Bb 5.

1 τὸ πρὸς ἄγραν δίκτυον ἐκ τῆς θαλάσσης Bb || **5** εὔκολον εἰς σωτηρίαν Ba Bb || **6** τοὺς δὲ μέγα ὄντας Bb || ἴδοις ἂν Halm ἴδοις Ba ἴδῃς Bb || ἐκφεύγοντας Bb.

Aliter.

Ἁλιεὺς τῇ θαλάσσῃ δίκτυον ἐμβαλὼν ἰχθύων μεγίστων καὶ σμικροτάτων ἐγκρατὴς γέγονε. Τὸ δίκτυον οὖν οὗτος ὑφαπλώσας ἐν γῇ τῶν εὐτελῶν ἀπεστέρητο ταῖς τρυμαλιαῖς διαδράντων καὶ τῇ ὑγρᾷ προσφυγόντων· ἐφιλονείκει γὰρ οὗτος ἐπισυνάξαι τὰ μέγιστα, τῶν ἐλαχίστων ὑπερφρονῶν.

Εὔκολον εἰς σωτηρίαν τὸ εὐτελές· οἱ λαμπροὶ δὲ τῇ δόξῃ μόλις ἂν διαφύγοιεν τοὺς κινδύνους.

Cod. Bc 7.

2 σμισχρωτάτων cod. || **3** τριμαλιαῖς cod. || **7** διαφύγοιεν nos διαφύγωσι cod.

26

Ἁλιεὺς καὶ μαινίς.

Ἁλιεὺς καθεὶς τὸ δίκτυον ἀνήνεγκε μαινίδα. Τῆς δὲ ἱκετευούσης αὐτὸν πρὸς τὸ παρὸν μεθεῖναι αὐτήν, ἐπειδὴ μικρὰ τυγχάνει, ὕστερον δὲ αὐξηθεῖσαν συλλαμβάνειν εἰς

Codd. Pa 4 Pb 18 Pi 3 Ma 4.

1 Ἡ δὲ τοῦτον ἱκέτευεν ἐᾶσαι αὐτήν, ἐπειδὴ μικρὰ τυγχάνειν hic desinit Pi || **2** μὴ θοινηθῆναι Pa μὴ θῦναι Ma || **3** δὲ om. Pa || αὐξανθείσης Pb αὐξυνθεῖσαν Ma || συλλαβεῖν Pb Ma

Digitized by Google

μείζονα ὠφέλειαν, ὁ ἁλιεὺς εἶπεν· « Ἀλλ' ἐγὼ εὐηθέστατος ἂν εἴην, εἰ τὸ ἐν χειρὶ παρεὶς κέρδος, ἄδηλον ἐλπίδα διώκοιμι. »

Ὁ λόγος δηλοῖ ὅτι αἱρετώτερόν ἐστι τὸ παρὸν κέρδος, κἂν μικρὸν ᾖ, ⟨ἢ⟩ τὸ προσδοκώμενον, κἂν μέγα ὑπάρχῃ.

4 ὁ ἁλιεὺς εἶπεν om. Pa Ma || Ἀλλ' ἐγώ, ἀντέφησεν, ἀνόητος ἂν εἴην Ma || ἔγωγε Pb || **5** ἂν om. Pa Pb || εἰ τὸ παρὸν κέρδος ἀφεὶς Pb || **7** κέρδος τὸ παρὸν Pb || **8** καὶ μικρὸν Ma || ἢ om. Pa Ma || τοῦ προσδοκωμένου Pb || ὑπάρχει Ma ὑπάρχῃ om. Pa.

Aliter.

Ἁλιεὺς καὶ σμαρίς.

Ἁλιεὺς τὸ δίκτυον καθεὶς ἀνήνεγκε σμαρίδα. Σμικρὰ δὲ οὖσα ἱκέτευεν αὐτὸν λέγουσα· « Μὴ λάβῃς με πρὸς τὸ παρόν, ἀλλ' ἔασον, ἐπειδήπερ σμικρὰ τυγχάνω· ὅτε δὲ αὐξηθῶ καὶ μεγάλη γένωμαι, λάβῃς με, ἐπεὶ καὶ εἰς μείζονά σοι ὠφέλειαν τότε γενήσομαι. » Καὶ ὁ ἁλιεὺς εἶπεν· « Ἀλλ' ἔγωγε μῶρος ἂν εἴην, εἰ τὸ ἐν χερσὶ κέρδος παρείς, κἂν μικρὸν ᾖ, τὸ ἐν ἐλπίσι διώκοιμι, κἂν μέγα ὑπάρχῃ. »

Ὁ μῦθος δηλοῖ ὅτι αἱρετώτερόν ἐστι τὸ παρὸν κέρδος κρατεῖν, κἂν μικρὸν ᾖ, ἢ τὸ προσδοκώμενον, κἂν μέγα ὑπάρχῃ.

Codd. Ca 20 Cb 9 Cd 9 Ce 4 Cf 10 Ch 9 Mh 7 Ml 22.

1 ἀνήγαγεν Cf || σμαρύδαν Ce μαινίδα Ml || Μικρὰν δὲ οὖσαν Ce || Μικρὰ Cf Ml || **2** ἱκέτευεν αὐτὸν πρὸς τὸ παρὸν μὴ λαβεῖν αὐτήν (αὐ- om. Ml), ἀλλ' ἐᾶσαι Cb Cd Ce Ch Mh Ml || **3** ἐᾶσαι pro ἔασον Cf || μικρὰ Ca Cf || τυγχάνει Ce Ch || ἀλλ' ὅτε Ch Ml || ἀλλ' ὅταν αὐξηνθῶ Cb Mh ἀλλ' ὅταν αὐξυνθῶ Cd Cf || ἀλλ' ὅτε αὐξηνθεῖ καὶ μεγάλη γένοιται, συλλαβεῖν αὐτὴν Ce || **4** φησὶ καὶ μεγάλη γένομαι Mh || συλλαβεῖν με Cb Cf Ch Ml συλλαβεῖς με Cd λάβῃς με om. Mh || ἐπειδὴ Cd || **5** σου ὠφέλειάν ἐστι Cb Cd Ch || ἐστι Cf Ml || μείζονα ὠφέλειαν αὐτοῦ ἔσται Ce || **6** ἔξηχος (ἔξη Ce) ἂν εἴην (εἴη Mh) Cb Cd Ce Ch Mh || ἄφρων Ce ἔξω φρενῶν Ml || εἰ τὸ (ὁ Cb Cd) ἐν χερσὶ παρεὶς κέρδος ἄλλο (ἄδηλα Ch) διώκοιμι (-κειν Cb -κων Cd) Cb Cd Ch || **7** κἂν μικρὸν (σμ- Mh) εἴη Ce Cf Mh || διώκοιμι om. Mh || προσδοκῶν ἕτερον pro τὸ ἐν ἐλπίσι διώκοιμι Ml || **8** ὑπάρχει Cd || **9** Ὅτι Cb || **10** κἂν μικρὸν ᾖ om. Ml || κἂν μικρὸν εἴη ἢ τὸ προσδοκώμενον, κἂν μέγα ὑπάρχει Ce Cf || **9-11** Ἡ τῇ τὸ ἐπιμύθιον ἐν τῷ μύθῳ τῆς ἀειδόνας καὶ τοῦ ἱέρακος Mh.

Aliter.

Ἁλιεὺς καὶ σμαρίς.

Ἁλιεὺς τὸ δίκτυον χαλάσας ἐν τῇ θαλάσσῃ ἀνήνεγκε σμαρίδα. Σμικρὰ δὲ οὖσα ἱκέτευεν αὐτὸν νῦν μὲν μὴ λαβεῖν αὐτήν, ἀλλ' ἐᾶσαι, διὰ τὸ σμικρὰν τυγχάνειν. « Ἀλλ' ὅταν αὐξυνθῶ καὶ μεγάλη, φησί, γένωμαι, συλλαβεῖν με δυνήσῃ, ἐπεὶ καὶ εἰς μείζονά σοι ὠφέλειαν ἔσομαι. » Καὶ ὁ ἁλιεὺς εἶπεν· « Ἀλλ' ἔγωγε ἄνους ἂν εἴην, εἰ τὸ ἐν χερσὶ παρεὶς κέρδος, κἂν σμικρὸν ᾖ, τὸ προσδοκώμενον, κἂν μέγα ὑπάρχῃ, ἐλπίζοιμι.

Ὁ μῦθος δηλοῖ ὅτι ἀλόγιστος ἂν εἴη ὁ δι' ἐλπίδα μείζονος τὰ ἐν χερσὶν ἀφεὶς σμικρὰ ὄντα.

Codd. La 128 Ld 8 Lf 128 Mc 15 Md 18 Me 26 Mg 15 Mi 53 Mk 16 Mm 18 Mn 8.

1 ἁλιεύει σμαρίδα Ld || **2** σμαρίδας Mn μαινίδα Mm || Μικρὰ δὲ Mn || τοῦτον ἱκέτευεν Me || νῦν μὲν La Mg πρὸς τὸ παρὸν ceteri || **3** μικρὰν Mn || Ἀλλ' ὅτε Ld Lf Mc Md Me Mi Mm || **4** αὐξηθῶ Ld Md Mi Mk Mm Mn αὐξηνθῶ Mg || φησί om. Ld Mc Md Me Mi Mk Mm Mn || γενήσομαι Mk || δυνήσῃ om. Ld Lf Mc Md Me Mi Mm Mn || τότε λήψῃ με pro συλλαβεῖν με δυνήσῃ Mk || **6** ἔξηχος (ἔξοχος Me) ἂν εἴην Mc Md Me Mi Mk Mm ἔξηχος (ἔξοχος Lf) ἂν εἴη Ld Lf Mn || ἀφεὶς Me || **7** σμικρὸν (μικρὸν Mk Mn) εἴη Ld Lf Mc Md Me Mi Mk Mn || **8** ὑπάρχει Ld ὑπάρχειν Mc Mn || ἐλπίζειν La Mm || **9** οὗτος ἀλόγιστος Lf Mc Me Mn οὕτως ἀλ- Mi Mm ὄντως ἀλ- Mk || **10** ἀφῇ Mg παρεὶς Me || μικρὰ ὄντα Ld Md Me Mi Mk Mm Mn.

27

Ἁλιεὺς ⟨ὕδωρ τύπτων⟩.

Ἁλιεὺς ἔν τινι ποταμῷ ἡλίευε. Καὶ δὴ κατατείνας τὰ δίκτυα, ὡς ἐμπεριέλαβεν ἑκατέρωθεν τὸ ῥεῦμα, προσδήσας

Codd. Pa 29 Pb 26 Pd 21 Pf 9 Ph 9 Me 9 Mf 9.

1 ἐπί τινος ποταμοῦ Pd || τὰ δίκτυα λίθοις ἔτυπτε τὸ ὕδωρ ceteris omissis Ph || **2** περιέλαβεν Pb Me Mf περιέβαλλεν Pd.

Digitized by Google

καλῷ λινῷ λίθον, ἔτυπτε τὸ ὕδωρ, ὅπως οἱ ἰχθύες φεύγοντες ἀπροφυλάκτως τοῖς βρόχοις ἐμπέσωσι. Τῶν δὲ περὶ τὸν τόπον οἰκούντων τις θεασάμενος αὐτὸν τοῦτο ποιοῦντα, ἐμέμφετο ἐπὶ τῷ τὸν ποταμὸν θολοῦν καὶ μὴ ἐᾶν αὐτοὺς διαυγὲς ὕδωρ πίνειν. Ὁ δὲ ἀπεκρίνατο· « Ἀλλ' ἐὰν μὴ οὕτως ὁ ποταμὸς ταράσσηται, ἐμὲ δεήσει λιμώττοντα ἀποθανεῖν. »

Οὕτω καὶ τῶν πόλεων οἱ δημαγωγοὶ τότε μάλιστα ἐνεργάζονται, ὅταν τὰς πατρίδας εἰς στάσεις περιαγάγωσιν.

3 λινῷ om. Pb Pd Pf Me Mf || **4** ἀπαραφυλάκτως Pb Me Mf ἀφυλάκτως Ph || τοῖς βρόχοις om. Pd || παρὰ τὸν τόπον Pd || **5** οἰκῶν τις Pa || **6** θολοῦντα Pa || ὡς τὸν ποταμὸν θολοῦντα καὶ μὴ ἐῶντα Pb Pd Pf Ph Me Mf || αὐτὸν Pd || **8** δεήσοι Pf Me || δεήσει λιμῷ διαφθαρῆναι Ph || **10** ἐργάζονται Pb Pd Me Mf || **11** περιάγωσι Pb Pd Me Mf || **10-11** Οὕτως καὶ τῶν πόλεων οἱ ἄρχοντες δι' ἰδίαν πλεονεξίαν τοὺς δήμους (τὸν δῆμον Ph) ταράσσουσι καὶ στάσεις ἐγείρουσι (ποιοῦσι Ph) Pf Ph Me Mf.

Aliter.

Ἁλιεὺς ἔν τινι ποταμῷ ἡλίευεν. Διατείνας δὲ τὰ δίκτυα καὶ τὸ ῥεῦμα περιλαβὼν ἑκατέρωθεν, καλωδίῳ προσδήσας λίθον, τὸ ὕδωρ ἔτυπτεν, ὅπως οἱ ἰχθύες φεύγοντες ἀπαραφυλάκτως τοῖς βρόχοις ἐμπέσωσι. Τῶν δὲ περὶ τὸν τόπον οἰκούντων τις θεασάμενος τοῦτο ποιοῦντα ἐμέμφετο ὡς τὸν ποταμὸν θολοῦντα καὶ διειδὲς ὕδωρ μὴ συγχωροῦντα πίνειν. Καὶ ὃς ἀπεκρίνατο· « Ἀλλ' εἰ μὴ οὕτως ὁ ποταμὸς ταράττεται, ἐμὲ δεήσει λιμώττοντα ἀποθανεῖν. »

Ὁ μῦθος δηλοῖ ὅτι καὶ τῶν πόλεων οἱ δημαγωγοὶ τότε μάλιστα ἐργάζονται, ὅταν τὰς πατρίδας εἰς στάσιν περιάγωσιν.

Codd. La 91 Lc 27 Le 22 Lf 91 Lg 27 Mg 14 Mj 25 Ml 19.

1 τὸ δίκτυον Le || **5** ἀκουόντων τις Mg || **7** Καὶ ὡς Lc || εἰ μὴ οὗτος Lc Lg || **8** ταραχθῇ Ml || **10** στάσεις Le Mj || **11** περιάγουσιν Lf.

28

Ἀλκύων.

Ἀλκύων ὄρνεόν ἐστι φιλέρημον διὰ παντὸς ἐν θαλάττῃ διαιτώμενον. Ταύτην λέγεται τὰς τῶν ἀνθρώπων θήρας φυλαττομένην ἐν σκοπέλοις παραθαλαττίοις νεοττοποιεῖσθαι. Καὶ δή ποτε τίκτειν μέλλουσα παρεγένετο εἴς τι ἀκρωτήριον καὶ θεασαμένη πέτραν ἐπὶ θαλάττῃ ἐνταῦθα ἐνεοττοποιεῖτο. Ἐξελθούσης δὲ αὐτῆς ποτε ἐπὶ νομήν, συνέβη τὴν θάλασσαν ὑπὸ λαβροῦ πνεύματος κυματωθεῖσαν ἐξαρθῆναι μέχρι τῆς καλιᾶς καὶ ταύτην ἐπικλύσασαν τοὺς νεοττοὺς διαφθεῖραι. Καὶ ἡ ἀλκύων ἐπανελθοῦσα, ὡς ἔγνω τὸ γεγονός, εἶπεν· « Ἀλλ' ἔγωγε δειλαία, ἥτις τὴν γῆν ὡς ἐπίβουλον φυλαττομένη, ἐπὶ ταύτην κατέφυγον, ἣ πολλῷ μοι γέγονεν ἀπιστοτέρα. »

Οὕτω καὶ τῶν ἀνθρώπων ἔνιοι τοὺς ἐχθροὺς φυλαττόμενοι λανθάνουσιν πολλῷ χαλεπωτέροις τῶν ἐχθρῶν φίλοις ἐμπίπτοντες.

Codd. Pa 28 Pb 25 Pd 20 Pf 10 Pg 17 Me 10 Mf 10 — La 90 Lb 21 Le 21 Lf 90 Lh 10 Mg 13 Mj 24 Ml 18.

1 ἐστι om. Pa || φίλυδρον Pd || ὄρνις ἐστὶ φιλέρημος ἀεὶ τῇ θαλάττῃ διαιτωμένη L || **2** θῆρας Pa || **3** σκοπελίοις Ml || περιθαλαττίοις νεοττοποιήσασθαι Pg || θαλασσίοις Pd || **4** τίκτειν μέλλουσα ἐν πέτρᾳ παραλίῳ (ἐν π- π- om. La Mg Ml) ἐνεοττοποιήσατο ceteris omissis L || τι om. Pd || **5** εἰς θάλασσαν (unde coniicere possis εἰς θάλασσαν προβάλλουσαν) Pa Me Mf εἰς τὴν θάλασσαν Pd ἐν θάλασσαν Pf || ἐνεοττοποιεῖτο ἐνταῦθα Pb || **6** Ἐξελθοῦσα Pd || ποτε om. Pa Pd ποτε αὐτῆς L || ἐπὶ νομὰς Pa εἰς νομὴν La Lf || **7** ὑπὸ λάβρων πνευμάτων Pb || ὑπὸ λάβρου κυματωθεῖσαν πνεύματος ὑπεραρθῆναι τῆς καλιᾶς (χαλλιᾶς La) L || **8** ἐραρθεῖσαν pro ἐξαρθῆναι Pf || μέχρι om. Pg || ἐπικλύσαν Pa κατ' αὐτὴν ἐπικυκλώσασαν Pb ἐπικλύσασα Pd || **9** Ἡ ἀλκύων δὲ Pd Καὶ ἀλκύων Pf Me Mf || Ἡ δ' ἐπανελθοῦσα καὶ γνοῦσα (γνῶσα Lh) τὸ πραχθὲν L || **10** ἐγὼ Pg || Δειλαία ἔγωγε (ἐγὼ Le) L || **11** ἢ μοι πολλῷ L || πολλά Pd πολλῶν Pf Me || μοι om. Pf Me Mf. || **13** Ὁ μῦθος δηλοῖ (δηλοῖ om. Lh) ὅτι καὶ L || **14** τυγχάνουσι Pb || πολλὰ Pd || **15** ἐμπίπτοντα Pd ἐμπίπτουσι Lh.

Digitized by Google

29

Ἀλώπεκες ⟨ἐπὶ τῷ Μαιάνδρῳ⟩.

Ποτὲ ἀλώπεκες ἐπὶ τὸν Μαίανδρον ποταμὸν συνηθροίσθησαν, πιεῖν ἐξ αὐτοῦ θέλουσαι. Διὰ δὲ τὸ ῥοιζηδὸν φέρεσθαι τὸ ὕδωρ, ἀλλήλας προτρεπόμεναι οὐκ ἐτόλμων εἰσελθεῖν. Μιᾶς δὲ αὐτῶν διεξιούσης, ἐπὶ τῷ εὐτελίζειν τὰς λοιπὰς καὶ δειλίαν καταγελώσης, ἑαυτὴν ὡς γενναιοτέραν προκρίνασα θαρσαλέως εἰς τὸ ὕδωρ ἐπήδησεν. Τοῦ δὲ ῥεύματος ταύτην εἰς μέσον κατασύραντος, καὶ τῶν λοιπῶν παρὰ τὴν ὄχθην τοῦ ποταμοῦ ἑστηκυιῶν, πρὸς αὐτὴν εἰπουσῶν· « Μὴ ἐάσῃς ἡμᾶς, ἀλλὰ στραφεῖσα ὑπόδειξον τὴν εἴσοδον δι᾽ ἧς ἀκινδύνως δυνησόμεθα πιεῖν, » ἐκείνη ἀπαγομένη ἔλεγεν· « Ἀπόκρισιν ἔχω εἰς Μίλητον, καὶ ταύτην ἐκεῖσε ἀποκομίσαι βούλομαι· ἐν δὲ τῷ ἐπανιέναι με ὑποδείξω ὑμῖν. »

Πρὸς τοὺς κατὰ ἀλαζονείαν ἑαυτοῖς κίνδυνον ἐπιφέροντας.

Codd. Pf 118 Me 152 Mf 127.

5 ταῖς λοιπαῖς libri || **9** εἰπουσῶν Halm εἶπον libri.

30

Ἀλώπηξ ἐξογκωθεῖσα τὴν γαστέρα.

Ἀλώπηξ λιμώττουσα, ὡς ἐθεάσατο ἔν τινι δρυὸς κοιλώματι ἄρτους καὶ κρέα ὑπό τινων ποιμένων καταλελειμμένα, ταῦτα εἰσελθοῦσα κατέφαγεν. Ἐξογκωθεῖσα δὲ τὴν γαστέρα, ἐπειδὴ οὐκ ἠδύνατ ἐξελθεῖν, ἐστέναζε καὶ

Codd. Pa 27 Pb 24 Pc 8 Pd 19 Ma 21.

1 ἐπί τινος δρυὸς κοιλώματα Ma || **2** ἄρτον καὶ κρέη Ma || καταλελειμένα Pa -λιμμένα Ma -λελειψόμενα Pd.

Digitized by Google

ὠδύρετο. Ἑτέρα δὲ ἀλώπηξ τῇδε παριοῦσα, ὡς ἤκουσεν αὐτῆς τὸν στεναγμόν, προσελθοῦσα ἐπυνθάνετο τὴν αἰτίαν. Μαθοῦσα δὲ τὰ γεγενημένα ἔφη πρὸς αὐτήν· « Ἀλλὰ μένε τέως σὺ ἐνταῦθα, ἕως ἂν τοιαύτη γένῃ ὁποία οὖσα εἰσῆλθες, καὶ οὕτω ῥᾳδίως ἐξελεύσῃ. »

Ὁ λόγος δηλοῖ ὅτι τὰ χαλεπὰ τῶν πραγμάτων ὁ χρόνος διαλύει.

5 τῇδε om. Pc τήνδε Ma || παροῦσα Pa ||παριοῦσα, εἰσήκουσε αὐτῆς τῶν στεναγμῶν καὶ Pb || 7 τὸ γενόμενον Pc || μενετέον σοι (νῦν pro σοι Ma) ἐνταῦθα Pb Ma || μένε σὺ τέως Pd. || 10 Ὅτι Pd.

Aliter.

Ἀλώπηξ λιμώττουσα [ἐν πείνῃ] ἐθεάσατο ἐπί τινα καλύβην βοσκοῦ κρέα καὶ ἄρτον ὑπ' αὐτοῦ καταλειφθέντα, καὶ εἰσελθοῦσα διὰ στενοτάτης ὀπῆς ἔφαγεν αὐτὰ ἡδέως. Ἐξογκωθείσης δὲ αὐτῆς τῆς γαστρὸς καὶ διὰ τοῦτο μὴ δυναμένη ἐξελθεῖν τῆς καλύβης ἔστενε καὶ ἐπωδύρετο. Ἑτέρα δὲ ἀλώπηξ διερχομένη ἤκουσεν αὐτῆς τῶν στεναγμῶν καὶ προσελθοῦσα ἐπυνθάνετο δι' ἣν αἰτίαν τοῦτο ποιεῖ.

Codd. Ca 12 Cb 20 Cd 20 Ce 16 Cf 17 Ch 27 Mc 24 Md 26 Mh 20 Mi 61 Mk 25 Ml 25 Mm 26.

ἐν πείνῃ om. Mh, seclusi || ἐν om. Mk || 2 βοσκοῦ κρέα (κρέας Mm) καὶ ἄρτον ἐπί τινα καλύβην Md Mh Mi Mm || κρέη Ca κρέας Cb Cd Mm || ἄρτους Ml || ὑπ' αὐτοῦ om. Mm || καταληφθέντα Cd Ce Cf καταλειφθέντας Mh || 3 εἰσελθοῦσα (ἐλθοῦσα Ce) δὲ Cb Cc Ce Cf Ch Mc Md εἰ δὲ ἐλθοῦσα δὲ Cd || διὰ στενοτάτης ὀπῆς Md Mh Mi Mm, ceteri om. || αὐτὰ ἡδέως om. Md || αὐτὰ om. Mk || ἔφαγεν αὐτά. Καὶ μὴ δυναμένη (Μὴ δυναμένη δὲ Ml) omisso ἡδέως ... διὰ τοῦτο Ce Cf Ml || 4 Ἐξογκωθεῖσα δὲ αὐτὴ (αὐτὴ om. Mk αὐτῆς Cb Mc) τὴν γαστέρα καὶ μὴ δυναμένη (δυνάμενος Mc) Cb Cd Mc Mk || Ἐξογγοθῆς καὶ μὴ δυναμένη Mh Ἐξογκωθεῖσα δὲ καὶ μὴ δυναμένη Md Mi Mk Mm || διὰ τοῦτο om. Ch || δυναμένης Ca || 5 ἀπωδύρετο Ch ὠλοφύρετο Md Mh Mi Mm || ἐποδύρετο. Τοὺς στεναγμοὺς δὲ ταύτης ὁ βοσκὸς ἀκούσας καὶ προσελθὼν ἐπυνθάνετο δι' ἣν αἰτίαν τοῦτο ποιεῖς· μαθὼν δὲ τὸ γεγονὸς ὁ βοσκὸς ἔφη Mc || ἐποδύρετο. Προσελθὼν δὲ ὁ βοσκὸς ἐπυνθάνετο δι' ἣν αἰτίαν τοῦτο ποιεῖ, καὶ μαθὼν τὸ γεγονὸς ἔφη πρὸς τὴν ἀλώπεκα Mk || 6 τοῦ στεναγμοῦ Cb τὸν στεναγμὸν Ce Ch τοὺς στεναγμοὺς καὶ θρήνους Cd || 7 ἐπυνθάνετο τὴν αἰτίαν καὶ μαθοῦσα ἔφη Md Mh Mi Mm || ποιεῖς Ca Mh Mc

Digitized by Google

Μαθοῦσα δὲ τὸ γεγονὸς ἡ ἀλώπηξ ἔφη· « Ἀλλὰ μένε τέως ἐνταῦθα σύ, ἕως ἂν τοιαύτη γένῃ ὁποία οὖσα εἰσῆλθες. »
Ὁ μῦθος δηλοῖ ὅτι τὰ χαλεπὰ τῶν πραγμάτων ὁ χρόνος διαλύει.

8 ἡ ἀλώπηξ τὸ γεγονὼς Cf || ἡ ἀλώπηξ om. Ml. || Ἀλλὰ om. Md Mh Mi Mm || 9 σὺ ἐνταῦθα Ce Cf Ch Mc Ml || σύ om. Cd Md Mk Mm || post εἰσῆλθες Cb Cd addunt καὶ οὕτως ῥαδίως ἐξελεύσῃ. || 10 Ὅτι τὰ χαλεπὰ Cb || Τοῦτο δ' οὕτως σημαίνῃ· τὰ χαλαιπὰ Cd || τὰ λεπτὰ Ca τὰ πολλὰ Ml τὰ πάχη Md Mh Mi Mm τὰ μὴ λεπτὰ Mk || διαλύει ὁ χρόνος Md Mh Mi Mm ὁ χρόνος τοιαῦτα ποιεῖ Mk.

Aliter.

⟨Ἐν⟩ κολώματι δρυὸς στενωτάτῳ ποιμένος ἔκειτο πήρα μεθ' ὧν εἶχε βρωμάτων. Ἀλώπηξ δὲ μαθοῦσα, νῆστις οὖσα καὶ λεπτοτάτη, εἰσελθοῦσα ἐνεπλήσθη κρεῶν. Ὀγκωθείσης δὲ τῆς γαστρός, ἐξελθεῖν τῆς στενῆς ὀπῆς οὐκ ἠδύνατο. Ἑτέρα δὲ αὐτῇ ἀλώπηξ γελῶσα ἔφη· « Οὐκ ἐξελεύσῃ, ἕως ἂν τὴν γαστέρα ποιήσῃς οἵαν ὅτε εἰσῆλθες. »
Ὅτι οὐ δεῖ τινα δολίως ἢ ἀπλήστως πλεονεκτεῖν· ἐν ὑστέρῳ γάρ, κἂν μὴ θέλῃ, πάντα κακῶς ἀποδώσει.

Codd. Ba 64 Bb 40.

1 Ἐν in initio omissum est || πεῖρα Bb || 2 μετὰ τῶν αὐτοῦ βρωμάτων Bb || καταμαθοῦσα καὶ εἰσελθοῦσα, νῆστις οὖσα καὶ λεπτοτάτη ἐνεπλήσθη Bb || 7 ἢ δολίως Ba || 8 θέλει Bb || ἀπωδώσῃ Ba.

31

Ἀλώπηξ καὶ βάτος.

Ἀλώπηξ φραγμὸν ἀναβαίνουσα, ἐπειδὴ ὀλισθαίνειν ἔμελλε, βάτου ἐπελάβετο. Ξυσθεῖσα δὲ τὸ πέλμα καὶ δεινῶς διατεθεῖσα, ᾐτιᾶτο αὐτὴν ὅτι καταφυγοῦσα ἐπ' αὐτὴν ὡς ἐπὶ βοηθὸν χείρονι αὐτῇ ἐχρήσατο. Καὶ ἡ βάτος

Codd. Pa 5 Pb 19 Pc 4 Pd 15 Pf 14 Pg 14 Ph 14 Pi 4 Ma 5 Mb 7 Me 14 Mf 14.

2 ἤμελλε Pf || Ξυσθεῖσα οὖν Pd || τὸ πέλμα τὸ κάτω τῆς πέρνης Pc || 3 αἰτιᾶτο Pa || ὅτι Pa Ma εἴ γε ceteri || καταφυγοῦσαν αὐτὴν (αὐτὴ Pg ἐπ' αὐτὴν Me Mf) Pg Mb Me Mf || ἐπ' αὐτὴν ἐπιβοηθὸν Pi || 4 ὡς βοηθῷ Pd Ma || ἐπιβοηθὸν Pc Pg || χείρονα Pa Pi χεῖρον Pc Pd Pf Pg Ph Mb Me Mf || χείρω αὐτῆς ἐχρήσατο Ma || ἐχρήσατο αὐτοῦ (αὐτοῦ om. Pb Ma) τοῦ προκειμένου codd. excepto Pa.

Digitized by Google

ὑποτυχοῦσα εἶπεν· « Ἀλλ' ἐσφάλης τῶν φρενῶν, ὦ αὕτη, ἐμοῦ ἐπιλαβέσθαι βουληθεῖσα, ἥτις αὐτὴ πάντων ἐπιλαμβάνεσθαι εἴωθα. »

Οὕτως καὶ τῶν ἀνθρώπων μάταιοί εἰσιν ὅσοι τούτοις ὡς βοηθοῖς προσφεύγουσιν οἷς τὸ ἀδικεῖν μᾶλλόν ἐστιν ἔμφυτον.

5 ἐπιτυχοῦσα Pg Mb ὑποτυχοῦσα om. Pa Pd Ma || Ἀλλ' om. Pa Ma || τῆς φρενός Pc || ὦ αὕτη, βοηθὸν ἐμὲ νομίσασα ἕξειν ἥτις Pf Me Mf ὦ αὕτη, ἐμοὶ καταφυγοῦσα ἥτις Ph || **6** ἣ Pc || αὐτὴ om. Pb Pc Me Mf. || **8** Οὔτως Pa Pf οὕτω ceteri || ἐπὶ τῶν ἀνθρώπων Pa || οἱ τοιούτοις Pf Me Mf || ὅσοι om. Ph ὅσοι τούτοις om. Pd || πρὸς βοήθειαν σπεύδουσι Ma || **9** προσφεύγοντες Ph προσπίπτουσιν Mb || προσφεύγουσιν τοῖς τὸ ἀδικεῖν μᾶλλον ἔχουσιν ἔμφυτον Pd || ἐστιν om. Pc.

Aliter.

Ἀλώπηξ φραγμὸν ἀναβαίνουσα, ἐπειδὴ ὀλισθαίνειν ἤμελλεν, βάτου ἐπελάβετο πρὸς βοήθειαν. Ξυσθεῖσα δὲ τὸ πέλμα καὶ δεινῶς πληγωθεῖσα εἶπε πρὸς αὐτήν· « Αἶ ἐμέ· καταφυγοῦσα γὰρ ἐπὶ σὲ ὡς ἐπὶ βοηθόν, χεῖρόν μοι ἐχρήσω. — Ἀλλ' ἐσφάλης, ὦ φίλη, φησὶν ἡ βάτος, ἐμοῦ ἐπιλαβέσθαι βουληθεῖσα, ἥτις πάντων ἐπιλαμβάνεσθαι εἴωθα. »

Ὁ μῦθος δηλοῖ ὅτι οὕτω καὶ τῶν ἀνθρώπων μάταιοί εἰσιν ὅσοι βοηθοῖς προστρέχουσιν οἷς τὸ ἀδικεῖν μᾶλλον ἔμφυτον.

Codd. Ca 8 Cb 10 Cc 7 Cd 10 Ce 10 Cf 11 Ch 10 Mc 7 Mh 8 Mk 8.

1 ὀλισθαῖνον Cd || **2** ἔμελλε Cd Ce Mk || εἰς βοήθειαν Cb Cd Mc Mk πρὸς βοηθόν Cf || Ξεσθεῖσα Cb Cd Mc Mk || Ξυσθεῖσα δὲ ... πληγωθεῖσα om. Ce Cf || **3** Εἶπε δὲ Ce Cf || πρὸς ἑαυτήν Mh || ἰὼ ἐμοί Cc αἴ αἴ με Cd Ce αἴ ἐμοί Mh Mk || **4** γὰρ om. Cc || ἐ σοὶ Cb ἐν σοὶ Cd ἐπὶ σοὶ Cf Mh Mc Mk εἰς σὲ Cc || ὡς om. Cc || ὡς ἐπὶ βοηθόν Ch ὡς ἐπὶ βοήθειαν Ca Cc Ce Mh ὡς ἐπιβοηθῷ Cb Cd ὡς ἐπὶ βοηθῷ Mc Mk ὡς ἐπιβοηθόν Cf || χείρων Cb χείρονα Ce || **5** ὦ αὕτη Cb Cd Ce Cf Ch Mk ὦ οὗτος Mh || ἔφη ἡ βάτος Mh || ὁ βάτος Ce || **6** πάντας Ce || ἐπιλαβέσθαι εἴωθα Ce Cf Mk || ἐπιλανθάνεσθαι Ch. || **8** Ὅτι Cb Ὁ λόγος Cd || **9** τῆς ὡς βοηθεῖς προστρέχουσιν Cb ὅσοι προστρέχουσιν ἀνθρώποις ὡς βοηθοῖς Cd || ὅσοι βοηθεῖν προστρέχουσιν εἰς τὸ ἀδικεῖν μᾶλλον ἔμφυτον (ἔμφυτοι Mc) Cf Mc || οἱ βοηθεῖς προστρέχοντες οἷς Mh || ὅσοι ἀντὶ τοῦ βοηθεῖν τοὺς προστρέχοντας εἰς τὸ ἀδικεῖν μᾶλλον ἔμφυτοι Mk || ἐστιν ἔμφυτον Cb || **8-9** Ὁ μῦθος δηλοῖ ὅτι ματαίως πάσχουσιν ὅσοι βοηθοῖς προστρέχουσιν οἳ τὸ ἀδικεῖν μᾶλλον ἔμφυτον ἔχουσι Ce.

Digitized by Google

Aliter.

Ἀλώπηξ φραγμὸν ἀναβαίνουσα, ἐπειδὴ ὀλισθήσασα καταπίπτειν ἔμελλεν, ἐπελάβετο πρὸς βοήθειαν βάτου. Καὶ δὴ τοὺς πόδας ἐπὶ ταῖς ἐκείνης κέντροις αἱμάξασα καὶ ἀλγήσασα πρὸς αὐτὴν εἶπεν· « Οἴμοι· καταφυγοῦσάν με γὰρ ἐπὶ σὲ ὡς ἐπὶ βοηθόν σὺ χεῖρον διέθηκας. — Ἀλλ' ἐσφάλης, ὦ αὕτη, φησὶν ἡ βάτος, ἐμοῦ βουληθεῖσα ἐπιλαβέσθαι, ἥτις πάντων ἐπιλαμβάνεσθαι εἴωθα. »

Ὁ μῦθος δηλοῖ ὅτι οὕτω καὶ τῶν ἀνθρώπων μάταιοι ὅσοι βοηθοῖς προστρέχουσιν οἷς τὸ ἀδικεῖν μᾶλλον ἔμφυτον.

Codd. La 8 Lb 7 Le 7 Lf 8 Md 7 Mi 42 Mj 8 Ml 7 Mm 7.

2 βάτον pro βάτου Mi || **3** ἐπὶ τοὺς ἐκείνης πόδας αἱμάξασα Md Mm || ἐκείνης τῆς βάτου Mi || **4** Οἴμοι om. Le || **5** ἐπὶ σὲ om. Le || ἐπὶ σὲ ὡς ἐπὶ om. Mm || ὡς ἐπὶ om. Md Mi || **7** εἴ τις pro ἥτις Mi || **8** οἱ μάταιοι Le.

32

Ἀλώπηξ καὶ βότρυς.

Ἀλώπηξ λιμώττουσα, ὡς ἐθεάσατο ἀπό τινος ἀναδενδράδος βότρυας κρεμαμένους, ἠβουλήθη αὐτῶν περιγενέσθαι καὶ οὐκ ἠδύνατο. Ἀπαλλαττομένη δὲ πρὸς ἑαυτὴν εἶπεν· « Ὄμφακές εἰσιν. »

Οὕτω καὶ τῶν ἀνθρώπων ἔνιοι τῶν πραγμάτων ἐφικέσθαι μὴ δυνάμενοι δι' ἀσθένειαν τοὺς καιροὺς αἰτιῶνται.

Codd. Pa 23 Pb 15 Pc 2 Pg 11 Ca 5.

1 Pc incipit a θεάσατο, omisso Ἀλώπηξ λιμώττουσα ὡς ἐ || ἐπί τινος Pb Pg || ἐπί τινα ἀναδενδράδα Ca || **2** κρεμμαμένους Pa || καὶ ἐβουλήθη Pc || **3** πρὸς αὐτὰς Pa || **4** ἔλεγεν Pc || **5** ἀνθρώπων οἱ ψευδολόγοι τότε μάλιστα καταλαζονεύονται, ὅταν τοὺς ἐλέγχους μὴ ἔχωσιν Pg || **6** ἑαυτοὺς pro τοὺς καιροὺς Pa.

Digitized by Google

Aliter.

Ποτὲ ἀλώπηξ βότρυν θεασαμένη
πέπειρον ἐπειρᾶτο λαβεῖν εἰς βρῶσιν,
καὶ μὴ δυνηθεῖσα μειδιάσασ' ἔφη·
« Τί κάμνω ; ὄμφακες γάρ εἰσιν ⟨ἐκεῖνοι⟩·
λήψομαι αὐτούς, ὅταν πέπειροι ὦσι. »

Ὁ μῦθος δηλοῖ ὅτι οἱ ἀποτυχόντες τῶν πραγμάτων σπουδάζουσι διὰ ψεύδους καλύψαι τὴν ἀλήθειαν.

Codd. Ce 97 Cf 103.

1 et **2** Ποτὲ ἡ ἀλώπηξ βότρυας ἐθεάσατο πεπύρους· ἐπειρᾶτο γοῦν Cf || **4** γάρ om. Ce || ἐκεῖνοι addidi || **5** καὶ λήψομαι Cf || ὦσι nos γίνονται Ce γε- Cf || **6** οἱ πονηροὶ ἀποτυγχάνοντες σπουδάζουσι Ce || **7** συγκαλύψαι Cf.

Aliter.

Βότρυας πεπείρους ἀλώπηξ κρεμαμένους ἰδοῦσα, τούτους ἐπειρᾶτο καταφαγεῖν· πολλὰ δὲ καμοῦσα καὶ μὴ δυνηθεῖσα ψαῦσαι, τὴν λύπην παραμυθουμένη ἔλεγεν· « Ὄμφακες ἔτι εἰσίν. »

[Ὅτι] τοὺς δι' ἀδυναμίαν τινὸς ἀποτυγχάνοντας πράγματος καὶ θέλοντας τοῦτο διὰ ψεύδους καλύψαι ἐλέγχει ὁ μῦθος.

Codd. Ba 18 Bb 12 Mg 31.

1 κρεμμαμένους Bb || **3** τὴν λύπην δὲ Ba Bb || **5** Ὁ μῦθος ἐλέγχει τούς ... Mg || Ὅτι Ba Bb inclusi || τοῦ pro τοὺς Ba || τινὸς om. Mg || ἀποτυγχάνοντος Ba -οντα Bb || **6** θέλοντα Ba || τοὺς pro τοῦτο Mg.

Aliter.

Βότρυας πεπείρους ἀλώπηξ ἀπηωρημένους ἰδοῦσα, κατάξαι τούτους καὶ ἔδεσθαι πολυτρόπως ἐμηχανᾶτο. Πολλὰ δὲ καμοῦσα καὶ ὅλως ψαῦσαι τούτων μὴ δυνηθεῖσα παρεμυθεῖτο τὴν ἑαυτῆς ἀτυχίαν καὶ ἔλεγεν· « Ὄμφακές εἰσιν ἔτι καὶ ἄμαχοι τοῖς ὁδοῦσι. »
Ὅτι ἐν τοῖς ἀδυνάτοις τινὲς αἰδούμενοι ἑτέρας κενὰς προφασίζονται ἀφορμάς.

Cod. Bc 15.

Digitized by Google

Aliter.

Ποτὲ κατεῖδε τοὺς βότρυας ἀλώπηξ
πεπείρους πάνυ τὰς ῥωγὰς δεικνυμένους
καὶ ἐπειρᾶτο τούτους λαβεῖν εἰς βρῶσιν·
ἥτις εἰς τοῦτο πολλὰ μηχανωμένη
οὐκ ἠδυνήθη τὴν ὄρεξιν πληρῶσαι.
Μετὰ δὲ ταῦτα μειδιάσασα αὔτη
εὐθὺς τὸ πένθος εἰς χαρὰν μεταβάλλει,
ἀναβοῶσα· « Ὄμφακές εἰσι ταῦτα. »

Ὅτι πολλοὶ τῶν ἀνθρώπων ἀποτυχόντες τῶν πραγμάτων σπουδάζουσι διὰ τοῦ ψεύδους συγκαλύψαι τὴν ἧτταν.

Codd. Ga 170 Gb 88 Cd 102 Cg 33 Ch 108.

2 τὰς ῥώξ libri excepto Ca || δεικνυμένους nos ἐνδεικνυμένους Cg ἐνδεικνυμένας ceteri || **3** τούτους nos ταύτας libri || ἂν βρώσει Cg || **4** ἥτις εἰς nos || ἥτις δ' εἰς ... μηχανωμένη Cg τῆς δ' εἰς ... μηχανωμένης ceteri || **5** ἠδυνήθην Cb || **6** ἔφη pro αὔτη Ca Cb Cd || ἔφη. οὔ πωτ' ὄμφακας ἔμαθον ἐγὼ τρώγειν, μεταβαλοῦσα εἰς χαράν γε τὴν θλίψην Gd || **7** μεταβάλλη Cg || **9** Ὅλως δηλοῖ ὅτι Ca || ἀποτυχόντων Cb || τῶν Ch τινῶν Cd Cg om. Ca Cb || **9-10** Πολλοὶ τὴν ἧτταν ἀποτυχόντες κρύπτουν καὶ νικηθέντες συγκαλύπτουσι τέχνῃ Cd.

Aliter.

Ἀλώπηξ ⟨πρὸς ὄμφακας καὶ μῦς⟩.

Ἀλώπηξ ἐν κρεβαττινᾷ βότρυας πεπείρους ἰδοῦσα ἤμελλε φαγεῖν μέν, ἐν ὕψει δὲ ὄντας οὐκ ηὐπόρει φαγεῖν. Μῦς δὲ ἰδὼν ταύτην ἐμειδίασεν εἰπών· « Οὐδὲν τρώγεις. » Ἡ δὲ ἀλώπηξ μὴ θέλουσα ἡττηθῆναι παρὰ τοῦ μυὸς ἔφη· « Ὄμφακές εἰσιν. »

Ὅτι τοὺς πονηροὺς καὶ μὴ βουλομένους πείθεσθαι τῷ λόγῳ ὁ μῦθος ἐλέγχει.

Cod. Ma 158.

1 κρεβαττινᾷ uocabulum ignotum, fortasse κρεμαστῇ ἀμπέλῳ || **2** ἐν ὕψει δὲ ὄντας nos ὕψει δὲ ὄντες cod. || ηὐπόρει nos ἠπόρει cod. || **3** τρώγεις nos τρόγει cod. || **6** πείθεσθαι τῷ λόγῳ nos πείθειν τὸν λόγον cod.

Digitized by Google

33

Ἀλώπηξ καὶ δράκων.

[Συκέα παρ' ὁδὸν ἦν.] Ἀλώπηξ [δὲ] θεασαμένη δράκοντα κοιμώμενον ἐζήλωσεν αὐτοῦ τὸ μῆκος· βουλομένη δὲ αὐτῷ ἐξισωθῆναι παραναπεσοῦσα ἐπειρᾶτο ἑαυτὴν ἐκτείνειν, μέχρις οὗ ὑπερβιαζομένη ἔλαθε ῥαγεῖσα.

Τοῦτο πάσχουσιν οἱ τοῖς κρείττοσιν ἀνθαμιλλώμενοι· θᾶττον γὰρ αὐτοὶ διαρρήγνυνται ἢ ἐκείνων ἐφικέσθαι δύνανται.

Codd. Pa 216 Pc 115.

3 παραναπεσοῦσα Sternbach παρὰ ἀναπεσοῦσα Pa παραπεσοῦσα Pc || 7 δυνάμεως pro δύνανται Pc.

34

Ἀλώπηξ καὶ δρυτόμος.

Ἀλώπηξ κυνηγοὺς φεύγουσα, ὡς ἐθεάσατό τινα δρυτόμον, τοῦτον ἱκέτευσε κατακρύψαι αὐτήν. Ὁ δὲ αὐτῇ παρῄνεσεν εἰς τὴν ἑαυτοῦ καλύβην εἰσελθοῦσαν κρυβῆναι. Μετ' οὐ πολὺ δὲ παραγενομένων τῶν κυνηγῶν καὶ τοῦ δρυτόμου πυνθανομένων εἰ τεθέαται ἀλώπεκα τῇδε παριοῦσαν, ἐκεῖνος τῇ μὲν φωνῇ ἠρνεῖτο ἑωρακέναι, τῇ δὲ χειρὶ νεύων ἐσήμαινεν ὅπου κατεκρύπτετο. Τῶν δὲ οὐχ οἷς ἔνευε προσσχόντων, οἷς δὲ ἔλεγε πιστευσάντων, ἡ

Codd. Pa 25 Pb 22 Pc 7 Pd 18 Pg 16 Ma 19.

1 κυνηγὸν Pc || τινα om. Pd Ma || δρυωτόμον Ma || 2 ἱκέτευσε Pa Pc -τευε ceteri || κατέκρυψε Pd || αὐτὴν παρῄνεσεν Pc παρῄνεσεν αὐτὴν Pd Ma || 3 εἰσελθεῖν καὶ κρυβῆναι Pd || 4 Μετὰ πολὺ Ma || παραγενομένου τοῦ κυνηγοῦ καὶ τὸν δρυτόμον πυνθανομένου Pc || 5 τὸν δρυτόμον Pd || τεθέατο Pg || αὐτόθι παριοῦσαν Pc τήνδε περιοῦσαν Ma || 6 τῇ χειρὶ δὲ Pg || 7 νεύων τόπον κατεκρύπτετο Ma || ἐσήμαναι ποῦ κατακέκρυπται Pd || κατεκέκρυπτο Pb Pc κατακέκρυπται Pg || Τοῖς δὲ Pa || 8 προσχόντων Pa προσεσχηκότων Pd Ma || Τοῦ δὲ οὐχ οἷς ἔνευε προσσχόντος, οἷς δὲ ἔλεγε πιστεύσαντος Pc || ἀλλ' οἷς Pb Pd Ma || πιστεύσαντες ἀπεχώρησαν Pd.

Digitized by Google

ἀλώπηξ ἰδοῦσα αὐτοὺς ἀπαλλαγέντας ἐξελθοῦσα ἀπροσφωνητὶ ἐπορεύετο. Μεμφομένου δὲ αὐτὴν τοῦ δρυτόμου, εἴγε διασωθεῖσα ὑπ' αὐτοῦ, ἀλλ' οὐδὲ διὰ φωνῆς αὐτῷ ἐμαρτύρησεν, ἔφη· « Ἀλλ' ἔγωγε ηὐχαρίστησα ἄν σοι, εἰ τοῖς λόγοις ὅμοια τὰ ἔργα τῆς χειρὸς καὶ τοὺς τρόπους εἶχες. »

Τούτῳ τῷ λόγῳ χρήσαιτο ἄν τις πρὸς ἐκείνους τοὺς ἀνθρώπους τοὺς χρηστὰ μὲν σαφῶς ἐπαγγελλομένους, δι' ἔργων δὲ φαῦλα δρῶντας.

9 αὐτὸν ἀπαλλαγέντα Pc || ἀπροσφωνητός Pc || **10** Μεταμεμφομένου δὲ Pc || δρυοτόμου Pd || **11** ἀλλ' om. Pb || οὐδὲ φωνῆς αὐτὸν ἠξίωσεν Pb Pd φωνῆς ἠξίωσεν αὐτὸν Ma || αὐτὸ Pg || **12** ἐγὼ Pd || ἔγωγε ὑπὸ σοῦ ἐσώθην οὐδαμῶς, ηὐχαρίστησα δ' ἄν σοι Pc || εὐχαριστοῦσα Pg || εἰ τοὺς λόγους ὁμοίους τοῖς ἔργοις τῆς χειρὸς καὶ τοῖς τρόποις εἶχες Pg || **13** τῶν χειρῶν Pb || καὶ τῆς χειρὸς Pd. || **15** Οὕτω pro τούτῳ Pa || ἐκείνους τῶν ἀνθρώπων οἵτινες τὰ μὲν χρηστὰ σαφῶς ἐπαγγέλλονται, ἔργα δὲ φαῦλα δρῶσι Pb || **16** χρηστὰ μὲν Pc μὲν χρηστὰ Pa τὰ χρηστὰ μὲν Pd || ἔργα δὲ φαῦλα δρῶντας Pd || **17** δρῶνται Pa δρῶντες Pg ||. **15-17** Τοῦτον τὸν λόγον .. τοὺς χρηστὰ μὲν ἐπαγγελλομένους, ἔργα δὲ φαύλους διδόντας Ma.

Aliter.

Ἀλώπηξ καὶ δρυοτόμος.

Ἀλώπηξ κυνηγοὺς φεύγουσα καὶ ἐν ἐρήμῳ πολλῇ τὸν δρόμον ἀνύουσα, αὐτίκα ἄνδρα εὑρίσκει δρυοτόμον ἐνταῦθα, ὃν καὶ καθικέτευε τοῦ κρύψαι αὐτήν. Ὁ δὲ ὑπέδειξεν αὐτῇ

Codd. Ca 10 Cb 12 Cc 9 Cd 12 Ce 12 Cf 13 Ch 12 Mc 19 Md 19 Me 29 Mf 27 Mh 10 Mi 54 Mk 20 Ml 20 Mm 19 Lf 131.

1 ἐν ἐρημίᾳ Cb Cd Mc Md Me Mf Mi Mm Lf || πολλὴν δρόμον Cb Cd Lf πολὺν δρόμον Mc Me Mf πολλοὺς τοὺς δρόμους Ce πολλοὺς τὸν δρόμον Cf || ἐν ἐρήμῳ ἰοῦσα δρυοτόμον εὑρίσκει ὃν καὶ καθικετεύει Cc || **2** αὐτῇ pro αὐτίκα Mk αὐτὴ καὶ Lf αὐτίκα om. Ce Mc Md Me Mf || ἐνέτυχεν ἀνδρὶ δρυϊτόμῳ Ce ἄνδρα εὗρε δρυοτόμον ἐν ταύτῃ Mk || εὑρίσκει ἄνδρα δρυτόμον ὃν κατελιπάρει Md Mh Mi Mm || ἐν ταύτῃ Mc Me Mf Lf ἐνταῦθα om. Cb Cd Ml || **3** καὶ ante καθικέτευε soli Ca Cc Ce Cf || ὑπέδειξεν αὐτῆς Lf || αὐτὴν (αὐτῇ Cd) τὴν ἑαυτοῦ καλιὰν Cb Cd || αὐτῆς τὴν ἑαυτῆς καλύβην Cf.

Digitized by Google

τὴν ἑαυτοῦ καλύβην. Ἡ δὲ εἰσελθοῦσα ἐκρύπτετο ἐν γωνίᾳ. Τῶν δὲ κυνηγῶν ἐλθόντων καὶ ἐρωτώντων τὸν ἄνδρα, τῇ μὲν φωνῇ ἠρνεῖτο μηδὲν εἰδέναι, τῇ δὲ χειρὶ αὐτοῦ τὸν τόπον ὑπεδείκνυεν. Αὐτοὶ δὲ μὴ προσέχοντες ἀπῆλθον παραχρῆμα. Ὡς οὖν εἶδεν αὐτοὺς ἡ ἀλώπηξ ἀπελθόντας, ἐξῆλθεν ⟨οὐ⟩ προσφωνοῦσα. Ἐμέμφετο δὲ αὐτὴν ὁ ἄνθρωπος ἐκεῖνος, λέγων· « Δι' ἐμοῦ πάντως ἐσώθης καὶ χάριν μοι οὐκ ἔχεις. » Ἡ δὲ ἀλώπηξ ἐπαναστραφεῖσα εἶπε πρὸς αὐτόν· « Ὦ οὗτος, ἀλλ' ἔγωγε ηὐχαρίστησα ἄν σοι, εἰ τοῖς λόγοις ὅμοια καὶ τὰ ἔργα τῆς χειρὸς καὶ τοὺς τρόπους εἶχες. »

Ὁ λόγος πρὸς ἐκείνους τοὺς ἀνθρώπους, τοὺς χρηστὰ

4 Εἰσελθοῦσα δὲ Md Mh Mi Mm || Ἡ δὲ εἰσελθοῦσα ... γωνίᾳ om. Cc || ἐλθοῦσα ἐκρύπτετο εἰς τὰς γωνίας Cb Cd || εἰς τὰς γωνίας Cf Mc Me Mf Lf || ἐν γωνίᾳ ἐκρύπτετο Ml || **5** Τῶν κυνηγῶν (δὲ κυνηγετῶν Mc Lf) δὲ ἐλθόντων καὶ (καὶ om. Cd Lf) τὸν ἄνδρα ἠρώτων. Καὶ τῇ φωνῇ μὲν Cb Cd Mc Lf Εἰσιόντων δὲ τῶν κυνηγῶν καὶ ἐρωτώντων αὐτὸν Cc || Τῶν δὲ κυνηγετῶν Mc Me Mf || Οἱ οὖν (δὲ pro οὖν Mk) κυνηγοὶ (κυνηγέται Mk) ἐλθόντες τὸν ἄνδρα ἠρώτων. Ὁ δὲ τῇ φωνῇ μὲν (τῇ μὲν φωνῇ Mk) Me Mf Mk || **6** ἠρνεῖτο μὴ ἰδεῖν αὐτήν, τῇ δὲ χειρὶ ὑπεδείκνυε τὸν τόπον οὗ ἦν Mk || μὴ εἰδέναι Ce Cf Ml μὴ εἶναι Lf || αὐτοῦ om. Ce, αὐτοῦ τὸν τόπον om. Cc || **7** ἐπεδείκνυε Cd ἐπεδίκνει Ce ἐπεδείκνυ Ml ὑπεδείκνυ τὸν τόπον Md Mh Mi Mm || Αὐτὴν δὲ Cb Οἱ δὲ Mc || προσχόντες Ce Md Mh Mi || **8** παραχρῆμα om. Cc Ce Cf Ml || παραχρῆμα ἀπῆλθον Md Mh Mi Mm || ἀπῆλθον. Καὶ ἡ ἀλώπηξ ἐξελθοῦσα εἶπε πρὸς τὸν τὴν καλύβην ἔχοντα· « Ὦ οὗτος, ηὐχαρίστησα ἄν σοι ceteris omissis Cc || ἴδεν Ce || παρελθόντας Mc Me Lf || **9** ἦλθεν Md Mi Mm || οὐ om. libri || φωνοῦσα Mk μὴ (μὴ om. Mf) προσφωνήσασα τὸν ἄνδρα Me Mf || προσφωνοῦσα om. Md Mh Mi || αὐτῇ Mh || **10** ἐκεῖνος om. Md Mh Mi Mk Mm || δι' ἐμοῦ λέγων Cd || λέγων ὡς Md Mh Mi Mm || πάντως om. Mi Mm || χάριν μου Cf Md Mi Ml Mm || **11** Στραφεῖσα δὲ ἡ ἀλώπηξ πρὸς αὐτὸν ἔφη Ce || δὲ om. Mc Me Lf || ἐπιστραφεῖσα Md Mh Mi Mm || ἔφη Cb Cf Ch Mc Md Me Mf Mi Mk Ml Mm λέγει Mh εἶπεν αὐτῷ Cc || **12** ηὐχαρίστην Cf ηὐχαρίστουν Mk Ml εὐχαρίστισα Mc || οἱ pro εἰ Cb Ce ἐν Lf || εἰ εἶχες καὶ τὰ ἔργα τῆς χειρὸς ὅμοια τοῖς λόγοις Me Mf || **13** ὁμοίως καὶ τοὺς τρόπους εἶχες τῆς σῆς χειρὸς (χεῖρα Mm) Md Mh Mm || ὅμοια καὶ τοὺς τρόπους εἶχες Mi || τῶν χειρῶν Ce || καὶ ante τοὺς τρόπους om. Ca Mc Lf || καὶ τοὺς τρόπους om. Cc Ce Cf Ml || εἶχεν Ca || **14** Ὁ μῦθος δηλοῖ πρὸς Cf. Ὁ μῦθος πρὸς Ml Ὁ μῦθος δηλοῖ ὅτι ὁ λόγος ἐστὶ Mc Me Mf Lf || Ὁ μῦθος δηλοῖ πρὸς ἀνθρώπους τοὺς χρηστὰ μὲν ἐπαγγελλομένους, φαῦλα δὲ ἐπιδεικνυμένους ἔργα Ce Ὁ (Ὁ om. Mh) μῦθος δηλοῖ ὅτι οὗτος ὁ λόγος ἁρμόζει πρὸς ἐκείνους τοὺς χρηστὰ μὲν ἐπαγγελλομένους, δι' ἔργων δὲ φαύλοις χρωμένους Md Mh Mi Mm Ὁ μῦθος δηλοῖ ὅτι οὐ δεῖ χάριν εἰδέναι τοῖς χρηστὰ μὲν ἐπαγγελλομένοις διὰ λόγων, δι' ἔργων δὲ τἀναντία σπουδάζουσιν Mk.

Digitized by Google

μὲν ἐπαγγελλομένους διὰ λόγων, δι᾽ ἔργων δὲ φαῦλα ποιοῦντας.

15 διὰ λόγων om. Ch Me Mf Ml Lf || ἔργοις δὲ Ml || τε pro δὲ Cb Mc Lf || φαύλως Cc || δι᾽ ἔργοις δὲ φαυλαχρῶντας Cf φαῦλα δὲ πράττοντας Me Mf || 16 χρῶνται pro ποιοῦντας Cd Mc Lf χρωμένους Ch.

Aliter.

Ἀλώπηξ κυνηγοὺς φεύγουσα καὶ ἐν ἐρημίᾳ πολὺν δρόμον ἀνύουσα ἄνδρα δρυοτόμον εὑρίσκει ἐν ταύτῃ, ὃν καθικέτευε τοῦ κρύψαι αὐτήν. Τοῦ δὲ ὑποδείξαντος αὐτῇ τὴν ἑαυτοῦ καλύβην, εἰσελθοῦσα ἐκρύπτετο εἰς τὰς γωνίας. Τῶν δὲ κυνηγετῶν ἐλθόντων καὶ ἐρωτώντων τὸν ἄνδρα, οὗτος τῇ μὲν φωνῇ ἠρνεῖτο μηδὲν εἰδέναι, τῇ δὲ χειρὶ αὐτοῦ τὸν τόπον ὑπεδείκνυ. Οἱ δὲ μὴ προσσχόντες ἀπῆλθον παραχρῆμα. Ὡς οὖν εἶδεν αὐτοὺς ἡ ἀλώπηξ παρελθόντας, ἐξῆλθεν οὐ προσφωνοῦσα. Μεμφομένου δὲ αὐτὴν ἐκείνου ὡς σωθεῖσαν μὲν δι᾽ αὐτοῦ, χάριτας δὲ αὐτῷ οὐχ ὁμολογοῦσαν, ἡ ἀλώπηξ ἐπιστραφεῖσα ἔφη· « Ὦ οὗτος, ἀλλ᾽ ἔγωγε ᾔδειν ἄν σοι χάριτας, εἰ τοῖς λόγοις ὅμοια καὶ τὰ ἔργα τῆς χειρὸς καὶ τοὺς τρόπους εἶχες. »

Ὁ μῦθος πρὸς τοὺς χρηστὰ μὲν ἐπαγγελλομένους τοῖς λόγοις, ἐναντία δὲ ποιοῦντας τοῖς ἔργοις.

Codd. La 131 Mg 18.

6 μηδὲν εἶναι Mg || 8 οὖν om. Mg || 13 τοὺς τρόπους nos τοῖς τρόποις libri || 15 Ὁ μῦθος δηλοῖ πρὸς Mg.

Aliter.

Ἀλώπηξ καὶ δρυτόμος.

Ἔφευγεν ἀλώπηξ, κυνηγὸς δὲ ἐπεδίωκεν. Ἡ δὲ δρυτόμον ἰδοῦσα ἐδυσώπει καὶ ὥρκησε κρύψαι αὐτὴν ἐν τοῖς κλάδοις καὶ μὴ προδῶσαι τῷ κυνηγῷ. Ὁ δὲ συνέθετο· ἡ δὲ ἐκρύβη. Ἐλθὼν δὲ ὁ κυνηγὸς ἠρώτα τὸν δρυτόμον μὴ ἀλώπηξ ὧδε εἰσῆλθεν. Ὁ δέ· « Οὐκ εἶδον », εἶπεν, τῷ δὲ δακτύλῳ τὸν τόπον ὑπέδειξεν .Ὁ δὲ τῷ λόγῳ πιστεύσας, τῷ δὲ δακτύλῳ μὴ προσσχών, παρῆλθεν. Ἡ δὲ ἀλώπηξ γελῶσα ἐξῆλθεν. Εἶπεν δὲ αὐτῇ ὁ δρυτόμος· « Ἔχε μοι τὴν χάριν ὅτι ἔσωσά σε ». Ἡ δὲ εἶπεν· « Ἠκροασάμην πάντα·

Codd. Ba 41 Bb 27.

3 προδόσειν Ba || καὶ ἀπεκρύβη Bb omisso ἡ δὲ || 5 Ὁ δὲ εἶπεν· « Οὐκ ᾔδην Bb || εἶδεν Ba || 7 τῷ δακτύλῳ Bb || προσχὼν libri || 8 Εἶπε δὲ αὐτὴν Bb.

Digitized by Google

ἵνα δὲ ἐκφύγῃς τὸν ὅρκον, τῇ φωνῇ με ἔσωσας, τῷ δακτύλῳ δὲ ἀπεκτεῖνας. »

Ὅτι οἱ τῶν κολάκων λόγοι πιθανοὶ μέν εἰσι, οἱ δὲ τρόποι σκολιοὶ καὶ δόλου πλήρεις.

10 οὐδὲ ἐκφεύγῃς Bb || **12** εἰσι μὲν Bb || **13** πλήρης libri.

Aliter.

Ἀλώπηξ κυνηγοὺς φεύγουσα εἰς δρυμῶνα κατήντησε. Δρυτόμον δὲ ἰδοῦσα παρεκάλει τοῦτον ὁρκίζουσα μὴ προδώσειν τοῖς κυνηγοῖς. Ὁ δὲ συνέθετο τοῦτο ποιῆσαι. Τῶν δὲ κυνηγῶν ἐλθόντων καὶ τοῦτον διερωτώντων περὶ τῆς ἀλώπεκος, τῷ μὲν στόματι μὴ ἰδεῖν ταύτην ἔλεγε, τῷ δὲ δακτύλῳ τὸν τόπον ὑπεδείκνυ ἔνθα ἐκρύπτετο. Τῶν δὲ μὴ συνιέντων, ἡ ἀλώπηξ μετὰ ταῦτα ἐξῆλθεν ἐκφυγοῦσα τὸν κίνδυνον. Ὁ δὲ δρυτόμος εἶπε πρὸς ταύτην· « Ἄπελθε τὸ ζῆν παρ' ἐμοῦ ἔχουσα. » Ἡ δ' ἀλώπηξ ἔφη· « Οὐκ ἔχω σοι χάριν· τῷ μὲν στόματι ἔσωσας, τῷ δὲ δακτύλῳ ἀπέκτεινας. »

Cod. Bd 20.

7 συνιέντων nos συνιόντων liber || **9** παρ' ἐμοῦ nos παρενμίου liber.

35

Ἀλώπηξ καὶ κροκόδειλος.

Ἀλώπηξ καὶ κροκόδειλος περὶ εὐγενείας ἤριζον. Πολλὰ δὲ τοῦ κροκοδείλου διεξιόντος περὶ τῆς τῶν προγόνων λαμπρότητος καὶ τὸ τελευταῖον λέγοντος ὡς γεγυμνασιαρχηκότων ἐστὶ πατέρων, ἡ ἀλώπηξ ἔφη· « Ἀλλὰ κἂν σὺ μὴ εἴπῃς, ἀπὸ τοῦ δέρματος φαίνῃ ὅτι ἀπὸ πολλῶν ἐτῶν εἶ γεγυμνασμένος. »

Codd. Pa 6 Pb 20 Pc 5 Pd 16 Pf 11 Pg 15 Ph 10 Ma 6 Mb 8 Me 11 Mf 11.

1 εὐμενείας Pd συγγενείας Pf || Πολλῶ Pd || **2** κορκοδείλου Pf[1] || **3** λέγων ὡς ἐπὶ πατέρων εὐγενῶν, ἡ ἀλώπηξ Pc || ὅτι Pb || γυμνασιάρχων Pg Mb γυμνασιαρχηκότων Ma γεγυμναρχηκότων Me Mf || **4** ἡ ἀλώπηξ ὑποτυχοῦσα Pb Pc Ph Me ἡ ἀ- ὑπολαβοῦσα Pg Mb Me Mf || ὦ τάν, εἶπεν Me Mf || εἶπεν Pf Pg Ph Mb || μὴ σὺ εἴπῃς Ph Mb || **5** τοῦ ante δέρματος om. Pa || πρὸ πολλῶν Mf || ἀπὸ πολλῶν ἐτῶν εἶ γεγυμνασμένος Pb Me Mf ἀπὸ πολλῶν εἶ γυμνασμάτων Pa Pd Ma ἀπὸ πολλῶν εἶ (ἦν Mb) ἀναλωμάτων (ἀναλωμάτων εἶ Pc) Pc Pf Pg Ph Mb.

Digitized by Google

Οὕτως καὶ τῶν ψευδολόγων ἀνθρώπων ἔλεγχός ἐστι τὰ πράγματα.

7 Οὕτω καὶ οἱ (Οὕτως οἱ Ph) ψευδολόγοι καὶ ὑποκριταὶ ἐκ τῶν οἰκείων πραγμάτων γνωρίζονται Pf Ph Me Mf || εἰσι Pc.

Aliter (fabula trunca).

Ἀλώπηξ καὶ κροκόδειλος περὶ εὐγενείας ἤριζον. Πολλὰ δὲ τοῦ κροκοδείλου διεξιόντος καὶ ὑπερηφανευομένου περὶ τῆς τῶν προγόνων λαμπρότητος, ἡ ἀλώπηξ ὑπολαβοῦσα ἔφη· « Ὦ οὗτος, ἀλλὰ κἂν σὺ μὴ εἴπῃς, τὸ γοῦν δέρμα σοῦ δείκνυσιν ὅτι ἀπὸ πολλῶν ἐτῶν εἶ γεγυμνασμένος. »
Ὁ μῦθος δηλοῖ ὅτι τῶν ψευδομένων ἀνδρῶν ἔλεγχός ἐστι τὰ πράγματα.

Codd. Ca 9 Cb 11 Cc 8 Cd 11 Ce 11 Cf 12 Ch 11 Mc 8 Mh 9 Mk 9.

1 ἐρίζοντες Mc ἐρίζοντες ἦσαν Mk || Πολλὰ δὲ τούτου διεξιόντος Cc || 2 κορκοδήλου Cf || ἐξιόντος καὶ περιφανευομένου ἐπὶ τῇ τῶν προγόνων λαμπρότητι Mh || ὑπερηφανευσαμένου Mc Mk || 3 post λαμπρότητος una linea omissa est in libris || ὑπολαβοῦσα· Ὦ οὗτος, ἔφη Cc || 4 σύ μοι εἴπῃς Cb || σὺ μὲν omisso μὴ εἴπῃς Ce Cf || τὸ γοῦν δέρμα σου δείκνυσιν ὅτι om. Cb Cd || 5 δεικνύει Cc || ἀπὸ (καὶ ἀπὸ Mh) τοῦ δέρματος (δ- σου Mc) φαίνει (φαίνῃ Cf Mh Mk) Ce Cf Ch Mc Mh Mk || ἐκ πολλῶν Mh || ἐγνωσμένος Cd γεγυμνόμενος Ce γεγυμένος Cf γεγυμνώμενος Cc Mc Mh Mk || 6 Ὅτι Cb || ψευδομένων Cd ψευδονύμων Ce Mc -ωνύμων ceteri || ἔλεγχα Cf || εἰσι Cd Ce Cf || Epimythium fabulae superioris Ἀλώπηξ καὶ βάτος habet Cc.

Aliter.

Ἀλώπηξ καὶ κροκόδειλος ἠμφισβήτουν περὶ εὐγενείας· πολλὰ δὲ τοῦ κροκοδείλου ὑπερήφανα περὶ τῆς τῶν προγόνων διεξιόντος λαμπρότητος, ὡς γεγυμνασιαρχηκότων, ἡ ἀλώπηξ ὑπολαβοῦσα· « Ὦ τᾶν, εἶπεν, ἀλλὰ κἂν μὴ σὺ λέγῃς, ἀλλ' ἀπὸ τοῦ δέρματός γε φαίνῃ ὡς ἐκ παλαιῶν ἐτῶν εἶ γεγυμνασμένος. »
Ὁ μῦθος δηλοῖ ὅτι τῶν ψευδομένων ἀνδρῶν ἔλεγχος τὰ πράγματα γίνεται.

Codd. La 9 Lb 8 Le 8 Lf 9 Md 8 Mi 43 Mj 10 Ml 8 Mm 8.

3 διεξελθόντος Ml || 4 ἔφη· Ὦ τᾶν Le || 5 λέγεις Mj Mm || ἀλλ om. Lb Mj || 8 γίνονται Lb γίνεται om. Md Mi.

Digitized by Google

36

Ἀλώπηξ καὶ κύων.

Ἀλώπηξ εἰς ἀγέλην προβάτων εἰσελθοῦσα, θηλαζόντων τῶν ἀρνίων ἓν ἀναλαβομένη, προσεποιεῖτο καταφιλεῖν. Ἐρωτηθεῖσα δὲ ὑπὸ κυνὸς τί τοῦτο ποιεῖ· « Τιθηνοῦμαι αὐτό, ἔφη, καὶ προσπαίζω. » Καὶ ὁ κύων ἔφη· « Καὶ νῦν, ἐὰν μὴ ἀφῇς τὸ ἀρνίον ἀφ' ἑαυτῆς, τὰ κυνῶν σοι προσοίσω. »

Πρὸς ἄνδρα ῥᾳδιουργὸν καὶ μῶρον κλέπτην ὁ λόγος εὔκαιρος.

Codd. Pa 42 Pb 41 Pc 14 Pf 16 Pg 20 Ph 16 — Ca 18 Mb 5 Me 16 Mf 16.

1 εἰσελθοῦσα εἰς ἀγέλην προβάτων Ca || **2** τῶν ἀρνίων ἓν ἀναλαβομένη nos τῶν ἀρνῶν ἕνα λαβομένη Pa Pb Pg Ph Mb τῶν ἀρνίων εὐλαβομένη (ἓν λαβομένη Ca) Pc Ca τὸν ἀρνὸν ἀναλαβομένη Pf Me Mf || **3** ποιεῖς Pb Pg Ph Ca Mb Mf || τιθηνοῦμαι αὐτῷ Ca τιθηνοῦμαι, ἔφη, αὐτὸ Mb || τιθηνοῦμαι, ἔφη, αὐτῷ καὶ νῦν, ἐὰν μὴ ἀφῇς omisso καὶ προσπαίζω .. ἔφη Pg || **4** Ὁ δί· ἐὰν μὴ ἀφῇς, φησέν Mb || **5** ἂν Pb || ἀρνίων Pc || ἀφ' ἑαυτῆς om. Pb || **6** προσπαίξω pro προσοίσω Phv || **7** Ὁ λόγος (μῦθος Mf) εὔχαιρος πρὸς Me Mf || Ὁ μῦθος εὔχαιρος πρὸς Ma || Ὁ λόγος εὔχαιρος πρὸς ἄνδρα ῥαδιουργὸν καὶ κλέπτην Pf Mb Πρὸς ἄνδρα ῥαδιουργὸν καὶ κλέπτην Ph || Ὁ λόγος πρὸς ἄνδρα ῥαδιουργὸν καὶ κλέπτην εὔχαιρός ἐστι Ca || μωροκλέπτην Pb πανοῦργον pro μῶρον κλέπτην Pc.

37

Ἀλώπηξ καὶ πάρδαλις.

Ἀλώπηξ καὶ πάρδαλις περὶ κάλλους ἤριζον. Τῆς δὲ παρδάλεως παρ' ἕκαστα τὴν τοῦ σώματος ποικιλίαν προ-

Codd. Pa 20 Pb 12 Pd 11 Pg 9 Ma 17 Mc 18 — Ca 13 Cb 24 Cd 24 Cf 18 Ch 31 Md 27 Mh 21 Mi 62 Mk 19 Ml 26 Mm 27 Mn 11 Ld 11.

1 παρδάλεος Cd -δαλος Cf Mi || **2** παρ' ἑκάστην Pa || τὴν om. Pa Mc Md Mi Mk Mm Mn Ld || ἡλικίαν pro ποικιλίαν Pg || προβαλλόμενος Pd -νη Mh

Digitized by Google

βαλλομένης, ἡ ἀλώπηξ ὑποτυχοῦσα ἔφη· « Καὶ πόσον ἐγὼ σοῦ καλλίων ὑπάρχω, ἥτις οὐ τὸ σῶμα, τὴν δὲ ψύχην πεποίκιλμαι. »

Ὁ λόγος δηλοῖ ὅτι τοῦ σωματικοῦ κάλλους ἀμείνων ἐστὶν ὁ τῆς διανοίας κόσμος.

3 ἀποτυχοῦσα Pa Ca Cb Cf Md Mi Mk Mm Mn Ld ἐπι- Pg περι- Ma ὑποτυχοῦσα om. Ml || εἶπε Pd C Ma Mc Mh Mm Ld || Καὶ om. Mc Md Mh Mi Mk Mm Mn Ld || πόσων Cf || 4 σου om. Pg C Mc Mh Mi Mk Mm Ld || κάλλιον Pd Ma Mc || τῷ σώματι Ma Mh || 5 πεποικιλμένη τυγχάνω Ca Cd Mh πεποικιλμένην ἔχω Cb Cd Cc πεποικιλμένη Cf || πεποικίλημαι Mn || 6 Ὁ μῦθος Cd Cf Md Mh Mi Ld Ὅτι Pd || ἄμυναν Cf || ἀμειό τη τῆς διανοίας Cb || ἐστὶν om. Pa || 7 ὁ τῆς διανοίας ἐστὶ κόσμος Cd || τῆς ψύχης κόσμος Ma Ml || ἡ τῆς ψύχης εὐπρέπεια Mk.

Aliter.

Τῆς παρδάλεως ἐριζούσης περὶ κάλλους καὶ τὴν ἑαυτῆς ποικιλίαν προβαλλομένης, ἡ ἀλώπηξ εἶπε· « Καὶ πόσον ἐγὼ καλλίων ὑπάρχω, ἥτις οὐ τὸ σῶμα, τὴν δὲ ψύχην πεποικιλμένη τυγχάνω. »

Ὁ μῦθος λέγει ὡς ὁ τῆς διανοίας κόσμος ἀμείνων ἐστὶ τοῦ σωματικοῦ κάλλους.

Cod. Cc. 18.

3 πεποικιλμένην cod.

Aliter.

Στικτή ποτε πάρδαλις ἐκαυχᾶτο φορεῖν ἁπάντων ζῴων ποικιλωτέραν δέρριν. Πρὸς ἣν ἀλώπηξ εἶπεν· « Ἐγώ σου τῆς δορᾶς κρείττονα καὶ ποικιλωτέραν γνώμην ἔχω. »

Ὅτι τοῖς συνετοῖς καὶ ποικίλα φρονοῦσιν μᾶλλον ἔπαινός ἐστιν ἢ τῇ φύσει εὐπρεπέσι καὶ μὴ τῇ γνώμῃ.

Cod. Ba 132.

Digitized by Google

38

Ἀλώπηξ καὶ πίθηκος ⟨βασιλεὺς αἱρεθείς⟩.

Ἐν συνόδῳ τῶν ἀλόγων ζῴων πίθηκος ὀρχησάμενος καὶ εὐδοκιμήσας βασιλεὺς ὑπ' αὐτῶν ἐχειροτονήθη. Ἀλώπηξ δὲ αὐτῷ φθονήσασα, ὡς ἐθεάσατο ἔν τινι πάγῃ κρέας κείμενον, ἀγαγοῦσα αὐτὸν ἐνταῦθα ἔλεγεν ὡς εὑροῦσα θησαυρὸν αὐτὴ μὲν οὐκ ἐχρήσατο, γέρας δὲ αὐτῷ τῆς βασιλείας τετήρηκε, καὶ παρῄνει αὐτῷ λαμβάνειν. Τοῦ δὲ ἀτημελήτως ἐπελθόντος καὶ ὑπὸ τῆς πάγης συλληφθέντος, αἰτιωμένου τε τὴν ἀλώπεκα ὡς ἐνεδρεύσασαν αὐτῷ, ἐκείνη ἔφη· « Ὦ πίθηκε, σὺ δὲ τοιαύτην μωρίαν ἔχων τῶν ἀλόγων ζῴων βασιλεύεις; »

Οὕτως οἱ τοῖς πράγμασιν ἀπερισκέπτως ἐπιχειροῦντες ἐπὶ τῷ δυστυχεῖν καὶ γέλωτα ὀφλισκάνουσιν.

Codd. Pa 78 Pb 82 Pc 42 Pe 46 Pf 40 Ph 42 Ma 61 Mb 47.

1 πίθηρ Pe || ὀρχησάμενος καὶ om. Pa Pc Pf || **2** εὐδοκήσας Ma || **3** αὐτὸν φθονήσασα Pc Ma || αὐτῇ Pe || παγίδι Pb || κρέα· θεασαμένη κείμενον Pe || **4** ἐνταῦθα om. Pe || ἔφη Pe || εὑροῦσα τοῦτο Pa Pc || **5** οὐ κέχρημαι αὐτῷ, γέρας δέ σοι τῆς βασιλείας τετήρηκα Pa || αὐτὴ μὲν (μὲν om. Ma) κατὰ τὸν νόμον οὐκ ἐχρήσατο Pf Ph Ma || οὐκ ἐχρήσατο διὰ τὴν βασιλείαν καὶ παρῄνει αὐτὸν τοῦτο μύστος λαβεῖν Ma || γέρας δὲ αὐτὸ Mb || **6** αὐτὸ (-τῷ Pa) λαμβάνειν Pa Pc || λαχεῖν Pb || **7** ἀτημελήτως Pb ἀμελετήτως Pa Ma ἀμελήτως Pc ἀμελλήτως Pf Ph || ἐλθόντος Ma || ἐπελθόντος καὶ om. Pa Pc Pf Ph || παγίδος Pb Ma || **8** αἰτιωμένου δὲ Pc Mb || ὡς ἐνεδρεύσασα (-σαν Ph) αὐτὸν Pf Ph Mb || ἐνέδρευσαν Ma || ἐνεδρεύσασαν αὐτὸν ἔφη Pc || **9** τοιαύτην μωρίαν Pf Ph τοιούτοις στοιχεῖν Pa τοιαύτην τύχην Pb Pc Mb τὴν αὐτὴν τύχην μωρὰν Ma || Sic concepta est secunda pars fabulae in Pe : **4-11** ἀγαγοῦσα αὐτὸν ἔφη·εὗρον θησαυρόν· ἐγὼ δὲ κατὰ τὸν νόμον οὐκ ἐχρησάμην διὰ τὴν βασιλείαν· ἀλλ' ἐλθὲ καὶ σὺ καὶ λαβὲ τοῦτο. Τοῦ δὲ ἀμελητὶ ὑπελθόντος καὶ ὑπὸ τῆς πάγης συλληφθέντος, αἰτιώμενος μὲν ἀλώπεκα ὡς ἐνεδρεύσασαν αὐτῷ, ἡ ἀλώπηξ ἔφη. « Σὺ τοιαύτην μωρίαν ἔχων, τῶν ἀλόγων ζώων βασιλεύεις ; » || **11** ἀπροσκέπτως Pc || **12** σὺν τῷ δυστυχεῖς εἶναι Pb πρὸς τῷ δυστυχεῖν Pc ἐπὶ τὸ δυστυχεῖν ἐπιπίπτουσιν Pe || ἐπὶ τῷ δυστυχεῖν (εὐτυχῆ Ph) καὶ παίγνιον καταφαίνονται Pf Ph ἐπὶ τὸ δυστυχεῖν καὶ γέλωτος ὀφλισκάνουσι Ma qui codex epim. fabulae sequenti annexum habet.

Aliter.

Ἐν συνόδῳ τῶν ἀλόγων ζῴων ὀρχήσατο πίθηκος καὶ εὐδοκιμήσας βασιλεὺς ὑπ' αὐτῶν ἐχειροτονήθη. Ἀλώπηξ δὲ αὐτῷ φθονήσασα ἐθεάσατο ἔν τινι πάγῃ κρέας κείμενον. Ἀγαγοῦσα οὖν αὐτὸν ἐνταῦθα ἔλεγεν ὡς εὑροῦσα θησαυρὸν αὐτὴ κατὰ τὸν νόμον οὐκ ἐχρήσατο διὰ τὴν βασιλείαν, τὸ γέρας δὲ αὐτῷ τῆς βασιλείας τετήρηκε· καὶ παρῄνει αὐτῷ ὡς ἂν τοῦτο αὐτὸς λάβῃ. Τοῦ δὲ ἀμεταμελήτως ἐλθόντος καὶ ὑπὸ τῆς πάγης συλληφθέντος, ᾐτιᾶτο παρ' αὐτοῦ ἡ ἀλώπηξ ὡς δελεάσασα καὶ ἐνενδρεύσασα αὐτῷ. Ἐκείνη δὲ πρὸς αὐτὸν ἔφη· « Ὦ πίθηκε, σὺ τοιαύτην μωρίαν ἔχων, τῶν ἀλόγων ζῴων βασιλεύεις ; »

Ὁ μῦθος δηλοῖ ὅτι οὕτω καὶ οἱ τοῖς πράγμασιν ἀπερισκέπτως ἐπιχειροῦντες ἐπὶ τῷ δυστυχεῖν καὶ γέλωτα ὀφλισκάνουσιν.

Codd. Ca 69 Cb 45 Cd 42 Ce 47 Cf 51 Ch 52 Mc 44 Mh 45 Mk 48.

1 ὀρχησάμενος Ch || πίθηξ Ca || **2** ὑπ' om. Cd || κεχειροτόνηται ὑπ' αὐτῶν Mh ἐνηγορεύθη Ce || **3** αὐτὸν Cb Cd Cf Ch Mc αὐτὴν Ce τοῦτον Mh || φωνήσασα Mk || ὡς ἐθεάσατο Cb Cd Ch Mk ὃ ἐθεάσατο Mc || κείμενον om. Cf || κείμενον ὑπεδείκνυεν Mc || κρέας ἔν τινι πάγῃ κείμενον Mh || **4** οὖν om. Cd Ch || δὲ pro οὖν Cb Mc || Καὶ ἀγαγοῦσα Ce Cf || ἐνταῦθα om. Ce Mc ἐκεῖσε Mh || Ἀγαγοῦσα .. ἐνταῦθα om. Mk || εὑροῦσα τοῦτο Ca || θησαυρὸν ἐκεῖσε Mh || **5** καὶ αὐτὴ Ce || αὐτὴ οὐκ ἐχρήσατο διὰ τὸν νόμον τῆς βασιλείας χάριν Cd || κατὰ νόμους Mh || τὸ γέρας .. τετήρηκε om. Cb Cd Ce Cf Ch Mc Mh Mk || **6** παρῄνει αὐτὸν τοῦτο αὐτὸς λαβεῖν Cb Cf Mc || αὐτὸν τοῦτο λαβεῖν Mh αὐτὸν λαβεῖν τοῦτο Cd αὐτὸν λαβεῖν Ce τοῦτον αὐτὸν λαβεῖν Ch || παρῄνει αὐτὴν ἀπελθεῖν καὶ λαβεῖν αὐτὸν Mk || **7** Ὁ δὲ ἀμεταμελήτως ἐλθὼν καὶ ὑπὸ τῆς πάγης συλληφθεὶς αἰτιᾶτο τὴν ἀλώπεκα ὡς δελεάσασαν τὸν (pro αὐτὸν) Cd || ἀμεταμελήτου Mc || ἐλθόντος ὅπερ ἔδειξε κρέας ἐν τῇ πάγῃ λαβεῖν καὶ ὑπ' αὐτῆς ἤδη κρατουμένου, ἡ ἀλώπηξ ἐγέλα. Ὁ δὲ ᾐτιᾶτο τὴν ἀλώπεκα ὡς αὐτὴν ἀπατήσασαν Mk || **8** αἰτιᾶτα τὴν ἀλώπεκα ὡς δελεάσασα αὐτὸν Cb ᾐτιᾶτο τὴν ἀλώπεκα ὡς δελεάσασα (-σαν Ch) αὐτὴν (αὐτὸν Ce Cf Ch Mh) Ce Cf Ch Mc Mh || **10** πύθηκε Mc πίθηξ Cb Cd Mk || τοιαύτην μωρίαν nos τοιαύτην μωρὰν (μοῖραν Ca) τύχην ἔχων Ca Cb Cd Ch τοιαύτην τύχην ἔχων Ce Cf τὴν αὐτὴν μωρὰν τύχην ἔχων Mc τοιαύτης μοίρας καὶ τύχης ὑπάρχων Mh τοιαύτην κουφότητα ἔχων Mk || **11** τῶν ἀλόγων βασιλεὺς οὐ μέλλεις εἶναι Ce || βασιλεύσεις Cd Mh || **12** Ὁ λόγος Cd Ὅτι Cb || οὕτω καὶ om. Cb Cd Ce Cf Ch Mc Mk || ἀσκέπτως Ce Cf || **13** ἐπὶ τὸ δυστυχεῖν καὶ γέλως ὀφλήσουσι Cb || δυστυχίαν καὶ γέλωτα ὀφλήσωσιν Cd ἐπὶ τὸ δυστυχεῖν πίπτουσι Ce Cf τὸ δυστυχεῖν και γέλως ὠφλήσουσιν Mc ἐπὶ τῷ δυστυχαῖς καὶ γέλωτα ὄφλουσιν Mh πρὸς τὸ δυστυχεῖν καὶ γέλωτα ὀφιλοῦσιν Mk || ὄφλουσιν Ch.

Digitized by Google

Aliter.

Ἐν συνόδῳ ποτὲ τῶν ἀλόγων ζῴων ὠρχήσατο πίθηκος καὶ εὐδοκιμήσας βασιλεὺς ὑπ' αὐτῶν ἐχειροτονήθη. Ἀλώπηξ δ' αὐτῷ φθονήσασα, ὡς ἔν τινι παγίδι κρέας ἐθεάσατο, τὸν πίθηκον λαβοῦσα ἐνταῦθα ἤγαγεν, ὡς εὕροι μὲν αὐτὴ λέγουσα θησαυρὸν τοῦτον, μὴ μέντοι καὶ χρήσασθαι αὐτῷ· τῷ βασιλεῖ γὰρ τοῦτον ὁ νόμος δίδωσι, καὶ προὐτρέπετο αὐτόν, ἅτε δὴ βασιλέα, τὸν θησαυρὸν ἀνελέσθαι. Ὁ δὲ ἀπερισκέπτως προσελθὼν καὶ συλληφθεὶς ὑπὸ τῆς παγίδος, ὡς ἐξαπατήσασαν ἐμέμφετο τὴν ἀλώπεκα. Ἡ δὲ πρὸς αὐτόν· « Ὦ πίθηκε, τοιαύτην σὺ μωρίαν ἔχων, τῶν ἀλόγων βασιλεύσεις ; »

Ὁ μῦθος δηλοῖ ὅτι οἱ πράξεσί τισιν ἀπερισκέπτως ἐπιχειροῦντες δυστυχήμασι περιπίπτουσι.

Codd. La 29 Lb 42 Le 42 Lf 29 Me 49 Mf 44 Mg 57 Mi 85 Mj 50 Ml 60 Mm 63.

1 πίθηκος ἀναστὰς ὠρχήσατο καὶ σφόδρα εὐδοκιμήσας Me Mf || **3** ὡς ἐθεάσατο ἔν τινι πάγῃ κρέας κείμενον Me Mf || **4** λέγουσα ὡς εὑροῦσα θησαυρὸν αὐτὴ μὲν κατὰ τὸν νόμον οὐκ ἐχρήσατο, γέρας δὲ αὐτῷ τῆς βασιλείας τετήρηκε, καὶ παρῄνει αὐτὸν Me Mf || **5** χρήσασθαι αὐτὴ Mm || **6** τοῦτο ὁ νόμος Mi || **10** σὺ δὲ τοιαύτην Me Mf || σὺ om. Ml || ἀλόγων ζώων Me || **12** Ὁ μῦθος ὅτι οἱ Lb Ὅτι οἱ Mi || Ὅτι πράξεσι Mg.

39

Ἀλώπηξ καὶ πίθηκος ⟨περὶ εὐγενείας ἐρίζοντες⟩.

Ἀλώπηξ καὶ πίθηκος ἐν ταὐτῷ ὁδοιποροῦντες περὶ εὐγενείας ἤριζον. Πολλὰ δὲ ἑκατέρου διεξιόντος, ἐπειδὴ ἐγένοντο κατά τινα τόπον, ἐνταῦθα ἀποβλέψας ἀνεστέναξεν ὁ πίθηκος. Τῆς δὲ ἀλώπεκος ἐρομένης τὴν αἰτίαν, ὁ πίθηκος ἐπιδείξας αὐτῇ τὰ μνήματα, εἶπεν· « Ἀλλ' οὐ μέλλω κλάειν, ὁρῶν τὰς στήλας τῶν πατρικῶν μου ἀπελευθέρων καὶ δούλων ; » Κἀκείνη πρὸς αὐτὸν ἔφη· « Ἀλλὰ ψεύδου ὅσα βούλει· οὐδεὶς γὰρ τούτων ἀναστὰς ἐλέγξει σε. »

Codd. Pa 22 Pb 14 Pc 1.

2 ἑκατέρων διεξιόντων Pb || **3** κατά τι pro κατά τινα τόπον Pa || **4** ὁ πίθηκος om. Pa || ὁ πίθηξ ἐπιδείξας Pa || **5** ἔφη Pb || **6** κλάειν Pa¹ κλαίειν Pa² Pb || **6** Pc incipit ab ἀπελευθέρων || **8** σε Pc σε om. Pa Pb.

Digitized by Google

Οὕτω καὶ τῶν ἀνθρώπων οἱ ψευδολόγοι τότε μάλιστα καταλαζονεύονται, ὅταν τοὺς ἐλέγχοντας μὴ ἔχωσιν.

10 ψεύδονται ὅταν τοὺς ἐλέγχους μὴ ἔχωσιν Pa.

40

Ἀλώπηξ καὶ τράγος.

Ἀλώπηξ πεσοῦσα εἰς φρέαρ ὑπ' ἀνάγκης ἔμεινε. Τράγος δὲ δίψει συνεχόμενος ἐγένετο κατὰ τὸ αὐτὸ φρέαρ· θεασάμενος δὲ αὐτὴν ἐπυνθάνετο εἰ καλόν ἐστι τὸ ὕδωρ· ἡ δὲ τὴν συντυχίαν ἀσμενισαμένη εἰς ἔπαινον τοῦ ὕδατος κατέτεινε, λέγουσα ὡς χρηστὸν εἴη τὸ ὕδωρ, καὶ καταβαίνειν αὐτὸν παρῄνει. Ἐπεὶ δὲ ἀμελετήτως κατῆλθε διὰ τὴν ἐπιθυμίαν, ἅμα τῷ τὴν δίψαν σβέσαι μετὰ τῆς ἀλώπεκος ἐσκόπει τὴν ἄνοδον. Καὶ ἡ ἀλώπηξ ὑποτυχοῦσα εἶπε· « Χρήσιμον οἶδα, ἐὰν μόνον θελήσῃς τὴν ἀμφοτέρων σωτηρίαν. Θέλησον οὖν τοὺς ἐμπροσθίους πόδας ἐρεῖσαι τῷ τοίχῳ, ὀρθῶσαι δὲ τὰ κέρατα, ἀναδραμοῦσα δὲ ἐγὼ καὶ σὲ ἀνασπάσω. » Τοῦ δὲ πρὸς τὴν παραίνεσιν αὐτῆς ἑτοίμως ἐπακούσαντος, ἡ ἀλώπηξ ἀναλομένη διὰ τῶν σκελῶν αὐτοῦ καὶ τῶν ὤμων καὶ τῶν κεράτων ἐπὶ τὸ στόμα τοῦ φρέατος εὑρέθη καὶ ἀνελθοῦσα ἀπηλλάττετο. Τοῦ δὲ τράγου μεμφομένου αὐτὴν ὡς τὰς ὁμολογίας ἀθετήσασαν, ἐπιστραφεῖσα εἶπε τῷ τράγῳ· « Ὦ οὗτος, εἰ τοσαύτας φρένας εἶχες ὅσας ἐν τῷ πώγωνί σου τρίχας, οὐ πρότερον ⟨ἂν⟩ κατεβηβήκεις πρὶν τὴν ἄνοδον ἐσκέψω. »

Codd. Pa 2 Pi 1 Ma 2.

1 εἰς φρέαρ πεσοῦσα Pi || ἐπ' ἀνάγκης Ma || ἔμεινε om. Ma || 3 αὐτοὺς pro αὐτὴν Pa || 4 δυστυχίαν Ma || 5 κατεμήνυε pro κατέτεινε Ma || 6 ἀμελήτως κατῆλθε ἐπιθυμίας ἕνεκα, ἅμα καὶ τὸ τὴν δίψαν σβέσαι Ma || 8 ὑποτιλοῦσα pro ὑποτυχοῦσα Ma || 9 θέλῃς Ma θελήσω τὴν ἡμετέραν σωτηρίαν Pi || 10 πόδας σου Ma || 11 ὀρθώσῃς Ma || δὲ post ἀναδραμοῦσα om. Pa || 12 Ὁ δὲ πρὸς τὴν παραίνεσιν προθύμως ὑπακούσας Ma || 13 ἀνελομένη codd. || 14 τοῦ νώτου pro τῶν ὤμων Ma || 15 ἀπηλλάττετο nos ἐπελάθετο codd. || 16 ἀθετησάσῃς codd. || 17 ὑποστραφεῖσα Pi || τοσαύτας ἐν τῇ κεφαλῇ εἶχες φρένας Ma || 18 σου om. Ma || ἂν κατεβεβήκεις nos καταβέβηκας codd.

Digitized by Google

Οὕτως καὶ τῶν ἀνθρώπων τοὺς φρονίμους δεῖ πρότερον τὰ τέλη τῶν πραγμάτων σκοπεῖν, εἶθ' οὕτως αὐτοῖς ἐγχειρεῖν.

21 τῶν πραγμάτων om. Ma || ἀποσκοπεῖν Pi || αὐτοὺς Ma.

Aliter.

Ἀλώπηξ πεσοῦσα εἰς φρέαρ ἐπάναγκες ἔμενε πρὸς τὴν ἀνάβασιν ἀμηχανοῦσα. Τράγος δὲ δίψῃ συνεχόμενος, ὡς ἐγένετο κατὰ τὸ αὐτὸ φρέαρ, θεασάμενος αὐτὴν ἐπυνθάνετο εἰ καλὸν εἴη τὸ ὕδωρ· ἡ δὲ τὴν δυστυχίαν ἀσμενισαμένη, πολὺν ἔπαινον τοῦ ὕδατος κατέτεινε, λέγουσα ὡς χρηστὸν εἴη, καὶ καταβῆναι αὐτὸν παρῄνει. Ὁ δὲ ἀμελετήτως κατῆλθε διὰ μόνην ἐπιθυμίαν καὶ ἅμα τῷ τὴν δίψαν σβέσαι μετὰ τῆς ἀλώπεκος ἐσκόπει τὴν ἄνοδον· καὶ ἡ ἀλώπηξ χρήσιμόν τι ἔφη ἐπινενοηκέναι εἰς τὴν ἀμφοτέρων σωτηρίαν· « εἰ γὰρ θελήσεις τοὺς ἐμπροσθίους πόδας τῷ τοίχῳ προσερεῖσαι ἐγκλίνας τὰ κέρατα, ἀναδραμοῦσα αὐτὴ διὰ τοῦ σοῦ νώτου καὶ σὲ ἀναβιβάσω. » Τοῦ δὲ καὶ πρὸς τὴν δευτέραν παραίνεσιν ἑτοίμως ὑπηρετήσαντος, ἡ ἀλώπηξ ἁλλομένη διὰ τῶν σκελῶν αὐτοῦ ἐπὶ τὸν νῶτον ἀνέβη, καὶ ἀπ' ἐκείνου ἐπὶ τὰ κέρατα διερεισαμένη, ἐπὶ τὸ στόμα τοῦ φρέατος ἀνελθοῦσα ἀπηλλάττετο. Τοῦ δὲ τράγου

Codd. Pb 9 Pd 2 Pg 6 Ph 11.

1 ἐμπεσοῦσα Pg || ἐπάναχες Pd ἐπάμηχες Ph || **3** θεασάμενος αὐτόν Ph || || **6** καὶ δὴ αὐτόν καταβῆναι παρῄνει Pd Ph καὶ αὐτὸν καταβῆναι παρῄνει Pg || Ὁ δὲ ἀμελήτως καθαλλόμενος διὰ μόνην ἐπιθυμίαν ἅμα τὸ τὴν δίψαν Pd || Τοῦ δὲ ἀμελετήτως καθαλλομένου διὰ τὸ μηδὲν ὁρᾶν τό τε τὴν ἐπιθυμίαν ἅμα τῷ τὴν δίψαν σβέσαι ἀναδῦναι, τῆς ἀλώπεκος σκοπουμένης, χρησιμόν τι ἡ ἀλώπηξ ἔφη ἐπινενοηκέναι εἰς ἑαυτῶν σωτηρίαν Pg || Τοῦ δὲ ἀμελετήτως καθαλλομένου διὰ τὴν ἐπιθυμίαν, μετὰ τὸ τὴν δίψαν σβέσαι, τὴν ἀλώπεκα διεμέμφετο Ph || **7** τὴν ante δίψαν om. Pb || **8** ἐσκοπεῖτο περὶ τῆς ἀνόδου Pd || Ἡ δὲ χρησιμόν τι Ph || **10** ἐὰν γὰρ θελήσῃς Pd Pg Ph || τοὺς ἔμπροσθέν σου πόδας Pd || **11** τείχει Pb || προσερείσας ἐγκλῖναι Pg Ph || καὶ τὰ κέρατα Pg || **12** διὰ τοῦ σοῦ νόμου Pd || ἀναπαύσω Pd ἀνασπάσω Pg ἀναρπάσω Ph || Τοῦ δὲ πρὸς τὴν παραίνεσιν Pd || **14** ἀναλλομένη Pg Ph || **15** Post ἐπὶ τὰ κέρατα Pd inserit unam lineam e fabula Κάμηλος καὶ Ζεύς : οὐ προσέθηκε ἕως οὗ καὶ μέρος τῶν ὤτων ἀφείλετο· εἶτα, deinde resumit : διερεισαμένη ἐπὶ τὸ στόμα τοῦ φρέατος εὑρέθη καὶ ἀνελθοῦσα ἀπηλλάττετο. || ἐπὶ τοῦ δόματος τοῦ φρέατος. Ph || ἐπὶ τὸ στόμα τοῦ φρέατος ἤγγισεν καὶ ἀνελθοῦσα ἀπηλλάττετο Pg.

Digitized by Google

μεμφομένου αὐτὴν ὡς τὰς ὁμολογίας παραβαίνουσαν, ἐπιστραφεῖσα εἶπεν· « Ὦ οὗτος, ἀλλ' εἰ τοσαύτας φρένας εἶχες ὅσας ἐν τῷ πώγωνι τρίχας, οὐ πρότερον δὴ ⟨ἂν⟩ κατεβεβήκεις πρὶν ἢ τὴν ἄνοδον ἐσκέψω. »

Οὕτω καὶ τῶν ἀνθρώπων τοὺς φρονίμους δεῖ πρότερον τὰ τέλη τῶν πραγμάτων σκοπεῖν, εἶθ' οὕτως αὐτοῖς ἐπιχειρεῖν.

17 παραβαινούσης Pg || **18** ἔφη Ph || **19** ἂν om. libri || **20** καταβεβήκεις Pd Ph δὴ καταβεβήκεις Pg || ἢ om. Ph || ἀνεσκέψω Pd ἐπεσκέψω Pg || **22** τὰ μέλη Ph || καὶ οὕτως ἐγχειρεῖν Ph. || **21-23** Οὕτω καὶ τοὺς φρονίμους τῶν ἀνθρώπων δεῖν ... οὕτως ἐπιχειρεῖν Pd.

Aliter.

Ἀλώπηξ πεσοῦσα εἰς φρέαρ ἐπάναγκες ἔμεινε, πρὸς τὴν ἀνάβασιν ἀμηχανοῦσα. Τράγος δὲ δίψῃ συνεχόμενος, ὡς ἐγένετο παρὰ τὸ φρέαρ, θεασάμενος αὐτὴν ἐπυνθάνετο εἰ καλὸν εἴη τὸ ὕδωρ. Ἡ δὲ τὴν συντυχίαν ἀσμενισαμένη, πολὺν ἔπαινον τοῦ ὕδατος παρέτεινε λέγουσα ὡς χρηστὸν εἴη τὸ ὕδωρ καὶ καταβῆναι αὐτὸν παρῄνει. Ἐπεὶ δὲ καθαλλόμενος διὰ τὸ μόνην ὁρᾶν τὴν ἐπιθυμίαν καθῆκεν αὐτὸν ἐπὶ τὸ φρέαρ εὐθὺς καὶ ἤρξατο ἀποδύρεσθαι μετὰ τῆς ἀλώπεκος τὸ πῶς ἀναβῶσι. Σκοπουμένη οὖν ἡ ἀλώπηξ ἔφη αὐτῷ· « Ἐπινενόηκά τι εἰς τὴν ἀμφοτέρων σωτηρίαν. Ἐὰν γὰρ θελήσῃς τοὺς ἐμπροσθίους σου πόδας ἐπὶ τὸν τοῖχον προσερεῖσαι, ἐγκλίνεσθαι δὲ καὶ τὰ κέρατα, ἀναδραμοῦσα ἐγὼ διὰ τοῦ σοῦ νώτου πρώτη, καὶ σὲ ἀνασπάσω ἐνθένδε. » Ὁ δὲ τράγος τὴν παραίνεσιν τῆς ἀλώπεκος ἀκούσας καὶ ὑπηρετήσας, ἡ ἀλώπηξ ἁλομένη διὰ τῶν σκελῶν αὐτοῦ ἐπὶ τῶν νώτων αὐτοῦ ἀνέβη καὶ ἀπ' ἐκείνου ἐπὶ τὰ κέρατα. Καὶ οὕτως ἐξέβη τοῦ φρέατος.

Hic desinit haec fabula. Quod sequitur καὶ οὐ προσέθηκε κ. τ. λ. pertinet ad fabulam Κάμηλος καὶ Ζεύς.

Cod. Pe 14.

14 ἐνθένδε nos τῶν **8** αὐτὸν cod. || ἐνθάδε cod.

Digitized by Google

Aliter.

Ἀλώπηξ πεσοῦσα εἰς φρέαρ βαθὺ ἔμενε πρὸς τὴν ἀνάβασιν ἀμηχανοῦσα. Τράγος δὲ δίψει συνεχόμενος, ὡς ἐγένετο κατὰ τὸ αὐτὸ φρέαρ, θεασάμενος αὐτὴν ἐπυνθάνετο εἰ καλὸν εἴη τὸ ὕδωρ. Ἡ δὲ τὴν δυστυχίαν ἀσμενισαμένη πολὺν ἔπαινον τοῦ ὕδατος κατέτεινε, λέγουσα ὡς χρηστὸν εἴη καὶ διειδὲς πάνυ, καταβῆναί τε παρῄνει. Τοῦ δὲ ἀμεταμελήτως καθαλομένου διὰ τὸ εἰς μόνην ὁρᾶν τότε τὴν ἐπιθυμίαν καὶ τὸ τὴν δίψαν σβέσαι, ἅμα τῷ κορεσθῆναι τοῦ ὕδατος σκοπουμένου τὴν ἄνοδον, χρήσιμόν τι ἡ ἀλώπηξ ἔφη ἐπινενοηκέναι εἰς τὴν ἀμφοτέρων σωτηρίαν. Ὁ δὲ τράγος ἔφη· « Πῶς; » Ἡ ἀλώπηξ εἶπε· « Τοὺς ἐμπροσθίους σου πόδας τῷ τοίχῳ προσέρεισον καὶ στῆθι ὀρθός, ἔγκλινον δὲ καὶ τὰ κέρατα. Ἀναδραμοῦσα τοίνυν ἐγὼ διὰ τοῦ σοῦ νώτου καὶ ἀρθεῖσα ἄνωθεν, εὐθέως καὶ παραχρῆμα καὶ σὲ ἀνελκύσω ἔξω. » Τοῦ δὲ πρὸς ταῦτα ἑτοίμως τὴν παραίνεσιν ὑπηρετήσαντος, ἡ ἀλώπηξ ἀλλομένη διὰ τῶν σκελῶν αὐτοῦ ἐπὶ τὰ νῶτα ἀνέβη, καὶ ἀπ'

Codd. Ca 4 Cb 5 Cc 3 Cd 5 Ce 5 Cf 5 Ch 5 Mh 3.

1 In omnibus libris, praeter Ca, initium (1-10) sic est contractum: Ἀλώπηξ καὶ τράγος ἐν (ἐν τῷ Cc ἐν ἑνὶ Ce) φρέατι ἐνέπεσον (ἔπεσον Ce). Τοῦ δὲ τράγου (ἑτέρου Ch) σκεπτομένου (σκοπουμένου Cb Cc Ch Mh σκωπτομένου Cf) τὴν ἄνοδον, ἡ ἀλώπηξ· « Χρήσιμόν τι, ἔφη, θάρσει (θ- om. Mh), ἐπινενόηκα (ἐπεὶ νενόηκα Cb) (καὶ addit Ch) εἰς τὴν ἡμετέραν σωτηρίαν (εἰς τὴν ἀμφοτέρων σωτηρίαν Ch. εἰς τὴν σωτηρίαν ἡμῶν ἀμφοῖν Mh εἰς τὴν ἄνοδον τῶν ἀμφοτέρων Cb ἐπὶ τῇ ἀνόδῳ τῶν ἀμφοτέρων Cd) Cb Cd Cf Ch Mh — ἡ ἀλώπηξ ἔφη· Θάρσει· ἐπινενόηκά τι χρήσιμον ἀμφοτέροις Cc ἡ ἀλώπηξ ἔφη· Θάρσει· χρήσιμον γάρ τι ἐπινενόηκα εἰς τὴν ἀμφοτέρων σωτηρίαν Ce || **7** καθαλομένου nos -αλλομένου Ca || **11** Ὁ δὲ τράγος Ce Mh δὲ om. ceteri || Ἡ ἀλώπηξ ὑπολαβοῦσα ἔφη Mh Τοῦ δὲ τὸν τρόπον ἐρωτήσαντος, αὐτὴ ἔφη· « Τοὺς ἔμπροσθέν σοι Cc || **12** ἐμπροσθείους Ca ἔμπροσθεν Cf || τὸ τείχη Ch || προσερείσας (προσερείσεις Cd προσεγγίσας Ce προσερρήσας Cf) καὶ ὀρθὸς σταθεὶς ἔκκλινον τὰ (καὶ τὰ Cc Ce Cf) κέρατα Cb Cc Cd Cf Ch προσερείσας τῷ τοίχῳ καὶ ὀρθῶς σταθεὶς ἔκληνόν σου τὰ κέρατα Mh || **13** Ἐγὼ δ' ἀναδραμοῦσα Mh || **14** διὰ τῶν νώτων Cc Ch διὰ τῶν σῶν νώτων καὶ κεράτων Cd || εὐθέως ... ἔξω om. Cf || εὐθέως παραχρῆμα Ca ἔπειτα Cc || εὐθέως om. Cd || εὐθέως καὶ παραχρῆμα om. Ce Mh || **15** ἀγάγω σε ἐντεῦθεν Cb Cd ἀναγάγω σε ἐγώ Ch ἀντιλάβω σοι Ce ἀνάξω καὶ σέ Mh || ἔξω. Οὗ γιγνομένου γενναίως ἐκτινάξασα ἐπὶ τοῦ στόματος εὑρέθη. Ὀρχουμένης, ceteris omissis Cc || πρὸς τοῦτο Mh || **16** τὴν παραίνεσιν om. Ce Mh πρὸς τὴν παραίνεσιν Cb Cd Ch Cf || ἀλλωμένη Cb ἀλωμένη Ce Cf Mh || **17** σκελῶν αὐτῆς Cf.

Digitized by Google

ἐκείνου ἐπὶ τὰ κέρατα διερεισαμένη, καὶ γενναίως ἐκτιναχθεῖσα, ἐπὶ τοῦ στόματος τοῦ φρέατος εὑρέθη καὶ ἀνελθοῦσα ἀπηλλάττετο. Ὀρχουμένης δὲ αὐτῆς καὶ παιζούσης, ὁ τράγος μυκτηρίζων αὐτὴν καὶ ὀνειδίζων, ὡς τὰς ὁμολογίας καὶ ὑποσχέσεις παραβαίνουσαν, ἐπιστραφεῖσα εἶπεν· « Ὦ οὗτος, ἀλλ᾽ εἰ τοσαύτας φρένας εἶχες ὁπόσας ἐν τῷ πώγωνί σου τρίχας, οὐ πρότερον ⟨ἂν⟩ κατεβεβήκεις πρὶν τὴν ἄνοδον διεσκέψω. »

Ὁ μῦθος δηλοῖ ὅτι οὕτω καὶ τὸν φρόνιμον ἄνθρωπον δεῖ πρότερον τὰ τέλη τῶν πραγμάτων σκοπεῖν, εἶθ᾽ οὕτως αὐτοῖς ἐγχειρεῖν.

18 διερρυσαμένη Cb διερρεισαμένη Cd διαβᾶσα Ce || ἐκτειναχθεῖσα Cb -χθῆσα Ce ἐκτιναγεῖσα Mh ἐκτινάξασα Ca ἐκτει- Cf. || **19** ἐπὶ τοῦ στόματος εὑρέθη τοῦ φρέατος (ἐπὶ τοῦ φρέατος Cb) Cb Cd Mh ἐπὶ τὸ στόμα Ce Cf || **20** ἐπελάθετο Ce Cf || Καὶ ὀργωμένης καὶ παιζούσης αὐτῆς Ce Καὶ ὀρχομένης αὐτῆς καὶ παιζούσης Cf Καὶ ὠχομένης αὐτῆς, omisso καὶ παιζούσης Mh || **21** ὁ τράγος αὐτὴν μεμφόμενος καὶ ὀνειδίζων Cc || μεμφόμενος αὐτὴν κ- ὀ- Cb Cd Ch μεμφόμενος αὐτῆς (αὐτῷ Cf) κ- ὀ- Ce Cf μεμφόμενος καὶ ὠνειδίζων Mh || **22** καὶ ὑποσχέσεις Ca solus. || παραβαίνουσα Cc -σης Cb Cd Ce Cf Ch ὡς παραβαίνουσαν τὰς συνθήκας Mh || ἐπιστραφεῖσα om. Cb Cd || **23** ἀλλ᾽ om. Cb || ἐν πώγωνι τρίχας τῷ σῷ Mh || **24** σου om. Ce ἂν κατεβεβήκεις nos καταβέβηκας libri || πρὶν ἂν Ca || πρὶν τὴν ἄνοδον (ἂν addit Ch) ἐσκέψω Cb Cd Ce Cf Ch πρὶν ἂν ἐσκέψω τὴν ἄνοδον Mh || **26** Ὅτι οὕτως δοκεῖ τῶν φρονίμων Cb Οὕτω καὶ τὸν ... δεῖ πρῶτον ... Cc Ὁ λόγος δηλοῖ ὅτι οὕτω καὶ οἱ τῶν ἀνθρώπων φρόνιμοι δεῖ πρῶτον τὰ μέλη .. αὐτὰ ἐγχειρεῖν Cd Ὁ μῦθος δηλοῖ ὅτι δεῖ τοὺς φρονίμους τῶν ἀνθρώπων τὰ τέλει τῶν πραγμάτων πρῶτον ... ἐπιχειρεῖν Ce Ὁ μῦθος δηλοῖ ὅτι οὕτω δὴ καὶ τῶν φρονίμων ἀνθρώπων δεῖ πρότερον (πρῶτον Cf)... Cf Ch Ὁ μῦθος δηλοῖ ὅτι τοὺς φρονίμους δεῖ σκοπεῖν πρῶτον τῶν πραγμάτων τὰ τέλη, εἶθ᾽ οὕτως αὐτὰ ἐγχειρεῖν Mh.

Aliter.

Ἀλώπηξ καὶ τράγος διψῶντες εἰς φρέαρ κατέβησαν· μετὰ δὲ τὸ πιεῖν, τοῦ τράγου σκεπτομένου τὴν ἄνοδον, ἡ ἀλώπηξ ἔφη· « Θάρσει, χρήσιμόν τι καὶ εἰς τὴν ἀμφοτέρων σωτηρίαν ἐπινενόηκα. Εἰ γὰρ ὄρθιος σταθεὶς τοὺς

Codd. La 4 Lb 3 Lc 1 Ld 1 Le 3 Lf 4 Lg 1 Mc 4 Md 3 Me 21 Mf 21 Mg 4 Mi 38 Mj 4 Mk 5 Ml 3 Mm 3 Mn 1.

1 διψήσαντες Le || εἰς φρέαρ διψῶντες Mk || **3** καὶ ἔφη Md || τῶν ἀμφοτέρων Lc Ld Lg Mc Md Mi Ml Mm Mn || **4** ἐπινενόηκα. Ὁ τράγος ἔφη· Πῶς; Ἡ ἀλώπηξ εἶπεν· Εἰ (εἰ om. Mc) τοὺς ἐμπροσθίους σου πόδας τῷ τείχει προσερείσας (προσερείσεις τῷ τοίχῳ Mk) Mc Mk.

Digitized by Google

ἐμπροσθίους τῶν ποδῶν τῷ τοίχῳ προσερείσεις, καὶ τὰ κέρατα ὁμοίως εἰς τοὔμπροσθεν κλινεῖς, ἀναδραμοῦσα διὰ τῶν σῶν αὐτὴ νώτων καὶ κεράτων, καὶ ἔξω τοῦ φρέατος ἐκεῖθεν πηδήσασα, καὶ σὲ μετὰ τοῦτο ἀνασπάσω ἐντεῦθεν. » Τοῦ δὲ τράγου πρὸς τοῦτο ἑτοίμως ὑπηρετησαμένου, ἐκείνη τοῦ φρέατος οὕτως ἐκπηδήσασα ἐσκίρτα περὶ τὸ στόμιον ἡδομένη. Ὁ δὲ τράγος αὐτὴν ἐμέμφετο, ὡς παραβαίνουσαν τὰς συνθήκας. Ἡ δ'· « Ἀλλ' εἰ τοσαύτας, εἶπε, φρένας ἐκέκτησο, ὁπόσας ἐν τῷ πώγωνι τρίχας, οὐ πρότερον ἂν κατέβης, πρὶν ἢ τὴν ἄνοδον σκέψασθαι. »

Ὁ μῦθος δηλοῖ ὅτι οὕτω καὶ τὸν φρόνιμον ἄνδρα δεῖ πρότερον τὰ τέλη σκοποῦντα τῶν πραγμάτων, εἶθ' οὕτως αὐτοῖς ἐγχειρεῖν.

5 ἐμπροσθείους Ml || **6** ὁμοίως τοὔμπροσθεν Le || διὰ τῶν νώτων καὶ κεράτων αὐτὴ Mk || **7** αὐτὴ om. Ld || ἔξωθεν Mj || **8** γενομένη pro ἐκεῖθεν πηδήσασα Mk || καὶ σὲ μετὰ τοῦ πηδήματος Mc || ἐντεῦθεν ἀνασπάσω Lb Le Mj || ἀνελκύσω Mk || ἐντεῦθεν om. Ml || **9** δὲ om. Lc Lg Mc Md Mi Mk Mm Mn || ἑτοίμως πρὸς τοῦτο Ml || ὑπηρετήσαντος Lg Mf || **10** ἐκεῖθεν πηδήσασα, omisso οὕτως Ml || ἐξελθοῦσα omisso οὕτως Mk || παρὰ τὸ στόμιον Mc || **12** Ἡ δ' ἀλώπηξ· « Εἰ Mf || **13** ἐκέκτητο La Lf || πώγωνί σου Ld Ml || **14** κατέβη La Lf Mg || ἢ om. Lg Mn || πρὶν ἂν Lg Ml || ἢ καλῶς pro πρὶν ἢ Mk || **15** οὕτω om. Md Mi || οὕτω καὶ om. Lg Mk || οὕτω καὶ τὸν om. Mc || δεῖ ἄνδρα Me Mf || **16** σκοπεῖν Lb Lc Lg Me Mg Mi Me Mf Mk Ml Mn σκοπῶν Lf || **15-17** Ὁ μῦθος δηλοῖ ὅτι τὸν φρόνιμον ἄνδρα δεῖ σκοπεῖν τὰ τέλη πρότερον (πρ- om. Mn) τῶν πραγμάτων. Ld Mn.

Aliter.

Τράγος ἐν θέρει σφοδρῶς διψήσας κατῆλθεν εἰς βαθύκρημνον ὕδωρ πιεῖν. Πιὼν δὲ καὶ χορτασθεὶς οὐκ ἠδύνατο ἀνελθεῖν καὶ μετενόει καὶ βοηθὸν ἐζήτει. Ἀλώπηξ δὲ τοῦτον ἰδοῦσα ἔφη· « Ὦ ἀνόητε, εἰ τόσας φρένας εἶχες ὅσας ἐν τῷ πώγωνι τρίχας, πρότερον οὐκ ἂν κατέβης, εἰ μὴ τὴν ἄνοδον ἐσκέψω. »

Ὅτι δεῖ πρότερον προσκοποῦντα τὰ τέλη τῶν πραγμάτων οὕτω ποιεῖσθαι τὰς τούτων ἐγχειρήσεις.

Codd. Ba 134 Bb 81.

2 φρέαρ pro ὕδωρ Ba || **8** καὶ ante οὕτω atramento rubro addidit Ba².

Digitized by Google

Aliter.

Τράγος δὲ πάλαι διψήσας ἐν τῷ θέρει
κάτω κατῆλθε πιεῖν εἰς φρέαρ ὕδωρ.
Ὁ δὲ κορεσθεὶς ἀνελθεῖν οὐκ εὐπόρει,
ὃς μετενόει καὶ βοηθὸν ἐζήτει,
ὅπως ἀνέλθῃ ἐκ τοῦ βάθους ὁ τράγος.
Ἡ δὲ ἀλώπηξ τοῦτον ἐκβλεψαμένη
ἐμειδίασε καὶ πρὸς αὐτὸν ἐλάλει·
« Ὦ ἀνόητε καὶ βραδὺ τῇ καρδίᾳ,
εἰ εἶχες φρένας ὡς ἐν πώγωνι τρίχας,
οὐκ ἂν κατῄεις, εἰ μὴ ἄνοδον ᾔδεις. »

Οὕτω τῶν ἀνθρώπων τοὺς φρονίμους δεῖ πρῶτον τὰ τέλη τῶν πραγμάτων σκοπεῖν, εἶθ' οὕτως αὐτοῖς ἐπιχειρεῖν.

Cod. Mb 205.

1 πάλαι nos πάλιν cod. || **5** ἀνέλθει cod. || **6** ἐκβλεψασαμένη cod. || **8** βραδὺς cod. || **10** ᾔδεις nos οἶδας cod. || **11** τέλει cod.

41

Ἀλώπηξ κολουρός.

Ἀλώπηξ ὑπό τινος πάγης τὴν οὐρὰν ἀποκοπεῖσα, ἐπειδὴ δι' αἰσχύνην ἀβίωτον ἡγεῖτο τὸν βίον ἔχειν, ἔγνω δεῖν καὶ τὰς ἄλλας ἀλώπεκας εἰς τὸ αὐτὸ προαγαγεῖν, ἵνα τῷ κοινῷ πάθει τὸ ἴδιον ἐλάττωμα συγκρύψῃ. Καὶ δὴ

Codd. Pa 24 Pb 17 Pd 14 Pf 13 Pg 13 Ph 13 Ma 18 Me 13 Mf 13 — Ca 6 Cb 8 Cc 6 Cd 8 Ce 8 Cf 8 Ch 8 Mc 6 Mh 6 Mk 7.

1 ὑπό τινος πληγεῖσα τὴν οὐρὰν ἀπεκόπη Pd || πάγης Pa Pg Ph Ce παγίδος ceteri || ἐκκοπεῖσα Pg || ἀποκοπεῖσα, ἐξ αἰσχύνης C Mc Mh Mk || **2** ἀβίωτον τὸν βίον ἡγεῖτο ἔχειν (ἄγειν Pd ἔχειν om. Ca εἶχεν sine ἡγεῖτο Cb Cd) Ca Cb Cd Ce Cf Mc Mh Mk || ἀναβίωτον Ma || τὸν ante βίον om. Pf Me || ἔχειν om. Ph || ἀβίωτον ... δεῖν om. Cc || Ἔγνω δὲ καὶ C Mc Mh Mk || **3** καὶ τὰς ἄλλας παρῄνει τὸ αὐτὸ περιαγαγεῖν omisso ἀβίωτον ... δεῖν Cc || ἐπὶ τὸ αὐτὸ Cd Mc || προσαγαγεῖν Pb Cd προάγειν Pd περιαγαγεῖν Ca Ch προσάγειν Cb Mc Mk ἄγειν Ce Cf || προσαγαγεῖν πάθος, τὸ ἴδιον ἐλάττωμα κρύπτουσα Mh || **4** καὶ τὸ ἴδιον Cd Mc Mk || κρύψῃ Pf Ph Cd Mk κρύψει Cb Mc συγκαλύψει Ce || Καὶ διὰ Ce Cf Διὸ Mc Mk

Digitized by Google

ἁπάσας ἀθροίσασα παρῄνει αὐταῖς τὰς οὐρὰς ἀποκόπτειν, λέγουσα ὡς οὐκ ἀπρεπὲς μόνον τοῦτο, ἀλλὰ καὶ περισσόν τι αὐταῖς βάρος προσήρτηται. Τούτων δέ τις ὑποτυχοῦσα ἔφη· « Ὦ αὕτη, ἀλλ' εἰ ⟨μή⟩ σοι τοῦτο συνέφερεν, οὐκ ἂν ἡμῖν τοῦτο συνεβούλευσας. »

Οὗτος ὁ λόγος ἁρμόττει πρὸς ἐκείνους οἳ τὰς συμβουλίας ποιοῦνται τοῖς πέλας οὐ δι' εὔνοιαν, ἀλλὰ διὰ τὸ ἑαυτοῖς συμφέρον.

5 πάσας Pd Ce Cf Mc Mk || παρῄνει αὐτὰς Pd Cb Cd Ce Cf || ἀποκόψαι Mk || ἀποκοπῆναι Cb Cd Mc || **6** ὡς om. Pg || ὡς οὐκ ἀπρεπὲς εἶναι Pf Ph Me Mf || ὡς οὐκ ἀπρεπὲς λέγουσα Mh || τοῦτο μόνον Pa Pd C Mc Mh || τοῦτο μᾶλλον Ma || ἀλλὰ περισσόν τι βάρος αὐταῖς κρέμασθαι Ph || περιττόν Cd Mc Mk || **7** τι om. Ca Cf Mc Mk || προσήρτηται (τὸ Cb Cd) βάρος C || προσήρηται Pa προσήρτυται Cf || προσηρτημένον βάρος Mh πρόσκειται (πρόσκεινται Mk) βάρος Mc Mk || Τοῦτο δέ τις Pa Cb Cd Ταύτῃ δέ τις Pf Me Mf, Ce || ὑπολαβοῦσα Pg Ca Cd Ce Cf Me Mf Mh ὑπολαβὼν Cb Cc Ch Mc Mk || **8** εἶπε Pd || ὦ φίλη Ca Mc Md || ὦ φίλη, ἔφη Cc || 'Αλλ', ὦ αὕτη Cd || ὦ οὕτως, ἔφη Mh || εἰ σὺ Cb ἢ σὺ Cd ἢ σοι Mc || μὴ om. libri || **9** ἡμῖν om. Cb Mc || τοῦτο om. Pg Mk τούτων Pa αὐτὸ Pb C Ma Mc Md || αὐτὸ ταῖς ἑτέραις συνεβούλευες Cd αὐτὸς αὐτὸ συνεβούλευες Mh || συνεβούλευσας Pa Ch συμβουλεύου Pd συμβούλευε Cb ἐσυμβούλευες Mc συνεβούλευες ceteri || **10** 'Ο λόγος δηλοῖ πρὸς Pb || ἁρμόζει Cd || ἐκείνους τοὺς (καὶ pro τοὺς Mk) τὰς συμβουλὰς ποιοῦντας πρὸς ἄλλους Mh Mk || **11** ποιοῦσι Ma || πρὸς τοὺς πέλας Pg || αὐτοῖς συμφέρον Ca Cc Cf || αὐτὸν Cb Mh αὐτῶν Cd Ce Ch Mk ἑαυτῶν Pd || **10-12** Οὗτος ὁ λόγος ('Ο λόγος οὗτος Me 'Ο μῦθος Mf) πρὸς τοὺς συμβουλεύοντας ποιεῖν τι οὐ δι' εὔνοιαν, ἀλλὰ τὸ ὁμοίους αὐτοὺς εἶναι τῆς ἰδίας ἀτίμου συμφορᾶς Pf Ph Me Mf 'Ο μῦθος δηλοῖ ὅτι (hoc initium om. Cd) οὗτος ὁ λόγος ἁρμόζει ἐκείνοις (πρὸς ἐκείνους Cf Mc) οἳ τὰς συμβουλίας (συμβουλὰς Mc) ποιοῦνται πρὸς τοὺς πέλας (πρὸς τοὺς πέλας ποιοῦνται Cc) Ca Cc Cd Cf Mc 'Ερμηνεία· Οὗτος ὁ λόγος πρὸς ἐκείνους οἱ τὰς συμβουλίας ποιοῦντες .... αὐτὸν συμφέρον Cb 'Ο μῦθος δηλοῖ ὅτι οἱ πονηροὶ τῶν ἀνθρώπων τὰς συμβουλίας ποιοῦντες πρὸς τοὺς πέλας ... Ce 'Ο μῦθος δηλοῖ ὅτι τινὲς τῶν ἀνθρώπων τὰς συμβουλίας.. Ch || πρὸς ἐκείνους τοὺς τὰς συμβουλὰς ποιοῦντας πρὸς ἄλλους Mh || In Pd epimythium truncatum incipit a ποιοῦνται.

Aliter.

'Αλώπηξ ἐν παγίδι ληφθεῖσα καὶ ἀποκοπείσης τῆς οὐρᾶς διαδρᾶσα, ἀβίωτον ὑπ' αἰσχύνης ἡγεῖτο τὸν βίον. Ἔγνω

Digitized by Google

οὖν καὶ τὰς ἄλλας ἀλώπεκας τοῦτ' αὐτὸ νουθετῆσαι ὡς ἂν τῷ κοινῷ πάθει τὸ ἴδιον συγκαλύψειεν αἶσχος. Καὶ δὴ πάσας ἀθροίσασα παρῄνει τὰς οὐρὰς ἀποκόπτειν, ὡς οὐκ ἀπρεπὲς μόνον τοῦτο τὸ μέλος ὄν, ἀλλὰ καὶ περιττὸν βάρος προσηρτημένον. Ὑπολαβοῦσα δέ τις αὐτῶν εἶπεν· « Ὦ αὕτη, ἀλλ' εἰ οὔ σοι τοῦτο συνέφερεν, οὐκ ἂν ἡμῖν αὐτὸ συνεβούλευες. »

Ὁ μῦθος δηλοῖ ὅτι οἱ πονηροὶ τῶν ἀνθρώπων οὐ δι' εὔνοιαν τὰς πρὸς τοὺς πέλας ποιοῦνται συμβουλίας, διὰ δὲ τὸ αὐτοῖς συμφέρον.

Codd. La 7 Lb 6 Le 6 Lf 7 Lh 4 Md 6 Mi 41 Mj 7 Ml 6 Mm 6.

1 παραληφθεῖσα Mj || **3** γοῦν Md Mi Mm || **6** ὄν om. Md || **8** ἀλλ' εἰ οὔ σοι τοῦτο προσέφερεν La, Lf Riccardianus 7 Barberinus 105 (fab. 7) οὐ om. ceteri || τοῦτο αὐτὸ συνεβούλευες Mi Mm || **11** εὔνοιαν πρὸς τοὺς πέλας ποιοῦντες ... συμφέρειν Mm.

42

Ἀλώπηξ ⟨μηδέποτε θεασαμένη λέοντα⟩.

Ἀλώπηξ μηδέποτε θεασαμένη λέοντα, ἐπειδὴ κατά τινα συντυχίαν ὑπήντησε, τὸ μὲν πρῶτον ἰδοῦσα οὕτως διεταράχθη ὡς μικροῦ καὶ ἀποθανεῖν. Ἐκ δευτέρου δὲ αὐτῷ περιτυχοῦσα ἐφοβήθη μέν, ἀλλ' οὐχ οὕτως ὡς τὸ πρότερον. Ἐκ τρίτου δὲ θεασαμένη οὕτω κατεθάρρησεν ὡς καὶ προσελθοῦσα αὐτῷ διελέχθη.

Ὁ λόγος δηλοῖ ὅτι ἡ συνήθεια καὶ τὰ φοβερὰ τῶν πραγμάτων καταπραΰνει.

Codd. Pa 1 Pb 10 Pd 3 Pe 15 Pf 12 Pg 7 Ph 12 Ma 1 Mb 6 Me 12 Mf 12.

1 μήπω Pe || **2** ἀπάντησεν αὐτὸν Pe || ἠπήντησε τὸ μὲν πρότερον, ἰδοῦσα δ' ἐταράχθη Ma || **3** διεταράχθη Pa Mb ἐξετα- ceteri || μικρὸν Pa Ma Mb || καὶ Pa Ph Me Mf om. ceteri || **4** ἐπιτυχοῦσα Pb || μέν, ἀλλ' οὐχ ὡς τὸ πρότερον om. Pb || οὐχὶ δὲ ὡς Pd ἀλλ' οὐ τοσοῦτον Pe οὐχ οὕτως (οὕτω Me Mh) δὲ (δὲ om. Ma) ὡς Pf Pg Ma Me Mf || **5** δὲ om. Pa || περιτυχοῦσα pro θεασαμένη Pe || κατεθάρσησεν Pb || **6** προελθοῦσα Pg Ma || διηλέχθη Pa διαλεχθῆναι Pd Pe διαλέγεσθαι ceteri || **7** Ὅτι Pd Ma || καὶ om. Pe || Ὁ μῦθος δηλοῖ ὅτι καὶ τὰ φοβερὰ τῶν πραγμάτων ἡ συνήθεια καταπραΰνει Pb.

Digitized by Google

Aliter [1].

Ἀλώπηξ μηδέποτε θεασαμένη λέοντα, ἐπειδὴ κατά τινα τύχην ὑπήντησεν αὐτῷ, τὸ μὲν πρῶτον ἰδοῦσα αὐτὸν οὕτως ἐφοβήθη ὥς μικροῦ καὶ ἀποθανεῖν. Ἐκ δευτέρου δὲ αὐτῷ περιτυχοῦσα ἐφοβήθη μέν, ἀλλὰ οὐκ ὡς τὸ πρότερον. Ἐκ τρίτου δὲ θεασαμένη αὐτὸν οὕτως κατεθάρσησεν ὥς προσελθοῦσα αὐτῷ διαλεχθῆναι.

Ὁ μῦθος δηλοῖ ὅτι καὶ τὰ φοβερὰ τῶν πραγμάτων ἡ συνήθεια καταπραΰνει [1].

Codd. Ca 7 Cb 6 Cc 4 Cd 6 Ce 6 Cf 6 Ch 6 Mh 4.

1 μηδέπο Mh || λέοντα θεασαμένη Cç || **2** ἀπήντησεν Cf Ch || αὐτὸν Ce Cf || ἀπηντήκει αὐτὸ Mh || πρότερον Cb || τὸ μὲν ... αὐτὸν om. Ch || ἐφοβήθη οὕτως Cb Cd || ὄντι ἐφοβήθη Ce || οὕτως om. Mh || **3** ὡς καὶ μικροῦ δὴ ἀποθανεῖν Cd ὡς ... ἀποθανεῖν om. Cf || Ἐκ δευτέρου οὖν Cd || αὐτοῦ τυχοῦσα Cb θεασαμένη αὐτὸν Ce Cf ἐπιτυχοῦσα αὐτῷ Mh || **4** Ἐκ τρίτου δ' αὖθις θεασαμένη τοῦτον, τοσοῦτον ἐθάρρησεν ὡς προσελθοῦσα διαλεχθῆναι αὐτῷ Cc || **5** αὐτὸν ἰδοῦσα οὕτως Cd || **7** Ὅτι ἡ συνήθεια Cb Ce Cf Ch Οὕτως καὶ τὰ .. Cc || Ὁ λόγος (μῦθος Mh) δηλοῖ ὅτι ἡ συνήθεια Cd Mh || **8** καταπραΰνειν Cb.

Aliter.

Ἀλώπηξ μήπω θεασαμένη λέοντα, ἐπειδὴ κατά τινα τύχην αὐτῷ συνήντησε, τὸ μὲν πρῶτον οὕτως ἐφοβήθη ὥς μικροῦ καὶ ἀποθανεῖν. Ἔπειτα τὸ δεύτερον θεασαμένη, ἐφοβήθη μέν, οὐ μὴν ὡς τὸ πρότερον. Ἐκ τρίτου δὲ τοῦτον θεασαμένη οὕτως αὐτοῦ κατεθάρσησεν ὥς καὶ προσελθοῦσα διαλεχθῆναι.

Ὁ μῦθος δηλοῖ ὅτι ἡ συνήθεια καὶ τὰ φοβερὰ τῶν πραγμάτων εὐπρόσιτα ποιεῖ.

Codd. La 5 Lb 4 Lc 2 Ld 2 Le 4 Lf 5 Lg 2 Mc 10 Md 4 Mg 5 Mi 39 Mj 5 Mk 11 Ml 4 Mm 4 Mn 2.

2 τὸ μὲν πρότερον Le || **3** μικροῦ δεῖν καὶ Mk || μὴ ἀποθανεῖν Ld Mn || **3** Καὶ τὸ δεύτερον Le || **4** οὐ μὴν δὲ Mc || οὐ μὴ ὡς Mn || ὡς πρότερον Lg ὡς τὸ πρῶτον Mm || αὐτὸν θεασαμένη Lc Lg || **5** ἰδοῦσα Mm || αὐτῷ κατεθάρσησεν Lg || **8** εὐπροσωποιεῖ Mc.

1. Hanc fabulam in uersus redigere conatus est Fedde, sed male.

Digitized by Google

43

Ἀλώπηξ πρὸς μορμολύκειον.

Ἀλώπηξ εἰσελθοῦσα εἰς πλάστου ἐργαστήριον καὶ ἕκαστον τῶν ἐνόντων διερευνῶσα, ὡς περιέτυχε τραγῳδοῦ προσωπείῳ, τοῦτο ἐπάρασα εἶπεν· « Οἵα κεφαλὴ ἐγκέφαλον οὐκ ἔχει. »

Πρὸς ἄνδρα μεγαλοπρεπῆ μὲν σώματι, κατὰ ψυχὴν δὲ ἀλόγιστον ὁ λόγος εὔκαιρος.

Codd. Pa 8 et 29^{bis} Pb 27 Pc 9 Pf 15 Ph 15 Ma 8 Me 15.

1 διελθοῦσα Pb || **2** διερευνᾶσα Ma || τραγῳδῶν προσωπῷ Pb Me || πρωσωπίῳ Pa || **3** ἔφη Ma || Ὦ οἵα Pa 29^{bis} || **5** τῷ σώματι Pc Pf Me τὸ σῶμα Ph σῶμα Ma || τὰ κατὰ νοῦν δὲ ὑστερούμενον Pf Ph Me || **6** Ὁ λόγος εὔκαιρος om. Pa 8 Ma εὔκαιρος ὁ λόγος in margine Pa 29^{bis} Ὁ λόγος εὔκαιρος in initio Pb.

Aliter.

Ἀλώπηξ εἰσελθοῦσα εἰς οἰκίαν κιθαρῳδοῦ καὶ ἕκαστον τῶν αὐτοῦ σκευῶν ἐρευνησαμένη, εὗρε κεφαλὴν μορμολυκείου εὐφυῶς κατεστευασμένην. Ἀναλαβοῦσα δὲ αὐτὴν ταῖς οἰκείαις χερσὶν ἔφη· « Ὦ οἵα κεφαλή, καὶ ἔγκεφαλον οὐκ ἔχει. »

Ὁ λόγος πρὸς ἄνδρας μεγαλοπρεπεῖς μὲν τὸ σῶμα, ἀλογίστους δὲ τὴν ψυχήν.

Codd. Ca 11 Cb 14 Cc 11 Cd 14 Ce 14 Cf 15 Ch 14 Mh 12.

In Cc fabula incipit ab Ὦ οἵα κεραλή || **1** ἐλθοῦσα Ce Cf || κιθαρωδῶ Cf || ἕκαστον ἕκαστον Mh || **2** σκευῶν αὐτοῦ Cd ἑαυτοῦ σκευῶν Cf τούτου σκευῶν Mh || μορμολυκίου Ce Mh -λικίου Cf || **4** Ὦ ποία Cb Cd || καὶ om. Ca || **6** Πρὸς ἄνδρας Cb Cd || Πρὸς μεγαλοπρεπεῖς μὲν Cc Οὗτος ὁ λόγος ἁρμόζει πρὸς Cd Ὁ μῦθος δηλοῖ πρὸς Cc Cf Mh || τῷ σώματι (κατὰ σῶμα Mh), κατὰ ψυχὴν δὲ ἀλογίστους (-τοι Ce Cf) libri, exceptis Ca Cc.

Digitized by Google

Aliter.

Ἀλώπηξ εἰς οἰκίαν ἐλθοῦσα ὑποκριτοῦ καὶ ἕκαστα τῶν αὐτοῦ σκευῶν διερευνωμένη, εὗρε καὶ κεφαλὴν μορμολυκείου εὐφυῶς κατεσκευασμένην, ἣν καὶ ἀναλαβοῦσα ταῖς χερσὶν ἔφη· « Ὦ οἵα κεφαλή, καὶ ἔγκεφαλον οὐκ ἔχει. »

Ὁ μῦθος πρὸς ἄνδρας μεγαλοπρεπεῖς μὲν τῷ σώματι, κατὰ ψυχὴν δὲ ἀλογίστους.

Codd. La 11 Lb 10 Lc 6 Ld 4 Le 10 Lf 11 Lg 6 Mc 12 Md 10 Me in margine 15 Mf 15 Mi 45 Mj 12 Mk 13 Ml 10 Mm 10 Mn 4.

1 εἰς οἶκον Mc Md || εἰσελθοῦσα Lc Le Lf Lg Me Mf Mi Mn || κιθαρῳδοῦ Ld Le κιθαρῳδοῦ correctum in ὑποκριτοῦ Lb Md Mi || ἕκαστον Mc Mk || **2** καὶ ante κεφαλὴν om. Lg Mn || μορμολυκίου La Lc Ld Me Mf Ml || **3** ἣν ἀναλαβοῦσα Md Mf || ἣν om. Mk || ταῖς χεροῖν Lg || **4** Ὦ ποία Mc Mk || καὶ om. Mk Ml || **5** Ὁ μῦθος δηλοῖ πρὸς (ὅτι πρὸς Mm) Mc Mi Mj Mk Ml Mm || μεγαλοψυχεῖς Lg || **6** κατὰ τὴν ψυχὴν δὲ Lb καὶ κατὰ τὴν ψυχὴν δὲ Ld τὴν ψύχην δὲ sine κατὰ Mn || ἀλλοκόρτους Lc ἀλλοκότους Ld Lg Mc Md Mi Mm || ὄντας, τῇ φρονήσει δὲ ἀλογίστους Mk || **5-6** Πρὸς ἄνδρα μεγαλοπρεπῆ μὲν τῷ σώματι, κατὰ νοῦν δὲ ὑστερούμενον ὁ λόγος εὔκαιρος Mf.

44

Ἄνδρες ⟨δύο περὶ θεῶν ἐρίζοντες⟩.

Ἄνδρες δύο ἐμάχοντο τίνες τῶν θεῶν μείζους, Θησεὺς ἢ Ἡρακλῆς. Οἱ δὲ θεοὶ ὀργισθέντες αὐτοῖς ἑκάτερος τὴν ἑτέρου χώραν ἠμύνατο.

Ὅτι τῶν ὑπεξουσίων ἡ ἔρις τοὺς δεσπότας πείθει ὀργίλους εἶναι κατὰ τῶν ὑπηκόων.

Cod. Ba 10 (summarium parum accuratum fabulae XV Babrii) || **4** ὑπεξουσιῶν cod

Digitized by Google

45

Ἀνδροφόνος.

Ἄνθρωπόν τις ἀποκτείνας ὑπὸ τῶν ἐκείνου συγγενῶν ἐδιώκετο· γενόμενος δὲ κατὰ τὸν Νεῖλον ποταμόν, λύκου αὐτῷ ἀπαντήσαντος, φοβηθεὶς ἀνέβη ἐπὶ δένδρου τῷ ποταμῷ παρακειμένου καὶ ἐκεῖ ἐκρύπτετο. Θεασάμενος δὲ ἐνταῦθα δράκοντα κατ' αὐτοῦ διαιρόμενον, ἑαυτὸν εἰς τὸν ποταμὸν καθῆκεν· ἐν δὲ τῷ ποταμῷ κροκόδειλος αὐτὸν κατεθοινήσατο.

Ὁ λόγος δηλοῖ ὅτι τοῖς ἐναγέσι τῶν ἀνθρώπων οὔτε γῆς, οὔτε ἀέρος, οὔτε ὕδατος στοιχεῖον ἀσφαλές ἐστι.

Codd. Pa 9 Pb 32 Pc 12 Pg 18 Ma 10.

1 Ἄνθρωπός τις ἀποκτείνας τινὰ Pc || ἀπὸ τῶν αὐτοῦ Pb || τῶν συγγενῶν ἐκείνου Ma || **2** τὸν Νεῖλον τὸν ποταμὸν Pc || **3** αὐτοῦ! Ma || ὑπαντήσαντος Pg || ἐπί τι δένδρον .. παρακείμενον (περι- Pb Pg) Pb Pg Ma || ἐπί τι δένδρον ἀνέβη φοβηθεὶς Pc || τῷ ποταμῷ om. Pc || **4** καὶ ἐκεῖ Pa Pg κἀκεῖ ceteri || Καὶ θεασάμενος Pg || **5** ἔχιν κατ' αὐτοῦ ἐρχόμενον Pb ἔχιν κατ' αὐτοῦ αἰρόμενον Pg || διαιρόμενον Pc αἰρούμενον Pa διαιρούμενον Ma || τὸν ante ποταμὸν om. Pa || **6** ἐνῆκεν Pc || ἐν δὲ τούτῳ ὑποδεξάμενος αὐτὸν κρο- κ- Pb Pc Pg || κορκόδηλος Ma || **9** ἐστι om. Pc.

Aliter.

Ἄνθρωπός τις φόνον ποιήσας ἐδιώκετο ὑπὸ τῶν συγγενῶν τοῦ φονευθέντος. Γενομένου δὲ αὐτοῦ κατὰ τὸν ποταμὸν τὸν Νεῖλον, λέοντα ἰδὼν καὶ φοβηθεὶς ἀνέβη εἰς δένδρον. Εὗρε δὲ δράκοντα ἐπάνω τοῦ δένδρου, καὶ πάλιν τοῦτον φοβηθεὶς ἔρριψεν ἑαυτὸν εἰς τὸν ποταμόν. Ἐν δὲ τῷ ποταμῷ κροκόδειλος αὐτὸν κατεθοινήσατο.

Codd. Ca 29 Ce 18 Cf 20 Ch 20 Md 28 Mh 23 Mi 63 Ml 27 Mm 28.

1 τοῦ τοῦ φονευθέντος συγγενοῦς Mi τῶν τοῦ φονευθέντος συγγενῶν Mh Mm || **2** τοῦ Νείλου τοῦ (τοῦ om. Md Mh Mi) ποταμοῦ Cf Ch Md Mh Mi τὸν Νεῖλον τὸν ποταμὸν Ml Νείλου ποταμοῦ Mm || κατὰ τὴν ἀκτὶν τοῦ ποταμοῦ, ἐπεὶ λέοντα ἴδεν, ἀνέβη εἰς δένδρον. Ἐν δὲ τῷ δένδρῳ εὗρε δράκοντα Ce || ἀνῆλθεν Md Mh Mi Mm || **4** τοῦτον πάλιν Cf Ml αὐτὸν omisso πάλιν Ce || πάλιν om. Md Mh Mm || **5** φονευθεὶς Ca, in margine φοβηθεὶς || **6** κορκόδειλος Cf Mh || κατέφαγεν αὐτόν Md Mh Mi Mm.

Digitized by Google

Ὁ μύθος δηλοῖ ὅτι τοὺς φονεῖς τῶν ἀνθρώπων οὔτε γῆ, οὔτε ἀήρ, οὔτε ὕδατος στοιχεῖον, οὔτε ἄλλος τόπος φυλάττει.

7 γῆς οὔτε ἀερός Cf Ch Ml || **8** ὕδωρ pro ὕδατος στοιχεῖον Ce Md Mh Mi || ὕδατος στοιχεῖον om. Mm || τόπος ἄλλος Ch || **9** δύναται φυλάξαι τοῦ μὴ λαβεῖν τίσιν τοῦ κακοῦ Ce.

Aliter.

Ἄνθρωπός τις φόνον ποιήσας καὶ διωκόμενος ὑπὸ τῶν συγγενῶν τοῦ φονευθέντος κατὰ τὸν Νεῖλον ποταμὸν ἐγένετο καὶ λέοντα εὑρὼν ἀνέβη εἰς δένδρον φοβηθείς, κἀκεῖσε ἰδὼν δράκοντα καὶ ἡμιθνὴς γενόμενος ἔρριψεν ἑαυτὸν εἰς τὸν ποταμόν. Ἐν δὲ τῷ ποταμῷ κροκόδειλος τοῦτον κατεθοινήσατο.

Ὁ λόγος πρὸς τοὺς τῶν ἀνθρώπων φονεῖς ὡς οὔτε γῆ, οὔτε ἀήρ, οὔτε ὕδατος στοιχεῖον, οὔτε ἄλλος τις τόπος φυλάσσει αὐτούς.

Cod. Cc 20.

46

Ἀνὴρ ἀδύνατα ἐπαγγελλόμενος.

Ἀνὴρ πένης νοσῶν καὶ κακῶς διακείμενος, ἐπειδὴ ἀπὸ τῶν ἰατρῶν ἀπηλπίσθη, τοῖς θεοῖς ηὔχετο ἑκατόμβην ποιήσειν ἐπαγγελλόμενος καὶ ἀναθήματα καθιερώσειν, ἐὰν ἐξαναστῇ. Τῆς δὲ γυναικὸς (ἐτύγχανε γὰρ αὐτῷ παρεστῶσα) πυνθανομένης· « Καὶ πόθεν αὐτὰ ἀποδώσεις; » ἔφη· « Νομίζεις γάρ με ἐξαναστήσεσθαι, ἵνα καὶ ταῦτά με οἱ θεοὶ ἀπαιτήσωσιν ; »

Codd. Pa 35 Pb 34 Pc 13 Pe 2 Pf 18 Ph 19 Ma 26 Me 18 Mf 18.

1 παρὰ τῶν ἰατρῶν Pb ὑπο τῆς ἀπὸ Pc ὑπὸ ἀπείρων ἰατρῶν Ma || **2** ηὔχει Ma || ἑκάστῳ μνείαν pro ἑκατόμβην Pe || **3** ποιῆσαι Pb Ma θύσειν Ph || ἐπαγγειλάμενος Pb || ἀναθέματα Pa Ph Ma Me Mf || καθιερῶσαι Pe καθιερεῖν Ma || **4** ἐτύγχανε ... παρεστῶσα om. Pc Pe Ma || αὐτὴ Pb αὐτῷ om. Me Mf || **5** αὐτοῦ πυνθανομένης Pe || ταῦτα Pe τοιαῦτα Ph || ἀποδώσῃ Pb ἀποδώσει Pc Pe || ἔφη om. Ma ἔφη αὐτῇ Pe || **6** ἐξαναστήσασθαι Pc Ma || ταῦτα μὲν οἱ Pa || με om. Pb Pc Pe || ὡς θεοὶ Ca || οἱ θεοὶ αὐτὰ Pc οἱ θεοί με Ma Mf || **7** ἀπαιτήσουσιν Pe.

Digitized by Google

Ὁ λόγος δηλοῖ ὅτι ταῦτα ῥᾴδιον ἄνθρωποι κατεπαγγέλλονται ἃ τελέσειν ἔργῳ οὐ προσδοκῶσιν.

8 Ὁ μῦθος Mf || ὅτι om. Pf || ῥαδίως Pf || ἄνθρωποι Pa Pf Ma οἱ ἄνθρωποι ceteri || ταῦτα post ἄνθρωποι Pf Me Mf || 9 τελέσαι Pf Ph Ma Me Mf || ἔργον Ma || 8-9 Ὁ λόγος δηλοῖ ὅτι ἃ ῥάδιον ἀπαγγέλλοντες ἐκτελέσειν ἔργῳ οὐ προσδοκῶσιν Pe.

Aliter.

Ἄνθρωπός τις πένης νοσῶν καὶ κακῶς διακείμενος, ἐπειδὴ ἀπηλπίσθη παρὰ τῶν ἰατρῶν, διὰ τὸ μηδὲν ἔχειν δοῦναι αὐτοῖς, τοὺς θεοὺς παρεκάλει καὶ ὑπισχνεῖτο αὐτοῖς λέγων· « Ὦ θεοὶ λαμπροί τε καὶ μέγιστοι, ἐὰν τὴν ὑγείαν μοι παράσχητε, ἑκατὸν βόας προσάξω ὑμῖν εἰς θυσίαν. » Τῆς δὲ γυναικὸς αὐτοῦ πυνθανομένης· « Πόθεν σοι ταῦτα, ἐὰν συμβῇ ὑγιᾶναί σε ; » πρὸς αὐτὴν ἐκεῖνος ἔφη· « Καὶ νομίζεις ⟨ἂν⟩ ἀναστῆναί με, ἵνα με ταῦτα οἱ θεοὶ ἀπαιτήσωσιν ; »

Ὁ μῦθος δηλοῖ ὅτι πολλοὶ ῥᾳδίως κατεπαγγέλλονται, ἀποτελέσαι δὲ ἔργῳ οὐ προσδοκῶσιν.

Codd. Ca 31 Ce 20 Cf 23 Ch 22 Mh 25.

2 ἀπελπίσθη Ca ἀφηλπίσθη Cf Ch || 3 τοῦ δοῦναι Cf || τοῖς θεοῖς Cf || 4 ὑγείαν μου Ce Cf || 5 παράσχοιτε Ce Mh || ἑκτὸν Ch || 6 αὐτοῦ om. Ce Cf || Ποῦ σοι Ce Cf || 7 ὑγιαίνειν Cf || 8 ἂν addidi || ἐξαναστῆναι Ch μετὰ τοῦ ὑγιᾶναι pro ἀναστῆναι Mh || με ταῦτα om. Mh || καὶ ταῦτα Ch τοιαῦτα Ce || ταῦτα μετὰ τοιαῦτα ὡς θεοὶ ἀπαιτήσουσιν Cf || 10 ῥάδιον Ce Cf Ch || 11 ἔργον Ca || ἃ τελέσαι ἔργῳ οὐ προσδοκοῦσιν Ce Cf Ch || 10-11 Ὁ μῦθος δηλοῖ ὅτι ἐν καιρῷ περιστάσεως πολλοὶ πολλὰ ῥαδίως κατεπαγγέλλονται ἅτινα ἔργῳ μετὰ ταῦτα πληρῶσαι οὐ δύνανται Mh.

Aliter.

Ἄνθρωπός τις πένης νοσῶν καὶ κακῶς διακείμενος τοὺς θεοὺς παρεκάλει καὶ ὑπισχνεῖτο αὐτοῖς ὡς, ἐὰν τὴν ὑγείαν αὐτῷ παράσχωσι, ἑκατὸν εἰς θυσίαν βόας προσάξει. Τῆς δὲ γυναικὸς πυνθανομένης· « Πόθεν ταῦτα ἕξομεν ἡμεῖς ; » ἐκεῖνος ἔφη· « Καὶ δοκεῖς ⟨ἂν⟩ ἀναστῆναί με, ἵνα ταῦτα οἱ θεοὶ ἀπαιτήσωσι ; »

Ὁ μῦθος δηλοῖ ὡς πολλοὶ ῥᾳδίως κατεπαγγέλλονται, ἀποτελοῦσι δὲ οὐδὲν ἔργῳ.

Cod. Cc 22.

3 προσάξῃ cod. || 4 ἕξομεν ἡμεῖς nos ἔχειν ἡμᾶς cod. || 5 ἂν addidi.

Digitized by Google

Aliter.

Ἀνὴρ πένης νοσῶν καὶ κακῶς διακείμενος, ἐπειδὴ πρὸς τῶν ἰατρῶν ἀπεγνώσθη, τῶν θεῶν ἐδεῖτο ὥς, εἰ τὴν ὑγιείαν αὐτῷ πάλιν ἐπανελθεῖν ποιήσειαν, ἑκατὸν βόας αὐτοῖς προσοίσειν ὑπισχνούμενος εἰς θυσίαν. Τῆς δὲ γυναικὸς αὐτοῦ πυθομένης· « Καὶ ποῦ σοι ταῦτα, ἣν ὑγιάνῃς ; » ἐκεῖνος ἔφη· « Οἴει γὰρ ἂν ἀναστῆναί με ἐντεῦθεν, ἵν' οἱ θεοὶ ταῦτά με ἀπαιτήσωσιν ; »

Ὁ μῦθος δηλοῖ ὅτι πολλοὶ ῥᾳδίως κατεπαγγέλλονται ἅπερ τελέσαι ἔργῳ οὐ προσδοκῶσιν.

Codd. La 15 Lb 14 Le 14 Lf 15 Md 14 Mi 49 Mj 17 Mm 14.

2 ὑγείαν libri, exceptis La Le || **3** ποιήσειεν Le Lf || **4** προσάγειν εἰς θυσίαν ὑπισχνούμενος Mj || πρὸς θυσίαν Le || **6** ἂν Lb ceteri om. || με ἀναστῆναι Le || **9** ἔργα Lf || προσδοκοῦσιν Lf.

47

Ἀνὴρ δειλὸς καὶ κόρακες.

Ἀνὴρ δειλὸς ἐπὶ πόλεμον ἐξῄει. Φθεγξαμένων δὲ κοράκων, τὰ ὅπλα θεὶς ἡσύχαζεν, εἶτ' ἀναλαβὼν αὖθις ἐξῄει, καὶ φθεγγομένων πάλιν, ὑπέστη καὶ τέλος εἶπεν· « Ὑμεῖς κεκράξεσθε μὲν ὡς δύνασθε μέγιστον· ἐμοῦ δὲ οὐ γεύσεσθε. »

Ὁ μῦθος περὶ τῶν σφόδρα δειλῶν.

Cod. Mb 13.

4 κεκράξεσθε nos κεκράξεσθαι cod. || δύνασθε ... γεύσεσθε nos δύνασθαι .. γεύσασθαι cod.

48

Ἀνὴρ ⟨δηχθεὶς ὑπὸ μύρμηκος⟩ καὶ Ἑρμῆς.

Ναῦν ποτε μετὰ τῶν ἀνδρῶν βυθισθεῖσαν ἰδών τις ἀδίκως ἔλεγε τοὺς θεοὺς κρίνειν· δι' ἕνα γὰρ ἀσεβῆ συναπώλοντο καὶ ἀναίτιοι. Ταῦτα αὐτοῦ λέγοντος, μυρμήκων πολλῶν ὄντων ἐν τῷ τόπῳ ἐν ᾧ ἔτυχεν ἱστάμενος, συνέβη

Digitized by Google

ὑφ' ἑνὸς δηχθῆναι τοῦτον. Ὁ δὲ ὑφ' ἑνὸς δηχθεὶς συνεπάτησε τοὺς πάντας. Ἑρμῆς δὲ ἐπιστὰς αὐτῷ καὶ τῇ ῥάβδῳ παίων εἶπεν· « Εἶτα οὐκ ἀνέχῃ σὺ τοὺς θεοὺς δικαστὰς εἶναι οἷος εἶ σὺ τῶν μυρμήκων ; »

Ὅτι μηδεὶς θεοῦ βλασφημείτω, συμφορᾶς ἐπελθούσης, μᾶλλον δὲ σκοπείτω τὰς οἰκείας ἁμαρτίας.

Cod. Ba 95.

5 δαχθεὶς cod. || **7** ἀνέχῃ Coraës ἀνέχεις cod. || **10** σκοπεῖτε cod.
Paraphrasis fabulae 117 Babrii, quae in Mb 123 reperta est.

49

Ἀνὴρ καὶ γυνὴ ⟨ἀργαλέα⟩.

Ἔχων τις γυναῖκα πρὸς πάντας τοὺς οἰκείους λίαν τὸ ἦθος ἀργαλέαν ἠβουλήθη γνῶναι εἰ καὶ πρὸς τοὺς πατρῴους οἰκέτας ὁμοίως διάκειται· ὅθεν μετὰ προφάσεως εὐλόγου πρὸς τὸν πατέρα αὐτὴν ἔπεμψε. Μετὰ δὲ ὀλίγας ἡμέρας ἀνελθούσης αὐτῆς ἐπυνθάνετο πῶς αὐτὴν οἱ οἰκεῖοι προσεδέξαντο. Τῆς δὲ εἰπούσης· « Οἱ βουκόλοι καὶ οἱ ποιμένες με ὑπεβλέποντο, » ἔφη πρὸς αὐτήν· « Ἀλλ' ὦ γύναι, εἰ τούτοις ἀπήχθου οἳ ὄρθρου μὲν τὰς ποίμνας ἐξελαύνουσιν, ὀψὲ δὲ εἰσίασι, τί χρὴ προσδοκᾶν περὶ τούτων οἷς πᾶσαν τὴν ἡμέραν συνδιέτριβες ; »

Οὕτω πολλάκις ἐκ τῶν μικρῶν τὰ μεγάλα καὶ ἐκ τῶν προδήλων τὰ ἄδηλα γνωρίζονται.

Codd. Pb 96 Pc 48 Pf 48 Pg 64 Ph 50 Mb 27.

1 Γυναῖκά τις ἔχων πρὸς πάντα λίαν τὸ ἦθος ἀργαλαίαν Mb || πάντας τοὺς οἰκείους nos πάντα Pb πᾶν Pf πάντω Pg || τὸ ἦθος πρὸς πάντα ἀργαλέαν λίαν, ἐβούλετο μαθεῖν εἰ καὶ Pc || πρὸς τοὺς οἰκείους ἀργαλέαν καὶ κακοήθη Ph || **4** αὐτῆς Pb Pc || Καὶ ἐπανελθούσης ἐπυνθάνετο omisso μετὰ δὲ ὀλίγας ἡμέρας et αὐτῆς Ph || **5** ἀνελθούσης Pc Pg ἐλθούσης Pb Mb ἐπελθούσης Pf || αὐτῆς om. Pf Ph || ἀπεδέξαντο Pg ἐδέξαντο Mb || **6** Οἱ βουκόλοι με Pg || **7** με om. Mb || ἀπεβλέποντο Pc ὑπέβλεπον Pf Ph || **8** ἀπηχθάνου Ph || **9** τί δὲ Pf || **10** διέτριβες Pc Pg Mb || **11** Οὕτω om. Pf || καὶ τῶν προδήλων Pc Pf Pg Ph καὶ τῶν ἀδήλων Mb || **12** γνωρίζεται Mb γνωρίζονται om. Pc.

Digitized by Google

Aliter.

Ἔχων τις γυναῖκα πρὸς τοὺς κατ᾽ οἶκον ἅπαντας ἀπεχθῶς ἔχουσαν, ἠβουλήθη γνῶναι εἰ καὶ πρὸς τοὺς πατρῴους οἰκέτας οὕτω διάκειται. Διὸ δὴ καὶ μετ᾽ εὐλόγου προφάσεως πρὸς τὸν αὐτῆς αὐτὴν ἀποστέλλει πατέρα. Μετὰ δ᾽ ὀλίγας ἡμέρας ἐπανελθούσης αὐτῆς, ἐπυνθάνετο πῶς πρὸς τοὺς ἐκεῖ διεγένετο. Τῆς δὲ φαμένης ὡς οἱ βουκόλοι καὶ οἱ ποιμένες με ὑπεβλέποντο, πρὸς αὐτὴν ἔφη· « Ἀλλ᾽, ὦ γύναι, εἰ τούτοις ἀπεχθάνῃ οἳ ὄρθρου μὲν τὰς ποίμνας ἐξελαύνουσιν, ὀψὲ δὲ εἰσίασι, τί χρὴ προσδοκᾶν περὶ τούτων οἷς πᾶσαν συνδιέτριβες τὴν ἡμέραν ; »

Ὁ μύθος δηλοῖ ὅτι οὕτω πολλάκις ἐκ τῶν μικρῶν τὰ μεγάλα κἀκ τῶν προδήλων τὰ ἄδηλα γνωρίζεται.

Codd. La 97 Lb 52 Le 52 Lf 97 Me 59 Mf 53 Mg 75 Mj 62 Ml 63.

3 ὁμοίως διάκειται Me Mf || **8** ἀπήχθου Me Mf || **9** ἐξελάσουσιν Mj || τί δὲ χρὴ Me Mf || **10** διέτριβες Lb τὴν ἡμέραν συνδιέτριβες Me Mf. **11** Ὁ μῦθος ὅτι Lb Ὅτι Mg.

50

Ἀνὴρ κακοπράγμων.

Ἀνὴρ κακοπράγμων συνορισάμενος πρός τινα ψευδὲς ἐπιδείξειν τὸ ἐν Δελφοῖς μαντεῖον, ὡς ἐνέστη ἡ προθεσμία, λαβὼν στρουθίον εἰς τὴν χεῖρα καὶ τοῦτο τῷ ἱματίῳ σκεπάσας, ἧκεν εἰς τὸ ἱερὸν καὶ στὰς ἀντικρὺς ἐπηρώτα ποτερόν τι ἔμπνουν ἔχει μετὰ χεῖρας ἢ ἄψυχον, βουλόμενος, ἐὰν μὲν ἄψυχον εἴπῃ, ζωὸν τὸ στρουθίον ἐπιδεῖξαι,

Codd. Pa 37 Pb 36 Pe 4 Pf 19 Me 19 Mf 19.

1 ψευδῆ Pe || **2** ὡς om. Pa || ὡς ἔνεστιν Pe || **3** λαβὼν οὖν Pa || λαβὼν γὰρ στρουθίον μικρὸν Pe || στροῦθον Pf Me Mf || τοῦτον Pf Me Mf || ἐν τῷ ἱματίῳ αὐτοῦ Pe || **4** ἧκον Pa || ἐπηρώτας αὐτοὺς λέγων· Τί ἔχω εἰς τὰς χεῖράς μου ἔμπνουν ἢ ἔμψυχον ; βούλομαι ἐν τῇ κακίᾳ αὐτοῦ, ἐὰν μὲν ἄψυχον εἴπωσι, ζῶον τὸ στρουθίον ὑποδείξει, ἐὰν δὲ πάλιν ἔμπνουν ἀποπνήξας αὐτό, δείξω πάλιν τοῦτο. Καὶ θεὸς Pe || **5** πρότερόν τι Pa || ἢ ἄπνουν Pb || **6** ζῶν Pb || ζωὸν τὸν στροῦθον Pa Pf Me Mf.

Digitized by Google

ἐὰν δὲ ἔμπνουν, ἀποπνίξας προενεγκεῖν. Καὶ ὁ θεὸς συνεὶς αὐτοῦ τὴν κακότεχνον γνώμην εἶπεν· « Ἀλλ' ὦ οὗτος, πέπαυσο· ἐν σοὶ γάρ ἐστι τοῦτο ὃ ἔχεις ἢ νεκρὸν εἶναι ἢ ἔμψυχον. »

Ὁ λόγος δηλοῖ ὅτι τὸ θεῖον ἀπαρεγχείρητόν ἐστι.

7 προενεγκεῖν Schneider προσ- libri || 8 αὐτοῦ συνεὶς Me Mf || τὴν κακοτεχνίαν Pb Mc Mf || τὴν κακοτεχνίαν αὐτοῦ Pf || εἶπεν om. Pa || 9 ἐν σοὶ γὰρ τοῦτο ἢ νεκρὸν ἢ ἔμψυχον Pa || τὸ ὃ ἔχεις Pf Me Mf || 11 Δηλοῖ γὰρ ὁ λόγος ὅτι τὸ θεῖον ἀπαραχάρακτον ὑπάρχει Pe Οὐ δεῖ τὸ θεῖον πειράζειν· ἀπαρεγχείρητον γάρ ἐστιν Pf Me Mf || ἀπαρεγχείριστον Pb.

Aliter.

Ἀνὴρ κακοπράγμων πρὸς τὴν γνῶσιν τοῦ ἐν Δελφοῖς μαντείου ἧκε, βουλόμενος τὸν θεὸν ἐκπειρᾶσαι. Καὶ δὴ λαβὼν στρουθίον ἐν τῇ χειρὶ καὶ τοῦτο σκεπάσας τῷ ἱματίῳ αὐτοῦ καὶ ἀντικρὺ αὐτοῦ στὰς ἐν τῷ ἱερῷ, ἐπηρώτησεν αὐτόν· « Τί ἔχω εἰς τὰς χεῖράς μου ἔμπνουν ἢ ἄπνουν ; » βουλόμενος [ὅτι], ἐὰν ἄπνουν εἴπῃ, ζῶν τὸ στρουθίον ὑποδεῖξαι· εἰ δὲ ἔμπνουν, ἀποπνίξας προενεγκεῖν. Γνοὺς δὲ ὁ θεὸς τὴν κακότεχνον αὐτοῦ γνώμην, εἶπεν· « Ὡς θέλεις ποίησον, ὦ οὗτος· ἐν σοὶ γάρ ἐστι τὸ πρᾶξαι· θέλεις νεκρόν, θέλεις ζῶν, ἀπόδειξον τοῦτο. »

Codd. Ca 32 Cc 23 Ce 21 Cf 24 Ch 24 Mh 26.

1 Ἀνήρ τις ἐν Δελφοῖς ἧκε Cc || κακοπράγμων τῇ γνώμῃ ἐν Δελφοῖς ἧκε Mh || ἐν γνώσει ἧκεν εἰς τὸ ἐν Δελφοῖς μαντεῖον ἐρωτήσων πανούργως. Καὶ δὴ Ce || εἰς τὴν γνῶσιν ἐν Δελφοῖς μέντοι ἧκέ μου λόγιος ἐκπιάσαι τοῦτον Cf || τοῦ ἐν Δελφοῖς μαντείου ἧκε βουλόμενος τοῦτο ἐκπειρᾶσαι. Ch || τοῦ μαντείου om. Ca || 3 τοῦτο om. Mh || 4 καὶ ἀντικρὺ ... ἱερῷ om. Cc || καὶ σταθεὶς ἀντικρὺ τοῦ ἱεροῦ ἐπερώτησε τὸν Ἀπόλλωνα Ce || καὶ σταθεὶς ἀντικρὺ (ἀντικρὶς Cf) αὐτοῦ Cf Ch καὶ στὰς ἀντικρὺ τοῦ ἱεροῦ Mh || 5 ἐν ταῖς χερσί μου Mh || 6 ὡς Ce || ὅτι inclusimus et ὑποδεῖξαι ... προενεγκεῖν scripsimus ὑποδείξῃ (-ξει Ca) ... προσενέγκῃ Ca Cc Ch || ἐὰν ἔμπνουν εἴπῃ, τὸ στρουθίον ἀποπνίξῃ, εἰ δ' ἄπνουν ἀποδείξει ζῶν Mh || ζῶντα τὸ στρουθίον δίξει Ce ἐπιδείξῃ αὐτῷ ζῶντα Cf || 7 προσενέγκῃ Ce Cf || 8 ὁ om. Mh || τὸ κακότεχνον αὐτοῦ καὶ τὴν πονηρὰν γνώμην Ce || Ὃ θέλεις Mh || 9 ὦ οὗτος om. Mh || ὦ οὗτος, ὡς θέλεις δεῖξον· ἐν σοὶ γάρ ἐστι τοῦ πρᾶξαι εἰ ἔμπνουν ἢ ἄπνουν· ὡς βούλει ὑποδείξου Ce || ἐστιν ἢ νεκρὸν ἢ ζῶν τὸ ἐξαγαγεῖν pro ἐστι τὸ... ἀπόδειξον τοῦτο Mh || τοῦτο πρᾶξαι Ch || ζῶντα τοῦτον ὑπόδειξον Cf || τοῦτο om. Cc.

Digitized by Google

Ὁ μῦθος δηλοῖ ὅτι τὸ θεῖον ἀπαρεγχείρητον καὶ ἀλάθητόν ἐστιν.

11 ἀπαρατήρητον Ce ἀπερεγχείρητον Cf || τὸ θεῖον ἀλάθητόν ἐστιν **Mh.**

Aliter.

Ἀνὴρ κακοπράγμων εἰς τὸν ἐν Δελφοῖς ἧκεν Ἀπόλλωνα, πειρᾶσαι τοῦτον βουλόμενος. Καὶ δὴ λαβὼν στρουθίον ἐν τῇ χειρὶ καὶ τοῦτο τῇ ἐσθῆτι σκεπάσας, ἔστη τε τοῦ τρίποδος ἔγγιστα καὶ ἤρετο τὸν θεὸν λέγων· « Ἄπολλον, ὃ μετὰ χεῖρας φέρω, πότερον ἔμπνουν ἐστὶν ἢ ἄπνουν ; » βουλόμενος [ὡς], εἰ μὲν ἄπνουν εἴποι, ζῶν ἀναδεῖξαι τὸ στρουθίον· εἰ δ' ἔμπνουν, εὐθὺς ἀποπνίξας νεκρὸν ἐκεῖνο προενεγκεῖν. Ὁ δέ γε θεὸς τὴν κακότεχνον αὐτοῦ γνοὺς ἐπίνοιαν, εἶπεν. « Ὁπότερον, ὦ οὗτος, βούλει ποιῆσαι, ποίησον· παρὰ σοὶ γὰρ κεῖται τοῦτο πρᾶξαι ἤτοι ζῶν ὃ κατέχεις ἢ νεκρὸν ὑποδεῖξαι. »

Ὁ μῦθος δηλοῖ ὅτι τὸ θεῖον ἀπαραλόγιστον καὶ ἀλάθητον.

Codd. La 16 Lb 15 Lc 8 Ld 7 Le 15 Lf 16 Lg 8 Ma 148 Mc 14 Md 15 Mi 50 Mj 18 Mk 15 Mm 15 Mn 7.

1 ἦλθεν Mc Md Mi Mk Mm Mn || **3** τε om. Mn || τοῦ om. Mc || τε τοῦ om. Mk || **4** ὦ Ἄπολλον Lg Ἄπολλον om. Ma Mc Mi Mk Mm Mn || **5** μετὰ χεῖρα Lb Lc Le Lf || φέρων Le || πότερον ἔμψυχον Lg. || ἐστὶν om. Ld Ma Mc Md Mi Mk Mn || **6** ὡς inclusi || ἐρεῖ pro εἴποι Mb || ζῆν Ma Mc Md || ἀναδείξει Mj ἐπιδεῖξαι Lg || **7** ἀποπνῖξαι Lg || **8** προσενεγκεῖν Lb Le Ma Mc Md Mm || γε om. Lc Mc || **9** ὦ οὗτος, ὁπότερον Ld || ὦ οὗτος, ἔφη Mk || κεῖται γὰρ La Lb Lc Lf Mi || τοῦτο γὰρ κεῖται Mj || παρὰ σοὶ κεῖται παρὰ σοὶ τοῦτο Lg || τοῦτο κεῖται Mk || ζῆν La Ld Lg || ὃ om. Ld || **11** ἀποδεῖξαι Ld Mn.

51

Ἀνὴρ κομπαστής.

Ἀνὴρ πένταθλος ἐπὶ ἀνανδρίᾳ ἑκάστοτε ὑπὸ τῶν πολιτῶν ὀνειδιζόμενος, ἀποδημήσας ποτὲ καὶ μετὰ χρόνον ἐπανελθών, ἀλαζονευόμενος ἔλεγεν ὡς πολλὰ καὶ ἐν ἄλλαις

Codd. Pa 34 Pb 33 Pe 1 Ma 25.

1 Ἀνὴρ πλούσιος ἐπὶ ἀνανδρίαν Ma || ἐπ' ἀνδρείᾳ Pe || **2** ἐλθὼν Pa || **3** πολλὰ μὲν Pa Pb.

Digitized by Google

πόλεσιν ἀνδραγαθήσας, ἐν τῇ Ῥόδῳ τοιοῦτον ἥλατο πήδημα ὡς μηδένα τῶν Ὀλυμπιονικῶν ἐφικέσθαι· καὶ τούτου μάρτυρας ἔφασκε παρέξεσθαι τοὺς παρατετυχηκότας, ἂν ἄρα ποτὲ ἐπιδημήσωσι. Τῶν δὲ παρόντων τις ὑποτυχὼν ἔφη πρὸς αὐτόν· « Ἀλλ', ὦ οὗτος, εἰ τοῦτο ἀληθές ἐστι, οὐδὲν δεῖ σοι μαρτύρων· αὐτοῦ γὰρ καὶ Ῥόδος καὶ πήδημα. »

Ὁ λόγος δηλοῖ ὅτι ὧν πρόχειρος ἡ δι' ἔργων πεῖρα, περὶ τούτων πᾶς λόγος περιττός ἐστι.

5 ὡς δὲ Ma || **6** τοὺς μάρτυρας Pa || ἔφη Pb ἔφασκε om. Pe || θέσθαι Pe πράξασθαι Ma || παρατέτυχηκότας ἄνδρας Pb || **7** ἐπιδημήσουσι Pe || Τῶν τῶνδε Pa || Εἷς δέ τις τῶν παρόντων λέγει αὐτῷ· Λέγε, ὦ οὗτος Pe || **8** Ἀλλ' om. Ma || ὦ φίλε Pb || ἐστι om. Pa || **9** οὐ δεῖ σε μαρτύρων· ἰδοὺ γὰρ Ῥόδος Pe || αὕτη γὰρ Ῥοδος Pb ὧδε Ῥόδος Ma. || **10** Ὧν πρόχειρον δι' ἔργων ἡ πεῖρα... Ma || ὡς pro ὧν Pe || **11** πᾶς ὁ λόγος Ma || ἐστι om. Pa.

Aliter.

Ἄνθρωπός τις ἀποδημήσας ἧκε πάλιν εἰς τὴν ἰδίαν χώραν. Φρυαττόμενος δὲ ἐκαυχᾶτο μεγάλως, ὡς ἀνδραγαθήσας εἰς διαφόρους τόπους· ἐν δὲ τῇ Ῥόδῳ ἔφασκε πήδημα μέγα πηδῆσαι, ὅπερ οὐδεὶς τῶν ἀνθρώπων δύναται πηδῆσαι, καὶ μάρτυρας ἔφασκεν ἔχειν εἰς τοῦτο. Τῶν δὲ παρόντων τις ὑπολαβὼν ἔφη αὐτῷ· « Ὦ οὗτος, εἰ τοῦτο ἀληθές ἐστιν, ἰδοῦ Ῥόδος, καὶ ἀποπήδησον. »

Ὁ μῦθος δηλοῖ ὅτι, ἐὰν μὴ πρόχειρος ᾖ πεῖρα τοῦ πράγματος, πᾶς λόγος ἀργός ἐστι.

Codd. Ca 30 Cc 21 Ce 19 Cf 22 Ch 21 Mh 24.

1 ἀποδημήσας καὶ πάλιν εἰς τὴν ἰδίαν χώραν ἀφικόμενος ἐκαυχήσατο Ce Cf || **2** ὡς ἐν διαφόροις ἀνδραγαθήσας τόποις Mh || **4** πηδῆσαι μέγα Mh || πηδήσας Ca || ἐπήδησε pro δύναται πηδῆσαι Mh || **6** εἰ τἀληθές Mh || καὶ Ῥόδος Mh || Ῥῶδας καὶ πήδησον Cf || ἰδοῦ καὶ πήδημα pro καὶ ἀποπήδησον Ce καὶ πήδημα Ch Mh || **8** ἡ pro ᾖ libri, fortasse ᾖ ἡ || **9** ἀργὸς περισσὸς Ca ἀργὸς καὶ περιττὸς Mh περισσός pro ἀργὸς Ch || ἐστι om. Cc || In Cc fabula contracta est ut sequitur Ἄνθρωπός τις ἀποδημήσας ἧκε πάλιν εἰς τὴν ἰδίαν χώραν. Φρυαττόμενος δὲ ἐν τῇ Ῥόδῳ ἔφασκε μέγα πηδήσας πήδημα. Τῶν παρόντων δέ τις ὑπολαβὼν ἔφη· « Ὦ οὗτος, ἰδοῦ Ῥόδος, ἰδοῦ πήδημα. »

Digitized by Google

Aliter.

Ἀνήρ τις ἀποδημήσας, εἶτα δὲ πάλιν πρὸς τὴν ἑαυτοῦ γῆν ἐπανελθών, ἄλλα τε πολλὰ ἐν διαφόροις ἠνδραγαθηκέναι χώραις ἐκόμπαζε, καὶ δὴ κἂν τῇ Ῥόδῳ πεπηδηκέναι πήδημα, οἷον οὐδεὶς τῶν ἐπ' αὐτοῦ δυνατὸς ἂν εἴη πηδῆσαι. Πρὸς τοῦτο δὲ καὶ μάρτυρας τοὺς ἐκεῖ παρόντας ἔλεγεν ἔχειν. Τῶν δὲ παρόντων τις ὑπαλαβὼν ἔφη· « Ὦ οὗτος, εἰ ἀληθὲς τοῦτ' ἔστιν, οὐδὲν δεῖ σοι μαρτύρων· ἰδοὺ Ῥόδος, ἰδοὺ καὶ πήδημα. »

Ὁ μῦθος δηλοῖ ὅτι, ἐὰν μὴ πρόχειρος ἡ τοῦ πράγματος ἀπόδειξις ᾖ, πᾶς λόγος περιττός ἐστι.

Codd. La 14 Lb 13 Ld 6 Le 13 Lf 14 Lh 7 Mc 9 Md 13 Me 23 Mf 23 Mi 48 Mj 15 Mk 10 Ml 13 Mm 13 Mn 6.

1 εἶτα πάλιν Ld Ml || **2** διαφόραις Mk || **3** χώρας Lh || **4** ἐπ' αὐτοῖς (-τῆς Mc) Ld Mc Md Mi Mk Mn|| εἴη πηδήσας Mi || **5** πρὸς γὰρ τοῦτο Le || ἔλεγεν ἔχειν τοὺς ἐκεῖ παρόντας Mc Md Mi Mk Mm Mn || **7** ἐστι τοῦτο Le || οὐ δεῖ Mn || σε Lh || **9** δηλοῖ om. Md Mi.

52

Ἀνὴρ μεσοπόλιος καὶ ἑταῖραι.

Ἀνὴρ μεσοπόλιος δύο ἐρωμένας εἶχεν, ὧν ἡ μὲν νέα ὑπῆρχεν, ἡ δὲ πρεσβῦτις. Καὶ ἡ μὲν προβεβηκυῖα αἰδουμένη νεωτέρῳ αὐτῆς πλησιάζειν, διετέλει, εἴ ποτε πρὸς αὐτὴν παρεγένετο, τὰς μελαίνας αὐτοῦ τρίχας περιαιρουμένη. Ἡ δὲ νεωτέρα ὑποστελλομένη γέροντα ἐραστὴν ἔχειν τὰς πολιὰς αὐτοῦ ἀπέσπα. Οὕτω τε συνέβη αὐτῷ ὑπὸ ἀμφοτέρων ἐν μέρει τιλλομένῳ φαλακρὸν γενέσθαι.

Οὕτω πανταχοῦ τὸ ἀνώμαλον ἐπιβλαβές ἐστι.

Codd. Pa 33 Pb 31 Ma 24.

1 μεσαιπόλιος Pb || ἡ μὲν μία νεανίς, ἡ δὲ ἄλλη πρεσβῦτις Ma || **2** ὑπῆρχεν om. Pb || **3** νεωτέραν αὐτῆς Ma || διετέλει καὶ... περιῃρεῖτο Pb Ma || πρὸς αὐτὰς Pa || **6** ἀπέσπασεν Ma || Καὶ οὕτω συνέβη ὑπ' ἀμφοτέρων αὐτὸν περιτιλλόμενον Pb || αὐτῷ om. Ma || **7** τιλλόμενον Ma || φαλακρότερον Pa || **8** βλαβερόν Ma.

Digitized by Google

Aliter.

Ἀνήρ τις μέσην ἔχων ἥβην δύο ἔσχεν ἑταίρας, μίαν μὲν γραῦν, τὴν δὲ ἑτέραν νέαν. Τούτου ἡ μὲν γραῦς τὰς μελαίνας τρίχας ἔτιλλεν, ὡς γέροντα τοῦτον θέλουσα, ἡ δὲ νέα τὰς πολιάς, ἕως [ἂν] αὐτὸν φαλακρὸν ἐποίησαν καὶ ὄνειδος ἁπάντων.

Ὅτι ἐλεεινός ἐστιν ὃς εἰς γυναῖκας ἐμπίπτει· ἡ γὰρ γυνὴ θαλάσσῃ ὁμοιοῦται, ποτὲ μὲν γαληνιῶσα καὶ προσμειδιῶσα, ποτὲ δὲ ἀποπνίγουσα.

Codd. Ba 15 Bb 10 Mg 26.

1 μέσων Bb || **2** Τούτοις Bb || **3** μέλανας Ba Mg || **4** ἂν inclusi || **6** Mg desinit in ἐμπίπτει. || **7** ὡμοίωται Ba.

Aliter.

Ἀνήρ τις μεσῆλιξ δύο ἔσχεν ἑταίρας. Ἡ μὲν οὖν αὐτῶν τῷ χρόνῳ προέκοπτεν, ἡ δὲ τῇ νεότητι ἤκμαζεν. Ἔτιλλεν οὖν ἡ μὲν γραῦς τὸ μελάγχρουν τῶν τριχῶν ἐκείνου τῆς κεφαλῆς καὶ τοῦ πώγωνος· ἡ τρυφερὰ δὲ πάλιν ἐθέριζε τὰς λευκάς. Οὕτω τοίνυν ποιοῦσαι ἀμφότεραι φαλακρὸν τὸν τρισάθλιον καὶ βρεφύλλιον ἀπειργάασντο, οἷος δὴ καὶ ἦν ταῖς φρεσίν.

Ὅτι ὀλέθριον τὸ γυναιξὶ δουλοῦν ἑαυτόν.

Cod. Bc 13.

Aliter.

Ἦν τις ἀμέριμνος καὶ τρυφαῖς σχολάζων.
Οὐκ ἦν πρεσβύτης, ἀλλ' οὐδὲ νέος πάλιν,
λευκὰς δὲ εἶχε καὶ μελαίνας τὰς τρίχας
ὁμοῦ μιγείσας. Ὡς δὲ ἀνὴρ μεσῆλιξ
ἐτύγχανεν, ἤρατο θηλειῶν δύο,
μιᾶς μὲν πρέσβεως, ἑτέρας δὲ νέας.

Codd. Pd 41 Pg 152 Ma 144.

1 Ὢν τις Pd || ἀμεριμνήσας Ma || ταῖς τροφαῖς Pd Ma || **2** πάλιν om. Pd || **2-3** πάλιν δὲ λευκὰς καὶ μελαίνας εἶχε τὰς τρίχας Pg || μέλανας τρίχας Pd || **4** Ὃς καὶ pro Ὡς δὲ Pg || δὲ om. Ma || ἀνὴρ μεσῆλιξ nos μεσῆλιξ ὢν ἀνὴρ (ὁ ἀν- Pg) libri || **5** ἐτύγχανεν om. Pg Ma || ἤρατο θηλειῶν δύο scripsi θηλειῶν ἀνὴρ δύο ἦν Pd ἠνέσχετο θηλειῶν δύο Pg ἐράσκετο δὲ θηλιῶν δύο Ma || **6** πρέσβεως (ex πρέσβις) scripsi πρεσβυτίδος libri.

Digitized by Google

Ὡς οὖν εἰσήρχετο πρὸς τὴν γραῦν, ἀπέσπα
καὶ ἔτιλλε τὰς μελαίνας αὐτοῦ τρίχας
συγγέροντα θέλουσα τοῦτον ὁρᾶσθαι.
Ὡς δὲ εἰσήρχετο πάλιν πρὸς τὴν νέαν,
ἐξέλεγε καὶ αὐτὴ τὰς λευκὰς τρίχας,
ἕως φαλακρὸν ἀπέδωκαν ἀλλήλαις.

Οὕτως ἀνόητός ἐστιν ὁ ἀνὴρ ὁ γυναιξὶν ἑαυτὸν ἐκδοῦναι θέλων.

7 Ὡς οὖν εἰσήρχετο πρὸς τὴν γραῦν ἀπέσπα **scripsi** Εἰσήρχετο οὖν (δὲ **Pg**) π- τ- γ- καὶ ἔτιλλε **Pd Pg** ὡς ἤρχετο δὲ π- τ- γ- ἔτιλλε **Ma** || **8** μέλανας **Pd** || αὐτοῦ **om. Pd** || **9** σὺν γέροντι **Pg** ὁμήλικα θέλουσα ὁρᾶσθαι τοῦτον **Pd** || **11** ἔτιλλε **pro** ἐξέλεγε **Pg** || καὶ **om. Ma** || τὰς λευκὰς αὐτοῦ **Pd** || **12** φαλακρὸν αὐτὸν **Ma** || **post** ἀλλήλαις **Ma addidit** καὶ τὰ μίαν αἴρουσαι τρίχα (**lege** κατὰ μίαν) || **13** Διδάσκει ἡμᾶς ὁ μῦθος **Pg Ma** || ἐστιν ἀνὴρ **Ma** || θέλων ἐκδοῦναι **Pg.**

Aliter.

ρατιο ὄνομα ἐν ταῖς τρυφαῖς σχολάζων
οὐκ ἦν πρέσβυς, ἀλλ' οὐδὲ παλινέος·
λευκὰς γὰρ εἶχε καὶ μελένας τὰς τρίχας,
ὅμως μελισὸς καὶ μὴ σηλινὸς τυγχάνων.
Δύο γυναῖκας ἔσχεν ἐπὶ τοῦ οἴκου,
τὴν μὲν μίαν γραῦ, τὴν δὲ ἑτέραν νέαν.
Ταύτην οὖν ἡ γραῦ πηθοῦσα καὶ θέλουσα
ἔτειλεν αὐτοῦ τὰς μελαίνας τρίχας,
αὐτὸν θέλοντα γερώει ὅλως εἶναι,
μή πως ὡς γραῦ αὐτὴν κατονιδήσει.
Τὰς δὲ πολιὰς ἐξέτειλεν ἡ κόρη,
ὡς μὴ θέλωντα τοῦτον γέροντα εἶναι,
ἕως φαρακλῶν ἐποίησαν οἱ δύο,
γέλιον ὅμου καὶ ὄνειδος ἁπάντων.

Ὅτι κρείττων ἐστὶν τοὺς γεγηρακότας ἀπέχεσθαι τῶν νετέρων, ὅμως φεύγειν πάντας τὰς γυναῖκας· τὸ γὰρ γυναικῖον γένος θαλασσιωνιοῦται, ποτὲ γαλὺν ἢ ἀμειδιῶσα, ποτὲ δὲ ἀπατοῦσα ἀπεπνήγει.

Codd. **Cb** 108 **Ca** 199 (**truncus**). **Hanc fabulam descripsi talem qualis est in Cb, praeclarum exemplum inscitiae scribarum.**

1 Ὤρτις ὄνομα **Ca** || **2** πρεσβύτης **Ca** || νέος πάλιν **Ca** || **3** μελαίνας **Ca** || **4** μελισσὸς καὶ μεσῆλιξ **Ca** || **5** ἐν τῇ οἰκίᾳ **Ca** || **6** ἡ μὲν μία γραῦς, ἡ δὲ ἑτέρα νέα : **hic desinit fabula in Ca.**

Digitized by Google

53

Ἀνὴρ ναυαγός.

Ἀνὴρ πλούσιος Ἀθηναῖος μεθ' ἑτέρων τινῶν ἔπλει. Καὶ δὴ χειμῶνος σφοδροῦ γενομένου καὶ τῆς νηὸς περιτραπείσης, οἱ μὲν λοιποὶ πάντες διενήχοντο, ὁ δὲ Ἀθηναῖος παρ' ἕκαστα τὴν Ἀθηνᾶν ἐπικαλούμενος μυρία ἐπηγγέλλετο, εἰ περισωθείη. Εἷς δέ τις τῶν συνναυαγηκότων παρανηχόμενος ἔφη πρὸς αὐτόν· « Σὺν Ἀθηνᾷ καὶ σὺ χεῖρα κίνει. »

Ἀτὰρ οὖν καὶ ἡμᾶς μετὰ τῆς τῶν θεῶν παρακλήσεως χρὴ καὶ αὐτούς τι ὑπὲρ αὐτῶν λογιζομένους δρᾶν.

Ὅτι ἀγαπητόν ἐστι καὶ ἐνεργοῦντας θεῶν εὐνοίας τυγχάνειν ἢ ἑαυτῶν ἀμελοῦντας ὑπὸ τῶν δαιμόνων περισῴζεσθαι.

Τοὺς εἰς συμφορὰς ἐμπίπτοντας χρὴ καὶ αὐτοὺς ὑπὲρ ἑαυτῶν κοπιᾶν καὶ οὕτω τοῦ θεοῦ περὶ βοηθείας δέεσθαι.

Codd. Pa 32 Pb 30 Pc 11 Pf 17 Ph 18 Ma 23 Me 17 Mf 17.

2 νεὼς Pc || ἐπιτραπείσης Ma || **3** ἐνήχοντο Pc || **4** παρ' ἕκαστα om. Ma || ἐπήγγελλε Pc || **5** εἰ περισωθείη Ma ἂν περισωθείη Pa Pb Pc ἐὰν περισωθῇ Pf Ph Me ἐὰν σωθῇ Mf || συννεναυγηκότων Pf Ma συνεόντων Pc συναυαγηκότων Ph || **6** παρακολυμβῶν εἶπε Ma || Σὺν Ἀθηνᾷ, ἔφη πρὸς αὐτὸν Pc || σὺ χεῖρα nos χεῖρα σὺ Pa σὺ τὰς χεῖρας Pb σὺ om. Pc Ph Me Mf σὺ κινεῖ χεῖρα Ma || **8** Ἅτε Pf Me Mf || Δεῖ γὰρ καὶ ἡμᾶς μετὰ τῆς τῶν θεῶν παρακλήσεως τι καὶ περὶ αὐτῶν ἀνενέγκαι Ma || Ἀτὰρ .. ἡμᾶς om. Ph et duo prima epimythia adnectit sic narrationi post κινεῖ: μετὰ γὰρ τῆς τῶν θεῶν ... δρᾶν· ἀγαπητὸν γὰρ οὕτω τῆς τῶν θεῶν... περισῴζεσθαι Ph || **10** ἐστὶ om. Pa || ἐνεργοῦντας nos εὐεργετοῦντας Pa Pc Ph Ma εὐεργοῦντας Pf εὖ ἐρέττοντας omisso καὶ Me Mf || θεοῦ Pc || **13** ἀεὶ pro εἰς Ph || **14** καὶ εἶθ' οὕτως Pf Me Mf || Tertium epim. deest in Pa Pc; secundum et tertium desunt in Pb Ma.

Digitized by Google

54

’Ανὴρ πηρός.

’Ανὴρ πηρὸς εἰώθει πᾶν τὸ ἐπιτιθέμενον εἰς τὰς αὐτοῦ χεῖρας ζῷον ἐφαπτόμενος λέγειν ὁποῖόν τί ἐστι. Καὶ δή ποτε λυκιδίου αὐτῷ ἐπιδοθέντος, ψηλαφήσας καὶ ἀμφιγνοῶν εἶπεν· « Οὐκ οἶδα πότερον λύκου ἐστὶν ἢ ἀλώπεκος ἢ τοιούτου τινὸς ζῴου γέννημα· τοῦτο μέντοι σαφῶς ἐπίσταμαι ὅτι οὐκ ἐπιτήδειον τοῦτο τὸ ζῷον προβάτων ποίμνῃ συνιέναι. »

Οὕτω τῶν πονηρῶν ἡ διάθεσις πολλάκις καὶ ἀπὸ τοῦ σώματος καταφαίνεται.

Codd. Pa 38 Pb 37 Pd 23 Pe 5 Pg 19 Ma 28 Ca 17.

1 ’Ανὴρ προσεθεσθεὶς omisso πηρός Ma || εἴωθε Pg || προσειώθη πᾶν τότε ἐπιτιθέμενον γὰρ ἐπὶ τὰς χεῖρας αὐτοῦ ζῶόν τι ἐφαπτόμενον αὐτοῦ ἔλεγεν ὁποῖόν ἐστι Pe || παντὸς τοῦ ἐπιτιθεμένου εἰς τὰς χεῖρας αὐτοῦ ζώου Pd || τὰς χεῖρας αὐτοῦ (-τῷ Pb) Pb Pg Ma. || **2** ζῷον om. Ma || ποῖόν ἐστι Ma || τί om. Pd || ἐστι om. Pa || **3** λυκίδου Pa λυκιδέως Ma || αὐτὸ Pe || ἀμφιγνοὺς Pb Pe γνοῶν Pd || **4** πότε pro πότερον Pe || λύκου Lessing κυνὸς libri || ἐστιν scripsi, om. Pe Pg εἴη ceteri || **5** τι τοιούτου ζώου Pg || τινὸς om. Ca Ma || οὕτω μέντοι Pd οὕτω μὲν σαφῶς τι Pe τούτω μέν τι Ma || **6** τὸ ζῶον τοῦτο Pe || πρόβατον ποίμνης Pa || εἰς προβάτων ποίμνην εἰσιέναι Pe || **7** συνεῖναι Pd Pg εἰσιέναι Pe || **8** ‛Ο λόγος λέγει ὅτι Pe || Οὕτως ἡ πονηρὰ διάθεσις Pg || τῶν om. Ca || πονηρῶν ἀνθρώπων Pd || καὶ om. Ma Ca || τῶν σωμάτων Pe διὰ τοῦ σώματος Ma || **9** φαίνεται Pd Pe Ma Ca.

55

’Ανὴρ φέναξ.

’Ανὴρ πένης νοσῶν καὶ κακῶς διακείμενος ηὔξατο τοῖς θεοῖς ἑκατὸν βόας τελέσειν, εἰ περισώσειαν αὐτόν. Οἱ δὲ

Codd. Pa 30 Pb 28.

1 τῷ θεῷ Pa || **2** ἑκατόμβην τελέσαι Pb.

ἀπόπειραν αὐτοῦ ποιήσασθαι βουλόμενοι ῥαΐσαι τάχιστα αὐτὸν παρεσκεύασαν. Κἀκεῖνος ἐξαναστάς, ἐπειδὴ ἀληθινῶν βοῶν ἠπόρει, στεατίνους ἑκατὸν πλάσας ἐπί τινος βωμοῦ κατέκαυσεν εἰπών· « Ἀπέχετε τὴν εὐχήν, ὦ δαίμονες. » Οἱ δὲ θεοὶ βουλόμενοι αὐτὸν ἐν μέρει ἀντιβουκολῆσαι ὄναρ αὐτῷ ἔπεμψαν, παραινοῦντες ἐλθεῖν εἰς τὸν αἰγιαλόν· ἐκεῖ γὰρ αὐτὸν εὑρήσειν ἀττικὰς χιλίας. Καὶ ὃς περιχαρὴς γενόμενος δρομαῖος ἧκεν ἐπὶ τὴν ἠιόνα. Ἔνθα δὴ λησταῖς περιπεσὼν ἀπήχθη, καὶ ὑπ' αὐτῶν πωλούμενος εὗρε δράχμας χιλίας.

Ὁ λόγος εὔκαιρος πρὸς ἄνδρα ψευδολόγον.

6 κατέκαυσεν Schneider κατεσκεύασεν Pa κατεσκήνωσεν Pb || τὰς εὐχάς Pa || **9** ἐκεῖ γὰρ εὑρήσει Pb || **10** Καὶ ὡς Pa || **11** περιτυχὼν Pb || **13** Ὁ om. Pa.

Aliter.

Ἀνὴρ πένης νοσῶν ηὔξατο τοῖς θεοῖς λέγων ὅτι « ἐὰν ὑγιάνω, ἑκατὸν βόας προσάξω ὑμῖν εἰς θυσίαν. » Οἱ δὲ πειράζειν αὐτὸν βουλόμενοι ῥᾴδιον ὑγιῆ αὐτὸν ἀποκατέστησαν. Ἐξαναστὰς οὖν ὁ ἄνθρωπος, ἐπειδὴ βοῶν ἠπόρει, στεατίνους ἑκατὸν ποιήσας βόας ἐπὶ τοῦ βωμοῦ κατέκαυσεν εἰπών· « Ὦ δαίμονες, ἰδοὺ τὴν εὐχὴν ἀπετέλεσα. » Οἱ δὲ θεοὶ βουλόμενοι αὐτὸν ἀνταμύνασθαι, ὄναρ

Codd. Ca 36 Cb 23 Cc 27 Cd 23 Cf 28 Ch 30 Mc 27 Mh 30 Mk 28 (Extrema pars fabellae decidit).

1 Πένης τις νοσῶν Cc Ἀνήρ τις νοσῶν πένης Mh || τοῖς θεοῖς ηὔξατο· Ἐὰν ὑγιάνω, τοῖς θεοῖς ἑκατὸν βόας εἰς θυσίαν προσάξω Cc || **2** ὑγιὴς γένωμαι Cd ὑγίαν οἴδω Cf || προσθήσω Cb Mc || εἰς θυσίαν ὑμῖν προσοίσω Cd προσφέρω ὑμῖν θυσίας Ch θύσω ὑμῖν omisso εἰς θυσίαν Mk || προσφέρω Cf || **3** πειρᾶσαι Cb Cd Ch Mc Mk || ῥᾴδιον om. Mc || ὑγιῆ αὐτὸν om. Ca Cc || ὑγιῆ om. Cf || αὐτὸν ἀπεκατέστησαν ὑγιῆ Mh || ἀποκατέστησαν Cc Mk ἀπεκαστέστησαν ceteri || **4** Ἀναστὰς Cf Mh || Ἐξαναστὰς οὖν ὁ ἄνθρωπος om. Cc || Καὶ ἐπειδή Cc || ἠπόρει βοῶν, ξυλίνους ἑκατὸν βόας ποιήσας ἐπὶ τὸν βωμὸν ἀνήγκεν Mh || **5** ὥστε ἅτινα βόας ποιήσας ρ̃ Cb ὁ στεατίνους βόας ποιήσας ρ̃ Cd ὁ στεατίνους βόας ποιήσας ἑκατὸν Mc Mk στεατίνους βόας ἑκατὸν ποιήσας Ch || ἐπὶ τὸν βωμὸν Cc || **6** κατέκαυσεν Furia κατέκαψεν Ca Cc κατεκάλυψεν Cb Cd Ch κατέκαμψεν Cf κατέλειψεν Mc Mk || ἐπέτελεσα Cf || **7** θεοὶ om. Cc Mh || ἀμύνασθαι Cd Mc Mk || κατ' ὄναρ Cb Cd.

ἐπιστάντες αὐτῷ εἶπον· « Ἄπελθε εἰς τὸν αἰγιαλόν, εἰς τόνδε τὸν τόπον, καὶ εὑρήσεις ἐκεῖσε χρυσίου τάλαντα ἑκατόν. » Ὁ δέ, ἔξυπνος γενόμενος, μετὰ πολλῆς χαρᾶς κατῆλθεν εἰς τὸν ὑποδειχθέντα αὐτῷ τόπον δρομαῖος ψηλαφῶν τὸ χρυσίον. Περιπεσὼν δὲ ἐκεῖσε λησταῖς συνελήφθη ὑπ' αὐτῶν. Ὁ δὲ παρεκάλει αὐτοὺς λέγων· « Ἀφετέ με, καὶ ἐπιδώσω ὑμῖν χρυσίου χίλια τάλαντα. »

Ὁ μῦθος δηλοῖ ὅτι οἱ ψευδεῖς τῶν ἀνθρώπων ἐχθραίνουσι τὸ θεῖον.

8 εἰπὼν αὐτῷ Mh || Ἄπελθε ... τόπον om. Cb Cd || **9** εὑρήσεις ἑκατὸν χρυσίου τάλαντον Cf || ἐκεῖ Mc Mk || **10** Ὁ δὲ ἔξυ hic desinit Mh || Pro Ὁ δὲ ἔξυπνος usque ad finem habet Cc Ὁ δὲ δρομαίως εἰς τὸν τόπον παραγενόμενος, περιπεσὼν ἐκεῖσε λησταῖς ὑπ' αὐτῶν καὶ ἀπώλετο. || **11** ἦλθεν Ca Cc Cf || εἰς τὸν τόπον τὸν (τὸν om. Cd) ὑποδειχθέντα αὐτῷ Cb Cd || τόπον αὐτῷ Mc Mk || δρομαίως Cb Cc Cf Ch Mc || **12** τῷ χρυσίῳ Mc || Περιτυχὼν Cb Cd Ch Mc παρατυχὼν Cf || ληστὰς Cb Cf || συνελάβοντο αὐτόν Cb Cf Mc συνέλαβον αὐτὸν αὐτόν Cd || **13** Καὶ παρεκάλει Mk || αὐτοῖς Cf Mc || **14** ἐπιδίδω Ca δώσω Mk || χρυσίου om. Cf || τάλαντα χίλια Cb Mc ταλαντα α̣ Cd. || **15** Ὁ λόγος Cd || ψευδόμενοι Cd.

Aliter.

Ἀνὴρ πένης νοσῶν ηὔξατο τοῖς θεοῖς, εἰ διασωθείη, βοῦς ἑκατὸν εἰς θυσίαν προσοίσειν. Οἱ δὲ θεοὶ πειρᾶσαι τοῦτον βουλόμενοι τοῦ πάθους ἀπήλλαξαν. Ὁ δ' ἀναστάς, ἐπειδὴ βοῶν ἠπόρει, στεατίνους βοῦς ἑκατὸν πλάσας, ἐπὶ τοῦ βωμοῦ θεὶς ὡλοκαύτωσεν. Οἱ δὲ θεοὶ βουλόμενοι αὐτὸν ἀμύνασθαι, ὄναρ ἐπιστάντες αὐτῷ εἶπον· « Ἄπελθε εἰς τὸν αἰγιαλόν, εἰς τόνδε τὸν τόπον· ἐκεῖ δὲ ἀττικὰς χιλίας

Codd. La 18 Lb 17 Lc 54 Le 17 Lf 18 Lg 54 Ma 149 Md 17 Me 24 Mf 24 Mg 9 Mi 52 Mj 20 Ml 14 Mm 17.

2 προσάγειν Mj || πειρᾶσθαι Lc πειρᾶσαι om. Le || **4** βοῦν ἠπόρει Mj || ἑκατὸν βοῦς πλάσας Lc Lg Ma Md Mi || **5** βουλευσάμενοι Lb Lc Lg Ma Mj Ml. Post βουλόμενοι uel βουλευσάμενοι reliqua desunt in Lb Le excepto epimythio. In Mj reliqua sic contracta sunt : τοῦτον ἀπώλεσαν ὡς ψευδόμενον || **6** ἀνταμείψασθαι Ml || καὶ ὄναρ ἐπιστάντες κελεύουσι πρὸς τόνδε τὸν (τὸν om. Md) αἰγιαλὸν αὐτὸν ἀφικέσθαι· ἐκεῖ γὰρ αὐτίκα χρυσίου χιλίας (χιλίας in margine Lg) δραχμὰς εὑρήσειν. Διυπνισθεὶς (δειπνισθεὶς correctum in margine ἐξυπνισθεὶς Lg) οὖν καὶ τὸν ὑποδειχθέντα τόπον καταλαβὼν αἴφνης πειραταῖς ἐκεῖσε περιτυχὼν ὑπ' αὐτῶν συνελήφθη (συνελήθη Ma). Lc Lg Ma Md Mi Mm. Hic finis est in his codicibus. || **7** ἐκεῖ γὰρ ... εὑρήσειν Lf Me Mf ἐκεῖ γὰρ λίτρας ἀττικὰς χρυσίου χιλίας εὑρήσεις Ml || δὲ om Lf Me Mf.

Digitized by Google

εὑρήσεις ». Ἐκεῖνος δὲ διυπνισθεὶς σὺν ἡδονῇ καὶ σπουδῇ πρὸς τὸν ὑποδειχθέντα τόπον ἀφίκετο τὸ χρυσίον διερευνῶν. Ἐκεῖ δὲ δὴ πειραταῖς περιτυχὼν ὑπ' αὐτῶν συνελήφθη. Ἁλοὺς δὲ ἤδη ἀφεθῆναι τῶν πειρατῶν ἐδεῖτο, χίλια χρυσίου τάλαντα δώσειν αὐτοῖς ὑπισχνούμενος. Ὡς δ' οὐκ ἐπιστεύετο, ἀπαχθεὶς ὑπ' αὐτῶν ἀπημπολήθη χιλίων δραχμῶν.

Ὁ μῦθος δηλοῖ ὅτι τοῖς ψευδέσι τῶν ἀνθρώπων ἐχθραίνει τὸ θεῖον.

10 Ml desinit in συνελήφθη || 13 Ἀπαχθεὶς δὲ ὑπ' αὐτῶν καὶ ἀπεμπολη θεὶς εὗρε χιλίας δραχμὰς omisso Ὡς δ' οὐχ ἐπιστεύετο Lf Me Mf || 15 Ὅτι Me Mf || ψευδέσιν ἀνθρώποις Le.

56

Ἀνθρακεὺς καὶ γναφεύς.

Ἀνθρακεὺς ἐπί τινος οἰκίας ἐργαζόμενος, ὡς ἐθεάσατο γναφέα αὐτῷ παροικισθέντα, προσελθὼν παρεκάλει αὐτόν, ὅπως αὐτῷ σύνοικος γένηται, διεξιὼν ὡς οἰκειότεροι ἀλλήλοις ἔσονται καὶ λυσιτελέστερον διάξουσι μίαν ἔπαυλιν οἰκοῦντες. Καὶ ὁ γναφεὺς ὑποτυχὼν ἔφη· « Ἀλλ' ἔμοιγε τοῦτο παντελῶς ἀδύνατον· ἃ γὰρ ἐγὼ λευκανῶ, σὺ ασβολώσεις. »

Ὁ λόγος δηλοῖ ὅτι πᾶν τὸ ἀνόμοιον ἀκοινώνητόν ἐστι.

Codd. Pa 31 Pb 29 Pc 10 Pd 22 Ph 17 Ma 22 Mb 10.

1 τόπου οἰκίας Ph || οἰκίαν Pa || ὡς om. Ph || καὶ θεασάμενος Pb || 2 τὸν γναφέα Pc || κναφέα Pd Ph || προσελθόντα, omisso παροικισθέντα Pa || καὶ προσελθὼν Ph || 3 ἵνα σύνοικος γένηται Ph || σύνοικος αὐτῷ Pb || καὶ διεξιὼν Pa Pc || γένηται· οὕτω γὰρ οἰκειότεροι ἀλλήλοις ἔσονται Mb || οἰκειότερον Pc Pd || 4 λυσιτελέστεροι Pb || διάξουσι Pd Ph Ma διάζουσι Pa διὰ Pb διεξίουσι Pc διέξουσι Mb || ἐπαύλην Pa ἐπάλλην Pa[2] αὐλὴν Ph || 5 κναφεὺς Pd Ph || ὑπολαβὼν Mb || εἶπεν Pd || ἔφη πρὸς αὐτὸν Pb || Ἀλλ' ἐμοὶ Ph || 6 παντελῶς τοῦτό ἐστιν Pb παντελῶς ἐστι τοῦτο Ma || πάντως Pd παντελῶς om. Ph || ὃ γὰρ Pb || λευκαίνω Pd || ἀσβολήσεις Pb Pc Ma ἀσβολεῖς Pd || 8 Ὅτι Pd Ph || ὅμοιον Pa || καὶ ἀκοινώνητον ὑπάρχει Ph || ἐστι om. Pa.

Digitized by Google

Aliter.

Ἀνθρακεὺς ἐπί τινος οἰκίας κατοικῶν, ὡς ἐθεάσατο γναφέα, παρεκάλει αὐτὸν ἐν τῷ ἅμα κατοικῆσαι ἀμφοτέρους. Καὶ ὁ γναφεὺς ὑπολαβὼν ἔφη· « Ἀλλ' ἔγωγε παντελῶς πρᾶξαι τοῦτο οὐ δύναμαι. » Τοῦ δὲ πυνθανομένου δι' ἣν αἰτίαν, ἔφη· « Φοβοῦμαι μήπως ἃ ἐγὼ λευκαίνω, σὺ ἀποτεφροῖς. »
Ὁ μῦθος δηλοῖ ὅτι πᾶν τὸ ἀνόμοιον ἀκοινώνητον.

Codd. Ca 27 Cb 19 Cd 19 Ce 55 Cf 59 Ch 26 Mh 19.

1 Ἄνθραξ .. οἰκῶν θεασάμενος Mh || **2** κναφέα Cd Mh γνάφεαν Ce || κατοικεῖν Mh || **3** Ὁ δὲ κναφεὺς Mh || Φοβοῦμαι ἀλλ' ἔγωγε Cf || ἐγὼ Cd || **4** τοῦτο πρᾶξαι Ce Cf Mh || **5** ἀσβολώνῃς ταῦτα Cb Cd Ce Cf ἀσβολόσῃς ταῦτα Mh ἀσβόλου πλήσῃς Ch || **7** Ὁ λόγος Cd || ἄνομον Mh

Aliter.

Ἀνθρακεὺς ἐπί τινος οἰκῶν οἰκίας ἠξίου καὶ κναφέα παραγενόμενον αὐτῷ συνοικῆσαι. Ὁ δὲ κναφεὺς ὑπολαβὼν ἔφη· « Ἀλλ' οὐκ ἂν τοῦτο δυναίμην ἔγωγε πρᾶξαι· δέδια γὰρ μή πως ἅπερ ἐγὼ λευκαίνω, αὐτὸς ἀσβόλης πληροῖς. »
Ὁ μῦθος δηλοῖ ὅτι πᾶν τὸ ἀνόμοιον ἀκοινώνητον.

Codd. La 12 Lb 11 Lc 7 Ld 5 Le 11 Lf 12 Lg 7 Mc 13 Md 11 Me 22 Mf 22 Mi 46 Mk 14 Ml 11 Mm 11 Mn 5.

1 ἐπί τινος οἶκον omisso οἰκίας Lc || γναφέα et γναφεύς Lb Lc Le Lf Lg Md Me Ml Mm || **2** παραγινόμενον Ld || **3** ἔφη· Ὦ οὗτος Mn || δέδοικα Mk || **4** πλήρη ποιῇς Mk.

57

Ἄνθρωποι καὶ Ζεύς.

Λέγουσι πρῶτον τὰ ζῷα πλασθῆναι καὶ χαρισθῆναι αὐτοῖς παρὰ θεοῦ, τῷ μὲν ἀλκήν, τῷ δὲ τάχος, τῷ δὲ πτερά, τὸν δὲ ἄνθρωπον γυμνὸν ἑστῶτα εἰπεῖν· « Ἐμὲ μόνον κατέλιπες ἔρημον χάριτος· » τὸν δὲ Δία εἰπεῖν· « Ἀνεπαίσθητος εἶ τῆς δωρεᾶς, καίτοι τοῦ μεγίστου

Cod. Ba 87.

4 κατέλιπες nos καταλιπεῖν cod. || **5** ἀνεπαισθήτως cod.

Digitized by Google

τετυχηκώς· λόγον γὰρ ἔχεις λαβών, ὃς παρὰ θεοῖς δύναται καὶ παρὰ ἀνθρώποις, τῶν δυνατῶν δυνατώτερος καὶ τῶν ταχίστων ταχύτερος.» Καὶ τότε ἐπιγνοὺς τὸ δῶρον ὁ ἄνθρωπος προσκυνήσας καὶ εὐχαριστήσας ᾤχετο.

Ὅτι, ἐκ θεοῦ λόγῳ τιμηθέντων πάντων ἀνεπαισθήτως ἔχουσί τινες τῆς τοιαύτης τιμῆς καὶ μᾶλλον ζηλοῦσι τὰ ἀναίσθητα καὶ ἄλογα ζῷα.

6 λόγῳ nos λογικῶν cod.

58

Ἄνθρωπος καὶ ἀλώπηξ.

Ἀλώπεκά τις ἐχθρὰν ἔχων ὡς βλάπτουσαν αὐτόν, κρατήσας καὶ θέλων ἐπὶ πολὺ τιμωρήσασθαι, στυππεῖα ἐλαίῳ βεβρεγμένα τῇ οὐρᾷ προσδήσας ὑφῆψε. Ταύτην δὲ δαίμων εἰς τὰς ἀρούρας τοῦ βαλόντος ὡδήγει· ἦν δὲ καιρὸς τοῦ ἀμήτου. Ὁ δὲ ἠκολούθει θρηνῶν μηδὲν θερίσας.

Ὅτι πρᾷον εἶναι χρὴ καὶ μὴ ἀμέτρως θυμοῦσθαι· ἐξ ὀργῆς γὰρ πολλάκις βλάβη γίνεται μεγάλη τοῖς δυσοργήτοις.

Codd. Ba 9 Bb 6 Mg 23.

1 αὐτῷ Bb || **2** στυππία Ba Bb στυπία Mg || **7** τύχη βλάϐην (τύχην βλάϐη Bb) γίνεσθαι (γίγ- Bb) μεγάλην Ba Bb.

Aliter.

Ἀνήρ τις ἐχθραίνων ἀλώπεκι διά τινα ταύτης ῥᾳδιουργίαν, ἐπὶ πολὺ ταύτην, μετὰ τὸ κατασχεῖν, τιμωρῆσαι ἐμηχανήσατο καὶ στυππεῖον ἐλαίῳ βαπτίσας, τῇ κέρκῳ ταύτης προσδήσας ὑφῆψε πυρί. Ταύτην δὲ ὁ δαίμων εἰς τὰς ἀρούρας τοῦ ποινητῆρος καὶ τοὺς ἄγρους καθωδήγησεν, ἃ δὴ καὶ κατέκαυσεν· ὥρα γὰρ ἦν θέρους ἀκμαιότητος. Ἠκολούθει τοίνυν αὐτῇ βοῶν ὁ ταλαίπωρος ἑαυτόν τε ὀδυρόμενος καὶ τῆς οἰκείας ἐπινοίας καταμεμφόμενος.

Ὅτι πρᾷον εἶναι χρὴ καὶ μὴ ἀμέτρως θυμοῦσθαι· ἐξ ὀργῆς γὰρ πολλάκις μεγίστη βλάβη τοῖς δυσοργίστοις ἐγγίνεται.

Cod. Bc 8.

3 στυπίον cod. || **4** ὑφῆψαι cod.

Digitized by Google

59

Ἄνθρωπος καὶ λέων ⟨συνοδεύοντες⟩.

Ποτὲ ὥδευσε λέων ἅμα ἀνθρώπῳ.
Ἐκαυχῶντο δὲ πρὸς ἀλλήλους τοῖς λόγοις.
Ἐν δὲ τῇ ὁδῷ εὗρον πετρίνην στήλην
ἀνδρὶ λέοντα συμπνίγοντι ὁμοίαν.
Καὶ ὁ ἄνθρωπος ὑποδείξας ταῦτ' ἔφη·
« Ἴδε πῶς ἐσμεν κρείττονες ὑμῶν πάντων
καὶ ῥωμαλέοι ὑπὲρ ἅπαν θηρίον. »
Ὑπολαβὼν δὲ ὁ λέων οὕτως ἔφη·
« Ἐφ' ὑμῶν ἐστι ταῦτα ποιεῖν καὶ πράττειν·
εἰ γὰρ ᾔδεισαν λέοντες γλύφειν λίθους,
πολλοὺς ἂν εἶδες ὑποκάτω λεόντων. »

Ὁ μῦθος δηλοῖ ὅτι πολλοὶ καυχώμενοι πειρῶνται ἐν λόγοις ἑαυτοὺς ἐπιφημίζειν, καίπερ μὴ ὄντες τοιοῦτοι.

Codd. Cg 32 Ch 107 Ca 169 Cb 87 Cd 101 (hanc fabulam in uersus restitui).

1 Ποτὲ συνώδευσε λέων ἀνθρώπῳ. Ἐκαυχῶντο οὖν Ca Ποτὲ ὁ λέων ἅμα ἀνθρώπῳ ἐκαυχῶντο δὴ Cb || ὥδευε Cd Ch || **3** Εὗρον δὲ ἐν τῇ ὁδῷ Ca || ἴδον (ἰδοῦ Cd Ch εὑρὼν Cg) πετρίνη στήλη Cg Ch Cb Cd ex Cg εὗρον πετρίνην στήλην emendaui || **4** ὅμοιον ἀνδρὸς (ἀνδρὶ Cg) τὸν λέοντα (τῷ λέοντι Cg Cd Ch) συμπνίγων Cb Cd Cg Ch, unde refeci uersum sicut est in textu) ὁμοίαν ἀνδρὶ ἑτέραν στήλην λέοντος συμπνίγουσαν Ca || **5** Καὶ ὁ ἄνθρωπος ὑποδείξας πρὸς αὐτὸν ταῦτα ἔφη Ca πρὸς αὐτὸν seclusi || Ὃς ὑποδείξας πρὸς αὐτὸν ταῦτα ἔφη Cg Ch Cb Cd || **6** Ἴδες Cb || **7** ῥωμαλαιότεροι Cd || **8** Τοῦτον δ' ἀμειβόμενος ἔφησε λέων Cd || οὕτως om. Ca || **9** Ἐφ' ὑμῶν ἐστι scripsi Ὑφ' ὑμῶν (ἡμῶν Ca) εἰσι libri || οὕτω ταῦτα γινόμενα καὶ πραττόμενα Ca || ποιεῖς καὶ πράττην Cb || **10** εἰ γὰρ εἰ δὴ γὰρ λέωστες Cb || ᾔδεισαν Cg Ch εἴδησαν Ca Cd || γλύφης τοὺς λίθους Cd || **12** Epim. secundum Ca dedi. Ὅτι πειρῶνται πολλοὶ καυχώμενοι ἐν λόγοις ἀνδρίους ἑαυτοὺς ποιοῦντες καὶ περιμὴ ὄντες (lege καίπερ μὴ ὄντες) Cb Ὁ λόγος οὗτος δηλοῖ ὅτι οἱ ἐν λόγοις καυχώμενοι πειρῶνται ἀνδρείους ἑαυτοὺς ἀποφαίνειν, εἰ καὶ τῇ φύσει χαῦνοι τυγχάνουσιν Cd Ὅτι πολλοὶ οἱ καυχώμενοι ἐν λόγοις ἀνδρείους ἑαυτοὺς ποιεῖν, καίπερ μὴ ὄντες Cg || πειρῶνται καυχώμενοι ἐν λόγοις ἀνδρείους ἑαυτοὺς ποιεῖν, καίπερ μὴ ὄντες Ch.

Digitized by Google

Aliter.

Λέων ὁδεύων ποτὲ μετὰ ἀνθρώπου,
ὁμοθυμαδὸν ἐκαυχῶντο τοῖς λόγοις.
Ἐν δὲ τῇ ὁδῷ ἰδοῦ πετρίνη στήλη
ἀνθρώπου ὃς λέοντα πατῶν εἱστήκει.
Ἀνὴρ δὲ δείξας τῷ λέοντι προσλέγει·
« Εἶδες τὴν ἰσχὺν τῶν βροτῶν ὅση ⟨πέλει⟩. »
Ἔφη δ᾽ ἐκεῖνος πρὸς τὸν ἄνθρωπον τάδε·
« Εἴπερ λέοντες ᾔδεσαν πάντως γλύφειν,
†πολλοὺς ἂν εἶδες ὄντας ἀνθρώπων λίθους.† »

Ὅτι πολλοὶ πειρῶνται καυχώμενοι ἐν λόγοις ἀνδρείους ἑαυτοὺς ποιεῖν καὶ μὴ ὄντες.

Cod. Mb 101.

4 ἀνθρώπου ὅς nos ἀνδρὸς ὡς cod. || 6 πέλει addidi || 9 fortasse πολλοὺς ἂν εἶδες ἄνδρας ὑπὸ λεόντων.

Aliter.

Λέων σὺν ἀνθρώπῳ ὥδευον ὁμοῦ ἐν ὁδῷ. Ὁ δὲ ἄνθρωπος αὐτῷ ἐλάκει· « Δυνατώτερον ζῷον ὁ ἄνθρωπος παρὰ τὸν λέοντα. » Ὁ δὲ λέων· « Δυνατώτερον ζῷον ὁ λέων. » Καὶ ὁδευόντων αὐτῶν, ἐδείκνυεν ὁ ἄνθρωπος τὰς γεγλυμμένας στήλας ἃς οἱ ἄνθρωποι ἔγλυφον καὶ ἐποίουν λέοντας ὑποτασσομένους καὶ ὑποκάτω ὄντας ἀνθρώπων· Ὁ δὲ λέων ἔφη· « Εἰ ᾔδεσαν λέοντες γλύφειν, πολλοὺς ἀνθρώπους ⟨ἂν⟩ εἶδες ὑποκάτω λεόντων. »
Ὅτι εἰσί τινες ⟨οἳ⟩ ἐν οἷς οὐ δύνανται καυχῶνται [μηδὲ δυναμένους].

Cod. Ma 178.

6 ὄντας ἀνθρώπων nos ὄντων ἀν- cod. || 7 ἴδεσαν cod. || 8 ἂν εἶδες Coraës ἴδες cod. || οἵ addidit Coraës.

Aliter.

Ὥδευέ ποτε λέων σὺν ἀνθρώπῳ. Ἕκαστος δὲ αὐτῶν τοῖς λόγοις ἐκαυχῶντο. Καὶ δὴ ἐν τῇ ὁδῷ ἦν ἀνδρὸς στήλη πετρίνη λέοντα πνίγοντος. Ὁ δὲ ἀνὴρ ὑποδείξας τῷ λέοντι ἔφη· « Ὁρᾷς σὺ πῶς ἐσμεν ὑμῶν κρείττονες. » Κἀκεῖνος εἶπεν ὑπομειδιάσας· « Εἰ λέοντες ᾔδεισαν γλύφειν, πολλοὺς ἂν ἄνδρας εἶδες ὑποκάτω λέοντος. »

Codd. Ba 148 Bb 91.

3 πνιγούσης Ba || 5 ᾔδεσαν Bb.

Digitized by Google

Ὅτι πολλοὶ καυχῶνται διὰ λόγων ἀνδρεῖοι εἶναι καὶ θρασεῖς οὓς ἡ πεῖρα γυμνασθέντας ἐξελέγχει.

7 πέωνται καὶ καυχῶνται Bb || ἀνδρεῖοι καὶ θρασεῖς εἶναι Bb.

60

Ἄνθρωπος καὶ σάτυρος.

Ἄνθρωπόν ποτε λέγεται πρὸς σάτυρον φιλίαν σπείσασθαι. Καὶ δὴ χειμῶνος καταλαβόντος καὶ ψύχους γενομένου, ὁ ἄνθρωπος προσφέρων τὰς χεῖρας τῷ στόματι ἐπέπνει. Τοῦ δὲ σατύρου τὴν αἰτίαν ἐρομένου δι' ἣν τοῦτο πράττει, ἔλεγεν ὅτι θερμαίνει τὰς χεῖρας διὰ τὸ κρύος. Ὕστερον δὲ παρατεθείσης αὐτοῖς τραπέζης καὶ προσφαγήματος θερμοῦ σφόδρα ὄντος, ὁ ἄνθρωπος ἀναιρούμενος κατὰ μικρὸν τῷ στόματι προέσφερε καὶ ἐφύσα. Πυνθανομένου δὲ πάλιν τοῦ σατύρου τί τοῦτο ποιεῖ, ἔφασκε καταψύχειν τὸ ἔδεσμα, ἐπεὶ λίαν θερμόν ἐστι. Κἀκεῖνος ἔφη πρὸς αὐτόν· « Ἀλλ' ἀποτάσσομαί σου τῇ φιλίᾳ, ὦ οὗτος, ὅτι ἐκ τοῦ αὐτοῦ στόματος καὶ τὸ θερμὸν καὶ τὸ ψυχρὸν ἐξιεῖς. »

Ἀτὰρ οὖν καὶ ἡμᾶς περιφεύγειν δεῖ τὴν φιλίαν ὧν ἀμφίβολός ἐστιν ἡ διάθεσις.

Codd. Pb 35 Pa 36 Ma 27.

1 φιλίας Pb || 2 χείγινος pro χειμῶνος Ma || γινομένου Ma || 3 προσφέρων om. Pb || ἀπέπνει Ma ἐπέπνει om. Pa qui τῷ στόματι adnectit haec : ἔλεγεν ὅτι θερμαίνει τὰς χεῖρας διὰ τὸ κρύος, τοῦ σατύρου τὴν αἰτίαν ἐρομένου δι' ἣν τοῦτο πράττοι. || 4 τὴν αἰτίαν ἐρωμένου δι' ἣν αἰτίαν τοῦτο πράττειν Ma || 5 διὰ τοῦ κρύους Ma || 7 πάνυ ὄντος Pa || ὄντος om. Ma || κατὰ μικρὸν ἀναιρόμενος Ma || 8 τῷ στόματι κατεφύσα Ma || 10 λίαν φλογερόν Ma || ἐστι om. Pa || 11 ὅτι om. Pa ὅτι ἐκ om. Ma || 12 καὶ ante τὸ θερμὸν om. Pb Ma || καὶ ψυχρὸν ἐξίης Ma || 13 Δεῖ οὖν καὶ ἡμᾶς Ma || Epimythium om. Pa.

Aliter.

Ἀνήρ τις πρὸς σάτυρον φιλίαν ποιήσασθαι λέγεται. Καὶ δὴ χειμῶνος καταλαβόντος καὶ ψύχους γενομένου, ὁ

Cod. Pe 3.

1 ποιήσασθαι λέγεται nos ποιησάμενος cod.

Digitized by Google

ἄνθρωπος τὰς χεῖρας προσφέρων τῷ στόματι ἐπέπνει θερμαίνων. Τοῦ δὲ σατύρου τὴν αἰτίαν ἐρομένου δι' ἣν τοῦτο πράττει, ἔλεγεν ὅτι θερμαίνει τὰς χεῖρας διὰ τοῦ κρύους. Ὕστερον δὲ παρατεθείσης αὐτοῖς τραπέζης καὶ προσφαγήματος θερμοῦ ὄντος σφόδρα, πάλιν ὁ αὐτὸς αἰρόμενος τὰς χεῖρας ἐν τῷ στόματι κατὰ μικρὸν προσφέρων ἐφύσα. Λέγει δὲ πάλιν πρὸς αὐτὸν ὁ σάτυρος· « Τί τοῦτο ποιεῖς; » Λέγει αὐτῷ· « Καταψύχω τὸ ἔδεσμα, ἐπεὶ λίαν ἐστὶ ζεστόν. » Κἀκεῖνος ἔφη πρὸς αὐτόν· « Ἀποστήσομαί σου ἐγὼ τῆς φιλίας, ἐπεὶ γὰρ οὕτως ποιεῖς· ἐκ τοῦ στόματός σου προσφέρεις ψυχρὸν καὶ θερμόν. »

Τοιγαροῦν καὶ ἡμᾶς περιφεύγειν δεῖ ὧν ἀμφίβολός ἐστιν ἡ διάθεσις.

4 αἰρομένου pro ἐρομένου cod. || 11 ξεστόν cod. || Κἀκεῖνος nos Κἀκείνους cod. || 12 ἐγὼ nos κἀγώ cod.

Aliter.

Ἄνθρωπός τις καὶ σάτυρος φιλίαν πρὸς ἀλλήλους ποιησάμενοι ἐκάθισαν ἀμφότεροι τοῦ ἐσθίειν. Χειμῶνος δὲ καταλαβόντος καὶ ψύχους γενομένου, ὁ ἄνθρωπος προσφέρων τὰς χεῖρας τῷ στόματι αὐτοῦ ἀπέπνει. Τοῦ δὲ σατύρου ἐπερωτήσαντος· « Δι' ἣν αἰτίαν πράττεις τοῦτο, φίλε; » ἔφη· « Τὰς χεῖρας θερμαίνω ἐκ τοῦ κρύους. » Μετὰ μικρὸν δὲ ἐδέσματος θερμοῦ προσενεχθέντος, ὁ ἄνθρωπος πάλιν ἐπιφέρων τῷ στόματι τὸ βρῶμα, ἐφύσα τοῦτο. Πυνθανομένου δὲ πάλιν τοῦ σατύρου· « Δι' ἣν αἰτίαν τοῦτο πάλιν πράττεις; » ἔφη· « Τὸ ἔδεσμα καταψύχω. » Ὑπολαβὼν δὲ ἐκεῖνος ἔφη· « Ἀλλ' ἔγωγε ἀπὸ τοῦ νῦν ἀποτάσσομαί σου τῇ φιλίᾳ, ὅτι ἐκ τοῦ αὐτοῦ στόματος τὸ ψυχρὸν καὶ τὸ θερμὸν ἐξάγεις. »

Ὁ μῦθος δηλοῖ ὅτι οὕτω δεῖ καὶ ἡμᾶς ἀποφεύγειν τὰς φιλίας ὧν ἀμφίβολός ἐστιν ἡ διάθεσις.

Codd. Ca 26 Cc 17 Ch 23 Ml 24.

1 πρὸς σάτυρον φιλίαν ποιησάμενος Ch || **2** Ψύχους δὲ ὄντος omisso Χειμῶνος δὲ καταλαβόντος καὶ Cc || **5** ἐπερωτήσαντος τὴν αἰτίαν· Τὰς χεῖρας, ἔφη, θερμαίνω Cc || τοῦτο πράττεις Ch || **6** Τὰς χεῖράς μου Ch Ml || **8** τῷ στόματι αὐτοῦ Ml || ἐφύσα. Τοῦ δὲ σατύρου πάλιν πυνθανομένου Ml || **9** πάλιν om. Ch Ml || τοῦ σατύρου τὴν αἰτίαν· Τὸ ἔδεσμα, ἔφη, καταψύχω Cc || **13** τὸ θερμὸν καὶ τὸ (τὸ om. Cc) ψυχρὸν Cc Ch Ml || **14** καὶ ἡμᾶς ἐκφεύγειν δεῖ Ml || **15** ἀντίθεσις Ca Ch Ml || **14-15** Ὁ μῦθος οὕτω καὶ ἡμεῖς φύγωμεν τὰς φιλίας ὧν ἀμφίβολος ὁ διάθε Ch.

Digitized by Google

Aliter.

Ἄνθρωπός τις πρὸς σάτυρον φιλίαν ποιησάμενος συνεσθίων ἦν αὐτῷ. Χειμῶνος δὲ καὶ ψύχους γενομένου, ὁ ἄνθρωπος τὰς χεῖρας αὐτοῦ προσφέρων τῷ στόματι ἀπέπνει. Τοῦ δὲ σατύρου ἐπερωτήσαντος δι' ἣν αἰτίαν τοῦτο πράττει, ἔφη· « Τὰς χεῖράς μου θερμαίνω ἐκ τοῦ κρύους. » Μετὰ μικρὸν δὲ ἐδέσματος θερμοῦ προσενεχθέντος, ὁ ἄνθρωπος προσφέρων τῷ στόματι ἐφύσα αὐτό. Πυνθανομένου δὲ πάλιν τοῦ σατύρου δι' ἣν αἰτίαν τοῦτο πράττει, ἔφη· « Τὸ ἔδεσμα καταψύχω. » Ὑπολαβὼν δὲ ὁ σάτυρος· « Ἀλλ' ἔγωγε, ἔφη, ἀπὸ τοῦ νῦν ἀποτάσσομαί σου τῆς φιλίας, ὅτι ἐκ τοῦ αὐτοῦ στόματος τὸ θερμὸν καὶ τὸ ψυχρὸν ἐξάγεις. »

Ὁ μῦθος δηλοῖ ὅτι δεῖ φεύγειν ἡμᾶς τὰς φιλίας ὧν ἀμφίβολός ἐστιν ἡ διάθεσις.

Codd. La 130 Ld 10 Lf 130 Mc 17 Md 25 Me 28 Mg 17 Mh 18 Mi 60 Mk 18 Mm 25 Mn 10.

1 πρὸς τὸν σάτυρον Mc Me Mk || ποιησάμενος ἐκάθισαν ἀμφότεροι τοῦ φαγεῖν Ld Lf Mc Md Me Mh Mi Mm Mn ποιησάμενος ἠνάγκασεν ἀμφοτέρους καθίσαι καὶ φαγεῖν Mk || **2** Χειμῶνος δὲ γενομένου καὶ ψύχους Mk || **3** προφέρων Mc || **4** ἀπεπήγνυ Mm ἀπεπήγνη Mn ἀπεπήγνυτο Mh περιεθέρμαινε Mk || **5** κατεψυγμένας ὑπὸ τοῦ κρύους θερμαίνω Mk || **6** μοῦ pro θερμοῦ Mk || προσενεχθέντα Lf || **7** πάλιν προσφέρων Mm πάλιν ἐπιφέρων Ld Md Mh Mi πάλιν ἐπιφαίνων Mn προφέρων Mc || τῷ στόματι αὐτοῦ ἐφύσα omisso αὐτὸ Mk || ἐφυσᾶτο Mc || **8** τοῦ σατύρου om. La Lf Mg || διὰ τί πράττει τοῦτο Ld Mc Md Mh Mi Mm Mn διὰ τί τοῦτο ποιεῖ Mk || **10** ἔφη ὅτι Mh || ἀποκελοῦν pro ἀπὸ τοῦ νῦν Md || ἀποτασσομένου Mc || **12** τὸ ante ψυχρὸν om. Mh || **13** Μῦθος φεύγειν Mi || δηλοῖ φεύγειν Lf Md Me Mn || δεῖ om. Mm || φεύγειν ἡμᾶς δεῖ Mh Mk || **14** δαμφίβολος Mc ἀμφίβολον Mh || ἀντίθεσις Lf Mc Md Me Mh Mi Mk Mm.

Aliter.

Χειμὼν ἄνθρωπόν τινα ἐν ὄρει κατέλαβεν. Ὁ δὲ καπνὸν ἐν τῇ ἄκρᾳ τοῦ ὄρους ἐκ πέτρας τινὸς ἀνιόντα ἰδὼν ἔνθα σάτυρος, οὓς λέγουσι παίκτας, κατῴκει, ἀνῆλθεν· αὐτὸς δὲ τὸν ξένον οἰκτείρας ἔσω εἰσήγαγεν. Ὁ δὲ πολλὰ ῥιγῶν τῇ πνοῇ τοῦ στόματος τὰς χεῖρας ἐθέρμαινε. Κἀκεῖνος αὐτῷ θερμὰ μὲν φαγεῖν δέδωκε καὶ θερμὰ πιεῖν καὶ πυρὶ κατέ-

Codd. Ba 145 Bb 89.

3 σατύρους pro σάτυρος οὓς Bb || ἀνῆλθεν nos ἀπ- codd. || **4** ἐπεισῆγεν omisso ἔσω Ba || **5** ἐθέρμανεν Ba.

Digitized by Google

θαλπεν. Ὡς δὲ ἵδρωσε, τῇ πνοῇ πάλιν τὰς χεῖρας κατέψυχεν. Ὁ δὲ σάτυρος τοῦτον ἐξῆγεν « κακοῦ, λέγων, ξένου χρείαν οὐκ ἔχω, ὃς ποτὲ μὲν θερμόν, ποτὲ δὲ ψυχρὸν ἐκ τοῦ στόματος ἀσθμαίνει. »

[Ὅτι] διγνώμους ἄνδρας τοὺς ποτὲ μὲν ἐπαινοῦντας, ποτὲ δὲ ψέγοντας ὁ μῦθος διαβάλλει.

11 δεῖ γνώμους Bb || ὁ λόγος ἐλέγχει καὶ διαβάλλει Bb || διαδάλει Ba.

61

Ἄνθρωπος καταθραύσας ἄγαλμα.

Ἄνθρωπος δέ τις ξύλινον θεὸν ἔχων
καθικέτευεν τοῦ ἀγαθοποιῆσαι.
Ὡς οὖν ταῦτα ἔπραττε καὶ πλείω τούτων,
μᾶλλον ὁ αὐτὸς διῆγεν ἐν πενίᾳ.
Καὶ δὴ θυμωθείς, ἄρας αὐτοῦ τοῦ σκέλους,
ἔρριψεν αὐτὸν ἐν τῷ τοίχῳ προσκρούσας.
Τῆς δὲ κεφαλῆς παραυτίκα κλασθείσης,
ἔρρευσε χρυσὸς πολλοστὸς παραχρῆμα,
ὅνπερ συνάγων ὁ ἄνθρωπος ἐβόα·
« Στρεβλὸς ὑπάρχεις, ὡς οἶμαι, καὶ ἀγνώμων·

Codd. Ca 21 Cb 15 Cc 12 Cd 15 Ce 15 Cf 16 Ch 15 Mc 20 Ml 23.

1 δὲ Cd Cf om. ceteri || 2 καθικέτευεν αὐτὸν Ca Cc Ch || ἀγαθοποιῆσαι τοῦτον Mc || 3 πλείονα Ce Cf || 3 et 4 καὶ πλεῖον μᾶλλον αὐτὸς ἐν πενίᾳ διῆγε, θυμωθεὶς Ml || 4 ὁ αὐτὸς om. Mc || ὁ om. Ce Cf || αὐτὸς θεὸς Ca θεὸς expunxit Ca¹. || 5 δὴ om. Cd Mc || ἄρας αὐτὸν ἀπὸ τῶν σκελῶν Ca || αὐτὸν τοῦ σκέλι omisso ἔρριψεν Cd || αὐτὸν Ml || τοὺς κέλους Cb τὰ σκέλη Mc || ἄρας ... σκέλους om. Cc || 6 ἔρρηξεν Ch || αὐτὸν om. Ca Cd Ml || ἐν τοίχῳ Ca || ἐν τείχῳ προσκεχρούσας Cf || 6 et 7 ἐν τῷ ἐδάφει. Προσκρούσας δὲ τῆς κεφαλῆς καὶ παραυτίκα θλασθείσης ἔρευσεν χρυσὸς πλεῖστος Mc || 7 κεφαλῆς Cb Ch Cf Ml κεφαλῆς αὐτοῦ ceteri || ἐναυτίκα Ce παραυτίκα om. Cc || θλασθείσης Cb Ch Mc || 8 πολλοστὸς Ce πολοστὸς Cb Cd Cf πολλός Ch πολὺς Ca Cc Ml || παραυτίκα pro παραχρῆμα Cb ἐξαυτίκα Cd || 9 ὃν περισυνάγων Cc || συναγαγὼν Ce Cf Mc, Ml || 10 ὑπάρχεις Cb Cd τυγχάνεις ceteri.

Digitized by Google

τιμῶντά σε γὰρ οὐδὲν ὠφέλησάς με,
τυπτήσαντα δὲ πολλοῖς καλοῖς ἠμείψω. »

Ὁ μῦθος δηλοῖ ὅτι οὐκ ὠφεληθήσῃ τιμῶν πονηρὸν ἄνδρα, αὐτὸν δὲ τύπτων πλεῖον ὠφεληθήσῃ.

11 γάρ σε Ce Cf Ml || με om. Ce Cf Ml || **12** τυπτήσας δέ σε (σοι Mc μοι Cb) Cb Cf Ch Mc μὴ τιμήσας δέ σοι Ce ἀτιμάσαντα δέ σε Ml || ἀμείβῃ Cd ἠμείβην Cb ἀμοίβειν Mc || **13** λόγος Cd ὠφεληθήσῃ dubium Ca ὠφεληθῇ τις legerat Furia ὠφελήσας Cb Ce Cf ὠφεληθῇ ἄν τις Cc ὠφελήσεις Cd Mc ὠφελῇ Ch || ἄνδρα πονηρόν Cf || **14** τύπτων δὲ πλεῖον πολλάκις ὠφελεῖται Cc || τύπτων δὲ αὐτὸν Cd τύπτων δὲ μᾶλλον αὐτὸν Ml || ὠφεληθῇ uel -θήσῃ τις Ca ὠφεληθεῖ σοι Cb ὠφεληθείσῃ Cf ὠφεληθήσοι Mc || **13-14** Ὁ μῦθος δηλοῖ πονηρὸν ἄνδρα τιμῶν οὐχ ὀφελήθης, μᾶλλον τύπτων ὠφεληθήσι Ce.

Aliter.

Ἄνθρωπός τις ξύλινον ἔχων θεὸν καθικέτευε τοῦ ἀγαθοποιῆσαι αὐτόν. Ὡς οὖν ταῦτα ἔπραττε, καὶ οὐδὲν ἧττον ἐν πενίᾳ διῆγε, θυμωθείς, ἄρας αὐτὸν τῶν σκελῶν, ἔρριψεν εἰς τὸ ἔδαφος. Προσκρουσάσης οὖν τῆς κεφαλῆς καὶ αὐτίκα κλασθείσης, χρυσὸς ἔρρευσεν ὅτι πλεῖστος, ὅνπερ δὴ συνάγων ὁ ἄνθρωπος ἐβόα· « Στρεβλὸς ὑπάρχεις, ὥς γε οἶμαι, καὶ ἀγνώμων· τιμῶντά σε γὰρ ἥκιστά με ὠφέλησας, τυπτήσαντα δέ σε πολλοῖς καλοῖς ἀμείβῃ. »

Ὁ μῦθος δηλοῖ ὅτι οὐκ ὠφελήσῃ τιμῶν πονηρὸν ἄνθρωπον, τύπτων δὲ αὐτὸν μᾶλλον ὠφελήσῃ.

Codd. La 132 Lf 132 (contaminatus ex Ca 21).

1 θεὸν ἔχων Lf || **2** τοῦτον Lf || καὶ τοῦτον μᾶλλον διῆγεν ἐν πενίᾳ καὶ Lf || **3** αὐτοῦ τὰ σκέλη ἔρριψεν αὐτὸν ἐν τῷ ἐδάφει Lf || **4** Προσκροῦσαι Lf || παραυτίκα pro καὶ αὐτίκα Lf || **5** ἔρευσεν χρυσὸς πλεῖστος παραυτίκα Lf || **6** δὴ om. Lf || ὡ οἶμαι Lf || **7** γὰρ οὐδὲν ὠφέλισάς με· τυπτήσας .. ἀμοίβειν Lf || **9** ὠφελήσεις Lf || **10** αὐτὸν δὲ τύπτων πλεῖον ὠφεληθήσῃ Lf.

Aliter.

Ἄνθρωπός τις ξύλινον θεὸν ἔχων πένης ὢν καθικέτευε τοῦ ἀγαθοποιῆσαι. Ὡς οὖν ταῦτ᾽ ἔπραττε καὶ μᾶλλον ἐν πενίᾳ διῆγε, θυμωθεὶς, ἐκ τοῦ σκέλους ἄρας αὐτὸν τῷ τοίχῳ προσέκρουσε. Τῆς δὲ κεφαλῆς αὐτοῦ παραχρῆμα

Codd. Lc 55 Lg 55 Ma 150 Md 20 Mh 13 Mi 55 Mm 20.

1 καθικέτευέ τι ἀγαθὸν ποιῆσαι Lg || **2** μᾶλλον πλεῖον (πλέον Mh Mm) M || **3** θυμωθεὶς δὲ (δὲ om. Mm) καὶ Mh Mm || **4** ἐξ αὐτοῦ Ma Md || παραυτίκα Mh.

Digitized by Google

κλασθείσης, ⌈ἔρρευσε χρυσὸς ἐξ αὐτῆς, ὃν συναγαγὼν ὁ ἄνθρωπος ἐβόα· « Στρεβλὸς τυγχάνεις, ὡς οἶμαι, καὶ ἀγνώμων· τιμῶντά σε γὰρ οὐδὲν ὠφέλησάς με· τυπτήσαντα δὲ πολλοῖς καλοῖς ἠμείψω. »
Ὁ μῦθος δηλοῖ ὅτι οὐδὲν ὠφελήσεις σαυτὸν πονηρὸν ἄνδρα τιμῶν, αὐτὸν δὲ τύπτων πλέον ὠφεληθήσῃ.

5 οὖν pro ὃν Lg || 5 ὁ om. Ma || 7 τυπτήσαντα Ma τυπτήσας ceteri || σε πολλοῖς Mh Mm.

Aliter.

Ἄνθρωπος ξύλινον θεὸν ἔχων καθικέτευεν ἀγαθοποιῆσαι αὐτόν. Ὡς οὖν αὐτὸν ἐν τούτῳ ἐθεράπευε καὶ πλέον ἐν πενίᾳ διῆγε, ἐθυμώθη, καὶ ἄρας αὐτὸν ἐκ τῶν σκελῶν ἔρριψεν αὐτὸν ἐν τῷ ἐδάφει καὶ προσέκρουε τὴν αὐτοῦ κεφαλὴν τοῖς λίθοις. Θλασθείσης δὲ αὐτῆς, παραυτίκα ἔρρευσεν ἐξ αὐτῆς πολὺς χρυσός, ὅνπερ συνάγων ὁ ἄνθρωπος ἐβόα· « Στρεβλὸς ὑπάρχεις, ὡς οἶμαι, καὶ κακογνώμων· τιμῶντά σε γὰρ οὐδὲν ὠφέλησάς με· τυπτήσαντα δὲ καὶ συνθλάσαντα πολλοῖς καλοῖς ἀμείβῃ. »
Ὁ μῦθος δηλοῖ ὅτι οὐκ ὠφεληθήσῃ τιμῶν πονηρόν ἄνθρωπον, ἀτιμάζων δὲ αὐτὸν καὶ τύπτων μᾶλλον ὠφεληθήσῃ.

Cod. Mk 21.

8 τιμῶντας cod. || τυπτύσαντε cod.

Aliter.

Ξύλινόν τις εἶχε θεόν. Τούτῳ καθ' ἑκάστην ἔθυε καὶ ηὔχετο ἀγαθοποιῆσαι αὐτόν. Ὡς δὲ χρόνῳ πολλῷ τοῦτο ποιῶν μᾶλλον ἐπένετο, θυμωθεὶς καὶ τοῦ σκέλους ἄρας χαμαὶ ἀπέκρουσεν. Χρυσὸς δέ, τῆς κεφαλῆς κλασθείσης, ἔρρευσεν, ὃν συναγαγὼν ὁ ἄνθρωπος εἶπεν· « Στρεβλός τις ⟨εἶ⟩ καὶ ἀγνώμων, ὃς με θύοντα καὶ προσκυνοῦντά σε οὐδὲν ὠφέλεις, ὑβρίσαντα δέ σε ἀγαθοῖς πολλοῖς ἠμείψω. »
Ὅτι οὐδὲν πλέον ὠφελήσῃ πονηρὸν ἄνδρα τιμῶν, ἀτιμάζων δὲ μᾶλλον ὠφεληθήσῃ.

Cod. Ba 97.

1 Τοῦτο || 6 εἶ addidi || 8 ὠφελήσεις cod.

62

Ἄνθρωπος λέοντα χρυσοῦν εὑρών.

Δειλὸς φιλάργυρος λέοντα χρυσοῦν εὑρὼν ἔλεγεν· « Οὐκ οἶδα τίς γενήσομαι ἐν τοῖς παροῦσιν· ἐγὼ ἐκβέβλημαι τῶν φρενῶν καὶ τί πράττειν οὐκ ἔχω· μερίζει με φιλοχρηματία καὶ τῆς φύσεως ἡ δειλία. Ποία γὰρ τύχη ἢ ποῖος δαίμων εἰργάσατο χρυσοῦν λέοντα ; Ἡ μὲν γὰρ ἐμὴ ψυχὴ πρὸς τὰ παρόντα ἑαυτῇ πολεμεῖ· ἀγαπᾷ μὲν τὸν χρυσόν, δέδοικε δὲ τοῦ χρυσοῦ τὴν ἐργασίαν· ἅπτεσθαι μὲν ἐλαύνει ὁ πόθος, ἀπέχεσθαι δὲ ὁ τρόπος. Ὦ τύχης διδούσης καὶ μὴ λαμβάνεσθαι συγχωρούσης· ὢ θησαυρὸς ἡδονὴν οὐκ ἔχων· ὢ χάρις δαίμονος ἄχαρις γενομένη. Τί οὖν ; ποίῳ τρόπῳ χρήσωμαι ; ἐπὶ ποίαν ἔλθω μηχανήν ; ἄπειμι τοὺς οἰκέτας δεῦρο κομίσων λαβεῖν ὀφείλοντας τῇ πολυπληθεῖ συμμαχίᾳ, κἀγὼ πόρρω ἔσομαι θεατής. »

Ὁ λόγος ἁρμόζει πρός τινα πλούσιον μὴ τολμῶντα προσψαῦσαι καὶ χρήσασθαι τῷ πλούτῳ.

Codd. Pb 71 Ma 50.

1 Δειλός ὁ καὶ φιλάργυρος εὑρὼν λέοντα χρυσοῦν ἑαυτὸν προσάγ· οὐχ οἶδα τίς γένομαι ἐπὶ τοῖς παροῦσιν Ma || **3** μερίζομαι πολλῇ χρηματίᾳ καὶ τῇ τῆς φρενὸς δειλίᾳ Ma || **4** καὶ τί τῶν δαιμόνων χρυσοῦν εἰργάσατο λέοντα Ma || **5** ψυχὴ Neuelet τύχη libri || τὸν παρόντα Pb || **6** τὸν χρυσοῦν Ma || **7** καὶ ἅπτεσθαι μὲν τοῦ σώματος ἐλαύνει ὁ πόθος, καὶ ἀπέχεσθαι Ma || **8** δηλούσης pro διδούσης Ma || λαβεῖν Ma || **9** ὢ ante θησαυρός om. Ma || μὴ ἔχων Pb || **10** δαιμόνων ἀχρήστως γενομένη ποίῳ οὖν τροφὴν χρήσομαι || **11** χρήσωμαι Neuelet χρήσομαι libri || ἀμιμήτους pro ἄπειμι τοὺς Pb || **12** κόμισον codd. || λαβεῖν μὲν ὀφείλοντας τῇ πολυπληθείᾳ καὶ συμμαχίᾳ κἀγὼ δὲ Ma || **14** Ὁ λόγος δηλοῖ ὅτι οὕτως καὶ τὸν ἀνθρώπων οἱ τοῖς φαύλοις ἐπιτηδεύμασιν ἐνδιατρίβοντες φθονοῦσιν (quod epim. fabulae superiori Βάτραχοι γείτονες conuenit) Ma.

Digitized by Google

63

Ἄρκτος καὶ ἀλώπηξ.

Ἄρκτος δέ ποτε μεγάλως ἐκαυχᾶτο
ὡς φιλανθρωπότατόν ἐστι τῶν ζῴων·
φασὶ γὰρ τὴν ἄρκτον νεκρὸν μὴ θοινεῖσθαι.
Ἡ δὲ ἀλώπηξ ἀκηκουῖα ταῦτα
ἐμειδίασε καὶ πρὸς αὐτὴν ἐλάλει·
« Εἴθε τοὺς νεκροὺς ἤσθιες καὶ μὴ ζῶντας. »

Ὁ μῦθος οὗτος ἐλέγχει τοὺς πλεονέκτας καὶ ἐν ὑποκρίσει βιοῦντας.

Codd. Ca 25 Cc 16 Ch 19 Ma 154 Mb 14 Md 24 Mh 17 Mi 59 Mm 24.

Ἄρχος et ἄρχον Mh Mi Mm || **1** Ἄρχτος τις Ma || δὲ et μεγάλως om. Mb || μεγάλη Ca || **2** φιλανθρωπότατον nos φιλάνθρωπος Ca Cc -πον Ma Md Mh Mi Mm || φιλάνθρωπον οὖσαν τῶν ζώων πάντων Ch οὖσα φιλάνθρωπος τῶν ζώων ὅλων Mb || πάντων ἐστὶ τῶν ζώων (τὸ ζῶον Mh) Mh Mi || ἐστι πάντων τῶν ζώων reliqui : πάντων deleui || **3** φησὶ Mh || δὲ Ca γὰρ om. Ch || τὴν om. M || ἄρχῳ Mm || μή τι Ch || μηδὲν βιβρώσχειν M || **4** ἀχηχοῶσα Ma Md ἀχήχουσα Mh Mm ἀχοῶσα Mi || **5** ἔφη C excepto Ca ἀντέφη M || **6** μὴ om. Mm || ζῶντας Ch Mb τοὺς ζῶντας ceteri || **7** οὗτος Ca solus || Ὁ μῦθος δηλοῖ ὅτι τοὺς ... ὁ μῦθος ἐλέγχει Ch || ἐλέγχει in fine M.

Aliter.

Ἄρκος μεγάλως ἐκαυχᾶτο ὡς φιλάνθρωπος ὤν, ἐπεὶ νεκρὸν σῶμα οὐκ ἐσθίει· πρὸς ὃν ἡ ἀλώπηξ εἶπεν· « Εἴθε νεκροὺς εἷλκες, ἀλλὰ μὴ τοὺς ζῶντας »

Οὗτος ὁ μῦθος πλεονέκτας τοὺς ἐν ὑποκρίσει καὶ κενοδοξίᾳ βιοῦντας ἐλέγχει.

Codd. Ba 13 Bb 8 Bc 11.

1 οὖσα et infra **2** πρὸς ἣν Bb Bc || **2** ἐσθίειν Bb || ἡ om. Bc || **3** εἶχες Bb || ἀλλὰ τοὺς μὴ ζῶντας Ba καὶ μὴ τοὺς ζῶντας Bb Bc || **4** Οὗτος πλεονέκτας ἐλέγχει ὁ λόγος τοὺς .... βιοῦντας Bb Κατὰ ὑποκριτῶν καὶ πλεονεκτῶν ὑποκρίσει καὶ πλεονεξίᾳ ζώντων Bc.

Digitized by Google

Aliter.

Ἄρκος ἐπὶ φιλανθρωπίᾳ ἐκόμπαζε, προβαλλομένη τὸ μὴ νεκρὸν σῶμα ἐσθίειν· πρὸς ἣν ἀλώπηξ εἶπε· « Εἴθε νεκροὺς τοὺς ἀνθρώπους εἷλκες, καὶ μὴ ζῶντας. »

Cod. Bd 3.

2 νεκρῶν cod. || **3** εἰλάσχυες pro εἷλχες cod.

64

Ἀρότης καὶ λύκος.

Ἀρότης λύσας τὸ ζεῦγος ἐπὶ ποτὸν ἀπῆγε· λύκος δὲ λιμώττων καὶ τροφὴν ζητῶν, ὡς περιέτυχε τῷ ἀρότρῳ, τὸ μὲν πρῶτον τὰς τῶν ταύρων ζεύγλας περιέλειχε, λαθὼν δὲ κατὰ μικρόν, ἐπειδὴ καθῆκε τὸν αὐχένα, ἀνασπᾶν μὴ δυνάμενος, ἐπὶ τὴν ἄρουραν τὸ ἄροτρον ἔσυρεν. Ὁ δὲ ἀρότης ἐπανελθὼν καὶ θεασάμενος αὐτὸν ἔλεγεν· « Εἴθε γάρ, ὦ κακὴ κεφαλή, καταλιπὼν τὰς ἁρπαγὰς καὶ τὸ ἀδικεῖν ἐπὶ τὸ γεωπονεῖν τραπείης. »

Οὕτως οἱ πονηροὶ τῶν ἀνθρώπων, κἂν χρηστότητα ἐπαγγέλλωνται, διὰ τὸν τρόπον οὐ πιστεύονται.

Codd. Pa 39 Pb 38 Pd 24 Pe 6.

1 ἐπὶ τὸν ποταμὸν ἀπῆλθε Pe || ἀπήγαγε Pb || ἀπῆγε ἐπὶ ποταμὸν Pd || **2** τροφὰς Pa || **3** λαβὼν Pe || **4** ἐπεὶ Pb || καὶ ἀνασπᾶν Pe || ἀνασπᾶν καὶ Pa || **5** τὸν ἄροτρον Pd || **6** ἀροτὴρ Pa || αὐτὴν Pa || εἶπεν Pe || **8** ἐπὶ τὸ γεώργιον ἐπετράπης (ἐτράπης Pd) Pd Pe || **9** Ὁ λόγος δῆλοι ὅτι οὕτως Pe || **10** ἐπανέλονται Pd ἐπαγγέλλονται Pe || διὰ τὸν τρόπον οὐ πιστεύονται Pd Pe om. Pa || ψεύδονται omisso διὰ τὸν τρόπον Pb.

Digitized by Google

65

Ἀστρολόγος.

Ἀστρολόγος ἐξιὼν ἑκάστοτε ἑσπέρας ἔθος εἶχε τοὺς ἀστέρας ἐπισκοπῆσαι. Καὶ δή ποτε περιιὼν εἰς τὸ προάστειον καὶ τὸν νοῦν ὅλον ἔχων πρὸς τὸν οὐρανὸν ἔλαθε καταπεσὼν εἰς φρέαρ. Ὀδυρομένου δὲ αὐτοῦ καὶ βοῶντος, παριών τις, ὡς ἤκουσε τῶν στεναγμῶν, προσελθὼν καὶ μαθὼν τὰ συμβεβηκότα, ἔφη πρὸς αὐτόν· « Ὦ οὗτος, σὺ τὰ ἐν οὐρανῷ βλέπειν πειρώμενος τὰ ἐπὶ τῆς γῆς οὐχ ὁρᾷς ; »

Τούτῳ τῷ λόγῳ χρήσαιτο ἄν τις ἐπ' ἐκείνων τῶν ἀνθρώπων οἳ παραδόξως ἀλαζονεύονται, μηδὲ τὰ κοινὰ τοῖς ἀνθρώποις ἐπιτελεῖν δυνάμενοι.

Codd. Pa 41 Pb 40 Pf 20 Ph 21 — Ca 19 Me 20 Mf 20 Mj 16.

1 ἐξιέναι ἐν ἑκάστῃ ἑσπέρᾳ καὶ τοὺς ἀστέρας ἐπισκοπεῖν ἔθος εἶχε Ca || ἑκάστην ἑσπέραν Pf Ph M || ἑσπέραν Pa || **2** ἐπισκοπεῖσθαι Pa ἐπισκοπεῖν Pf Ph M || περιὼν Pa || **3** ἐν τῷ οὐρανῷ Pb εἰς τὸν οὐρανὸν Ph Ca || **4** καταπεσεῖν Pa || τὸ φρέαρ libri præter Pa Pb || Ὀδυνωμένου Ph || **5** περιών τις Mf || τὸν στεναγμὸν Pa τοῦ στεναγμοῦ Pf Ph M || **6** ὦ σύ, ἐν οὐρανῷ Pf Ph M || **9** Οὕτω pro Τούτῳ Pa || Τῷ λόγῳ τούτῳ Pb || πρὸς ἐκείνους Pb || ἐπ' ἐκείνους τοὺς ἀνθρώπους Ca || **10** παραδόξοις Pa περὶ δόξης Pb || τοῖς ἀνθρώποις ἀλαζονεύονται, οὐδὲ Ca || ἀλαζονεύοντες οὐδὲ τὰ κοινὰ ... δύνανται Pb || καὶ μηδὲ Pa || **9-11** Πρὸς (Ὁ μῦθος δηλοῖ πρὸς Mj) τοὺς παραδόξως (παραδόξοις Ph) ἀλαζονευομένους καὶ μηδὲ τὰ κοινὰ τοῖς ἀνθρώποις ἐπιτελεῖν δυναμένους Pf Ph M.

66

Βάτραχοι ⟨αἰτοῦντες βασιλέα⟩.

Βάτραχοι λυπούμενοι ἐπὶ τῇ ἑαυτῶν ἀναρχίᾳ πρέσβεις ἔπεμψαν πρὸς τὸν Δία, δεόμενοι βασιλέα αὐτοῖς παρασχεῖν.

Codd. Pa 44 Pb 44 Pc 16 Pe 18 Pf 22 Pg 22 Ph 23 Ma 30 Me 31 Mf 29.

1 βάτραχοι δύο Pa Pg || περὶ τῆς ἑαυτῶν ἀναρχίας Pf Ph M || αὐτῶν Pc Pe Ma || **2** ἐπὶ τὸν Δία Pb εἰς τὸν Δία Pc || δεόμενοι om. Pf Ph M || δοθῆναι αὐτοῖς βασιλέα Pe.

Digitized by Google

Ὁ δὲ συνιδὼν τὴν εὐήθειαν αὐτῶν ξύλον εἰς τὴν λίμνην καθῆκε. Καὶ οἱ βάτραχοι, τὸ μὲν πρῶτον καταπλαγέντες τὸν ψόφον, εἰς τὰ βάθη τῆς λιμνης ἐνέδυσαν. Ὕστερον δὲ, ὡς ἀκίνητον ἦν τὸ ξύλον, ἀναδύντες εἰς τοσοῦτον καταφρονήσεως ἦλθον ὡς ἐπιβαίνοντες αὐτῷ ἐπικαθέζεσθαι. Ἀναξιοπαθοῦντες δὲ τοιοῦτον ἔχειν βασιλέα, ἧκον ἐκ δευτέρου πρὸς τὸν Δία καὶ τοῦτον παρεκάλουν ἀλλάξαι αὐτοῖς τὸν ἄρχοντα· τὸν γὰρ πρῶτον λίαν εἶναι νωχελῆ. Καὶ ὁ Ζεὺς ἀγανακτήσας καθ' αὐτῶν ὕδρον αὐτοῖς ἔπεμψεν, ὑφ' οὗ συλλαμβανόμενοι κατησθίοντο.

Ὁ λόγος δηλοῖ ὅτι ἄμεινόν ἐστι νωθεῖς καὶ μὴ πονηροὺς ἔχειν ἄρχοντας ἢ ταρακτικοὺς καὶ κακούργους.

3 αὐτῶν τὴν εὐήθειαν Pe Pf Ph M || αὐτῶν om. Pb Pg || τὰς λίμνας Pa || **4** Οἱ δὲ βάτραχοι Pe || **5** εἰς τὰ βάθη τῆς λίμνης ἐνέδυσαν Pg || ἔδυσαν Pf M ἐδίδοσαν correctum in εἰσέδυσαν in margine Ph || ἑαυτοὺς εἰς τὰ βάθη τῆς λίμνης ἐδίδοσαν (καθῆκαν Pe) Pa Pb Pe || **6** ἔγνωσαν pro ἦν Pe || ἀναδύναντες Pb Pe || ἀναδύντες ὡς καὶ εἰς τ- Pc || ἀναδύντες ὡς ἀκίνητον ἀναβαίνειν ἐπάνω αὐτοῦ καθέζεσθαι Pe || ἀναδοῦντες κατεφρόνησαν ὥστε Ma || **7** ὡς καὶ Pc Pf Ph M || ἐπιβαίνοντας Pb || ἐπεκαθέζοντο Pc || ὡς ἀκίνητον ἀναβαίνειν ἐπάνω αὐτοῦ καθέζεσθαι Pe || **8** Ἀνεξιοπαθοῦντες Pa ἀξιοπαθοῦντες Pc || Ἀνάξιον λέγειν εἰ τοιοῦτον ἔχομεν βασιλέα, ἧκον οὖν Pe || δέ om. Ma || **9** τοῦτον om. Pe Ph || **10** ἀρχηγὸν Pf M || ἀρχηγὸν ὡς λίαν ὄντα νωχελῆ καὶ ἀδόκιμον Ph || τὸν μὲν πρῶτον λίαν εἶχον νωχελῆ Pe || τὸν γὰρ .. νωχελῆ om. Pa || **11** νωχελῆ καὶ ἀδόκιμον Pf M || Ὁ δὲ Ζεὺς Pf Ph M || ὕδραν ... ὑφ' ἧς Pb Pe Ma || ἔπεμψε πρὸς αὐτούς Pe || ἔπεμψεν αὐτοῖς Ma || **12** ἐπέπεμψεν Pb || συλλαβόμενοι Pc || κατεσθίονται Pa πρὸς ὀλίγον κατησθίοντο Pe || **13** Ὅτι ἄμεινον εἶναι Pg || ἐστι om. Pa || **14** ἤ om. Pa || ἀτάκτους pro ταρακτικοὺς Pa τακτικοὺς Pg || ἔχειν in fine Pc || **13-14** Ὁ λόγος δηλοῖ τὸ (ὅτι Mf) ἄμεινον εἶναι εὐήθεις ἄρχοντας ἔχειν καὶ ἐπιεικεῖς ... Pf M Ὅτι ἄμεινον εὐήθεις ἄρχοντας ἔχειν καὶ ἐπιεικεῖς ... Ph || Ὅτι ἄμεινόν ἐστι τῷ θεῷ πείθεσθαι ἢ πονηροὺς ἔχειν ἄρχοντας Pe || Ὁ λόγος δηλοῖ ὅτι ἄμεινόν ἐστι θεῷ πείθεσθαι καὶ μὴ πονηροὺς ἔχειν ἄρχοντας καὶ ἀτάκτους Ma.

Aliter.

Βάτραχοι λυπούμενοι ἐπὶ τῇ αὐτῶν ἀναρχίᾳ πρέσβεις

Codd. Ca 37 Cb 26 Cc 28 Cd 26 Ce 25 Cf 29 Ch 33 Mc 29 Md 33 Mi 68 Mk 30 Ml 30 Mm 36.

1 ἐπὶ τὴν .. ἀναρχίαν Cf Ml || αὐτοῦ Cd || καὶ πρέσβεις Cf || πρεσβείαν Mk.

ἔπεμψαν ἱκετεύοντες τὸν Δία ὅπως αὐτοῖς βασιλέα παράσχῃ. Ὁ δὲ συνιδὼν αὐτῶν τὴν εὐήθειαν ξύλον μέσον τῆς λίμνης ἔπηξε. Παραυτίκα δὲ οἱ βάτραχοι τῷ φόβῳ συστελλόμενοι εἰς τὰ βάθη ἑαυτοὺς κατέδυον. Χρόνου δὲ πολλοῦ παρῳχηκότος, ὡς ἀκίνητον ἑώρων τὸ ξύλον, ἀπεβάλλοντο τὸν φόβον καὶ εἰς τοσοῦτον κατεφρόνησαν αὐτοῦ ὥστε ἐπιβαίνειν καὶ ἐπικαθέζεσθαι τούτῳ. Μὴ ἀξιοῦντες δὲ τοῦτον ἔχειν βασιλέα, ἐκ δευτέρου ἦλθον πρὸς τὸν Δία καὶ παρεκάλουν αὐτὸν ἀλλάξαι αὐτόν. Ὁ δὲ δέδωκεν αὐτοῖς εγχέλυν. Ἰδόντες δὲ καὶ τούτου τὴν εὐήθειαν οὐκ ἀπεδέξαντο αὐτόν. Ἦλθον οὖν ἐκ τρίτου πρὸς τὸν Δία, ὅπως καὶ τοῦτον ἀλλάξῃ. Καὶ ὁ Ζεὺς ἀγανακτήσας κατ' αὐτῶν ὕδραν ἔπεμψεν αὐτοῖς εὐθύς. Συλληφθέντες οὖν οἱ βάτραχοι εἷς καὶ εἷς ἠσθίετο παρὰ ταύτης.

2 πρὸς τὸν Δία ἔπεμψαν ἱκετεύοντες Ce ἔπεμψαν πρὸς (ἐπὶ Cf) τὸν Δία ἱκετεύοντες Cf Mk Ml || ἱκέτευσαν, omisso πρέσβεις ἔπεμψαν Cc || ὅπως ἂν Mk || βασιλέαν Cf Mc || **3** παράσχοι Cb Cd Mc Md Mi Ml Mm || παράσχει Cf || εὐθείαν Cb ἱκετείαν Mk βοὴν Mc || ξύλον ἔπηξε μέσον τῆς λίμνης Mi Mm || **4** Παραχρῆμα Mk || Συστελλόμενοι δὲ τῷ φόβῳ οἱ βάτραχοι, omisso παραυτίκα Mi Mm || τῷ φόβῳ om. Cc || **5** ἑαυτοὺς om. Md Mi Mm || κατέευον Cd || **6** ἕως Md || τὸ ξύλον (τῷ ξύλῳ Cb) ἑώρων Cb Cc Cd Ce Cf Ch Mc Mk Ml || ἑώρων τὸ ξύλον ἀκίνητον Md Mi Mm || **7** ἀπεβάλοντο Cc Mc Mi Mm ἐπεβάλλοντο Ce || εἰς om. Mi Mk Mm || τοῦτον pro εἰς τοσοῦτον Mk || **8** αὐτῷ Cb αὐτὸ Cd Mc αὐτοῦ om. Cf Ml || ὡς pro ὥστε Mi Mm || ἐπικαθέζεσθαι. Τοῦτο μὴ ἀξιοῦντες ὅδε δέδωκεν omisso τοῦτον ἔχειν .... ἀλλάξαι αὐτόν Ce || τοῦτον Cb τοῦτο Cf Mc τούτου Mk Ml || **9** ἔχειν τοῦτον βασιλέα, παρεκάλουν αὖθις τὸν Δία ἀλλάξαι αὐτόν Cc || τοῦτο Cf Mc Mk Ml || δ' αὐτὸ ἔχειν εἰς βασιλέα Md Mi Mm || ἔχειν om. Mc || **10** εἰς τὸν Δία Md Mi Mm || πρὸς τὸν Δία ἦλθον Cf Ml || παρεκάλεσαν Cf Ml παρακαλοῦντες δὲ (δὲ om. Mc Mk) αὐτὸν (αὐτὸν om. Cd) Cb Cd Mc Mk || ἀλλάξαι αὐτοῖς (αὐτοῖς om. Cf) βασιλέα Cd Cf Mc ἀλλάξαι τὸν βαχιλέα Ml || Δέδωκεν δὲ (οὖν Ch) αὐτοῖς ἐγχέλυν (ἐλέγχελυν Mc) εἰς βασιλέα Cb Ch Mc Δεδώκει δὲ αὐτοῖς βασιλέα ἐγχέλυν Md Mi Mm Δέδωκεν αὐτοῖς ἐγχέλυν τοῦ αὐθεντεύειν Cd || **11** ἐγχέλυν codd. || ἐγχέλυν βασιλέα Ce ἐγ- εἰς β- Cf Ml || δὲ αὐτοῦ Mm || **12** κατεδέξαντο Cb Cd Ce Ch Mc Md Mi ἐπεδέξαντο Cf || τοῦτον Cd αὐτοῦ Ce αὐτὸν om. Ml || Ἦλθον... ἀλλάξῃ om. Cc || γοῦν Ce || **13** Δία, καὶ παρεκάλουν ὅπως καὶ τοῦτον αὐτοῖς (αὐτοῖς om. Md Mm) ἀλλάξῃ Md Mi Mm || αὐτοῖς ἀλλάξοι Cd || ἀλλάξει Ce -ξαι Cf Mc || Ὁ δὲ Ζεὺς Ce Md Mi Mm || Ἀγανακτήσας οὖν ὁ Ζεύς, omisso κατ' αὐτῶν Cc || **14** ὕδρον Mk || εὐθὺς Ca Cc om. ceteri || αὐτοῖς εἰς βασιλέα Mc || **15** ὑφ' ἧς συλληφθέντες (συλλαμβανόμενοι Cd) οἱ βάτραχοι ἕνα καθ' ἕνα ἤσθιεν Cb Cd

Ὁ μῦθος δηλοῖ ὅτι ἄμεινόν ἐστι θεῷ πείθεσθαι καὶ μὴ πονηροὺς ἔχειν ἄρχοντας καὶ ταραχοποιούς.

Mc. Συλληφθέντων οὖν τῶν βατράχων καθ' ἡμέραν εἷς καὶ εἷς κατησθίετο Ce ὑφ' ἧς συλληφθέντες οἱ βάτραχοι καθ' ἕνα ἠσθίοντο Ch καὶ συλληφθέντες εἷς καὶ εἷς ἠσθίετο παρ' αὐτῶν Cc ἥτις ἕνα καθ' ἕνα τῶν βατράχων ἤσθιεν Md Mi Mm ὃς τοὺς βατράχους συλλαμβάνων ἕνα κατ' ἕνα ἤσθιεν Mk ἥτις εὐθὺς συλλαβοῦσα τούτους ἕνα καθ' ἕνα ἤσθιεν Ml || ἕνα καθ' ἕνα ἤσθιεν Cf || **17** Τοῦτο ὧδέ πως λέγει· ἄμεινον ... Cd || ὡς Cc || ἐστι om. Ch || ὀχλοποιούς pro ταραχοποιούς Mc Mk || καὶ ταραχοποιούς om. Cc.

Aliter.

Πολέμῳ ἐμφυλίῳ βάτραχοι πολεμοῦντες ἀλλήλοις ᾐτήσαντο τὸν Δία βασιλέα δοθῆναι αὐτοῖς τοῦ δι' ἐκείνου τὰ αὐτῶν διοικεῖσθαι. Καὶ ξύλου δοκὸν μέσον τῆς λίμνης ῥίψας διετάραξε τὸ ὕδωρ, πάντας δὲ βατράχους σιγὴ κατέσχεν ἐκπλαγέντας. Χρόνῳ δέ τινι τοῦ ξύλου ἀκινήτως ὄντος κατεφρόνησαν ὥστε καὶ ἐπιβάντες ἐπάνωθεν πολεμεῖν ἀλλήλοις. Καὶ πάλιν ἐδέοντο τοῦ Διὸς τύραννον ἢ στρατηγὸν λαβεῖν. Ὁ δὲ βδελυχθεὶς αὐτοὺς ὕδρον ἔδωκε διαφθείροντα τοὺς βατράχους.

Ὅτι πολλοὶ φεύγοντες δουλεύειν εἰρηνικοῖς δεσπόταις καὶ ἄκοντες εἰς πονηροὺς ἐνέπεσον.

Cod. Ba 126.

3 ξύλον cod.

Aliter.

Πόλεμος βατράχων.

Οἱ βάτραχοι δέ ποτε πολεμοῦμενοι
ἐξῃτήσαντο τὸν Δία ἐκδιδόναι
αὐτοῖς ἄνακτα καὶ ἄρχοντα κατέχειν.
Ὁ δὲ ἔρριψε μέσον τῆς λίμνης ξύλον
ὃ κατιδόντες σιγὴν βάτραχοι ἔσχον,
ὡς ἐλπίζοντες αὐτὸ ἄνακτα εἶναι.
Χρόνου δὲ πολλοῦ προβεβηκότος ἤδη,
κατεφρόνησαν οἱ βάτραχοι τοῦ ξύλου

Codex Pd 27 (fabula trunca).

1 βατράχων δέ ποτε πολεμούντων cod. uersum refeci || **2** ἐκδιδόναι nos ἐκδοῦναι cod. || **5** σιγὴν Coraës, σῖνον cod.

Digitized by Google

διὰ τὸ ἀκίνητον αὐτὸ ὑπάρχειν.
Μετὰ δὲ ταῦτα ἐξητοῦντο τὸν Δία
ἵνα αὐτοῖς ἕτερον ἄνακτα δώσῃ.
Ὁ δὲ ἐμμανὴς γενόμενος αὐτίκα
ἐπιδέδωκε τὴν ὕδραν τοῖς βατράχοις.

9 διὰ τὸ εἶναι αὐτὸ ἀκίνητον cod.: correxi pro necessitate uersus || 11 ἵνα δώσει. cod. δώσῃ scripsi et transposui.

67

Βάτραχοι ⟨γείτονες⟩.

Δύο βάτραχοι ἀλλήλοις ἐγειτνίων. Ἐνέμοντο δὲ ὁ μὲν βαθεῖαν καὶ τῆς ὁδοῦ πόρρω λίμνην, ὁ δὲ ἐν ὁδῷ μικρὸν ὕδωρ ἔχων. Καὶ δὴ τοῦ ἐν τῇ λίμνῃ παραινοῦντος θατέρῳ μεταβῆναι πρὸς αὐτόν, ἵνα καὶ ἀμείνονος καὶ ἀσφαλεστέρας διαίτης μεταλάβῃ, ἐκεῖνος οὐκ ἐπείθετο λέγων δυσαποσπάστως ἔχειν τῆς τοῦ τόπου συνηθείας, ἕως οὗ συνέβη ἅμαξαν τῇδε παριοῦσαν θλᾶσαι αὐτόν.

Οὕτω καὶ τῶν ἀνθρώπων οἱ τοῖς φαύλοις ἐπιτηδεύμασιν

Codd. Pa 68 Pb 69 Pc 35 Pf 33 Pg 45 Ph 35 Ma 49 Me 47 Mf 42 — La 88 Lb 40 Le 40 Lf 88 Md 141 Mg 55 Mi 115 Mj 46 Ml 51 Mm 60 (L = hi decem).

1 ἀλλήλων Pf || ἐγειτνίαζον Pb || Ἐνέμετο Md Ml || ὁ μὲν εἷς ἐν (ἐν om. Md) βαθείᾳ καὶ πόρρω τῆς ὁδοῦ λίμνῃ L || 2 ἐν ὁδῷ om. Pf Ph || μικρὸν ὕδωρ ἔχων om. Le || 3 ἔχον Pa ἔχουσαν Pf Me Mf ἐχούσῃ Ml || τῇ om. Mf || θατέρῳ Pf Ph θάτερον Pb Pc Mf θάτερυι Me -ρου Mj || θατέρῳ παραινοῦντος L || μεταβῆναι τὸν ἕτερον Pa τὸν ἕτερον μεταβῆναι Pg || θατέρων μεταβαίνειν Ma || 4 πρὸς αὐτὴν Me || πρὸς αὐτὸν μεταβῆναι ὡς ἂν ἀσφαλεστέρας διαίτης L || ἵνα μετ' αὐτοῦ ἀμείνονος Pc || ἵνα καὶ ἀσφαλέστερον τῆς διαίτης μεταλαβεῖ Ma || 5 ἀπολαύῃ Pb μεταλάβοι Pf Ph Mf μεταλαβοίη Me || λέγων om. Pg || 6 ἔχων Pg ἔχον Ma || τρόπου Md Ml || ἕως οὖν Md || 7 περιοῦσαν Ma περιιοῦσαν Mf παρελθοῦσαν L || θλᾶσαι Pf Ph Me Mf ὀλέσαι Pa Pb Pc Pg συνθιᾶσαι Ma συνθλᾶσαι L excepto Le qui fert συνεθλάσθη || 8 Ὁ λόγος δηλοῖ ὅτι οὕτως Me Ὅτι (Ὁ μῦθος ὅτι Mm) καὶ (καὶ om. Mi) L || τοῖς ἀνθρώποις Pa τοῖς φαύλοις ἐπιχειροῦντες omisso ἐπιτηδεύμασιν La Lf Mg Mj.

Digitized by Google

ἐνδιατρίβοντες φθάνουσιν ἀπολλύμενοι πρὶν ἢ ἐπὶ τὰ καλλίονα τρέπεσθαι.

9 διατρίβοντες Pg Mj || φθονοῦσι Ma qui desinit in hoc uerbo || πλὴν pro πρὶν Mm || τὰ χρείττω φθάσυ Pg || ἐπὶ τὸ βέλτιον (τὰ βελτίονα Lb Le Lf Mj Ml τὰ βελτίω Md) τραπέσθαι L || 10 τραπέσθαι Pb || 8-10 Οἱ τοῖς φαύλοις ἐπιτηδεύμασιν ἐνδιατρίβοντες καὶ ἐπὶ τὸ κάλλιον μὴ ἀνανεύοντες αἴτιοι τῆς ἑαυτῶν γίνονται ἀπωλείας Pf Ph Me Mf. || In Ma epim. annexum est fabulae sequenti.

Aliter.

Δύο βάτραχοι ἀλλήλοις ἐγειτνίων καὶ ἐνέμοντο ὁ μὲν εἰς βαθεῖᾳ λίμνῃ καὶ τῆς ὁδοῦ πόρρω, ὁ δὲ ἕτερος μικρὸν ἔχων ὕδωρ καὶ πλησίον ὁδοῦ. Ὁ μὲν οὖν ἐν τῇ βαθείᾳ λίμνῃ οἰκῶν βάτραχος παρῄνει τὸν ἕτερον μεταβῆναι πρὸς αὐτόν, ἵνα μετ' αὐτοῦ διάγῃ καὶ ἀσφαλεστέρας διαίτης μεταλαμβάνῃ. Ὁ δὲ οὐκ ἐπείθετο λέγων δυσαποσπάστως ἔχειν τῆς τοῦ τόπου συνηθείας ἕως [ἂν] ⟨συνέβη⟩ ἅμαξαν παριοῦσαν συνθλᾶσαι αὐτόν.

Οὕτως καὶ οἱ ἐν τοῖς φαύλοις ἐπιτηδεύμασιν ἐνδιατρίβοντες φθάνουσιν ἀπολλύμενοι.

Cod. Pe 36

1 ἐγειτνύον cod. || 5 μεταλαμβάνει cod. || 7 συνέβη addidi.

68

Βάτραχοι ⟨ἐν λίμνῃ⟩.

Βάτραχοι δύο, ξηρανθείσης αὐτῶν τῆς λίμνης, περιῄεσαν ζητοῦντες ποῦ καταμεῖναι. Ὡς δὲ ἐγένοντο κατά τι φρέαρ, ὁ ἕτερος συνεβούλευεν ἀμελητὶ ἅλλεσθαι. Ὁ δὲ ἕτερος

Codd. Pa 43 Pb 43 Pc 15 Pd 26 Pe 17 Pf 21 Pg 21 Ph 22 Ma 29 Me 30 Mf 28.

1 αὐτῶν om. Pb || τῆς λίμνης αὐτῶν Pe || αὐτοῖς Pf Ph Ma αὐτῆς Me Mf || περιῄσαν Pe περίεσαν Pd || 2 τὸ ποῦ Ma || μεῖναι Pe || Ἐν ὅσῳ δὲ Pf Ph Me Mf || 3 ὁ εἷς Pe || συνεβούλευεν αὐτῷ Pb τῷ ἑτέρῳ συνεβούλευσεν Ma || ἀμελῶς Pb ἀμελήτως Pc Pf Ph Ma Me Mf ἀμελητί πως Pd ἀμελετὴ Pe ἀμελετήτως Pg || ἅλεσθαι Pa κατελθεῖν Ma.

Digitized by Google

ἔλεγεν· « Ἐὰν οὖν καὶ τὸ ἐνθάδε ὕδωρ ξηρανθῇ, πῶς δυνησόμεθα ἀναβῆναι ; »

Ὁ λόγος ἡμᾶς διδάσκει μὴ ἀπερισκέπτως προσέρχεσθαι τοῖς πράγμασιν.

4 ἔλεγεν om. Pg || Ἐὰν δὲ Pe Ma || οὖν om. Pd || τὸ ἐνταῦθα Pf Ph Me Mf τὸ ἐνθένδε Ma || 5 δυνησώμεθα Pd Pe || ἀνελθεῖν Ma || 6 Ὁ λόγος δηλοῖ μὴ Pd Pe Ὁ μῦθος δηλοῖ ὅτι οὐ δεῖ ἡμᾶς Mf Ὅτι οὐ δεῖ ἡμᾶς Pf Ph Me || ἡμᾶς om. Ma || ἀσκέπτως Me Mf || 7 τοῖς τοῦ βίου πράγμασιν Pc.

Aliter.

Βάτραχοι δύο ἐνέμοντο ἐν λίμνῃ. Ἐν ἡμέραις δὲ τοῦ θέρους ἐξηράνθη ἡ λίμνη καὶ καταλείψαντες ἐκείνην, ἄλλην ἐπεζήτουν. Παραχρῆμα οὖν ἐνέτυχον φρέατι βαθεῖ. Εἶπε δὲ ὁ ἕτερος τῷ ἑτέρῳ· « Συγκατέλθωμεν ἐνταῦθα, ὦ φίλε. » Ὑπολαβὼν δὲ ὁ ἕτερος ἀντεῖπεν· « Ἐὰν οὖν καὶ τὸ ἐνθάδε ὕδωρ ξηρανθῇ, πῶς δυνησόμεθα ἀνελθεῖν ; »

Ὁ μῦθος δηλοῖ ὅτι οὐ δεῖ ἀπερισκέπτως προσέρχεσθαι τοῖς πράγμασι.

Codd. Ca 38 Cb 27 Cd 27 Ce 26 Cf 30 Ch 34 Mc 30 Mk 31.

1 τῇ λίμνῃ Cb Mc Mk λίμνῃ τινί Ce Cf || ἡμέρᾳ Ce Cf || 2 θερισμοῦ Cb || 3 οὖν om. Cf δὲ pro οὖν Cb Cd Mc Mk. || Καὶ παραχρῆμα Ce || ἐνέτυχον Ca Mk συνήντησαν ceteri || φρέατι βαθύ Cb Mc φρέαρ τι (τι om. Ce) βαθύ Cd Ce || 5 εἶπεν Mk || καὶ ἐνταῦθα τὸ (τὸ om. Cb) ὕδωρ Cb Cd || 6 ἐνταῦθα Mk ἐντεῦθεν Mc ἐν αὐτῷ Mk || δυνησώμεθα Cb Cf Mc || ἐλθεῖν Cf || 7 Ὁ λόγος Cd || προέρχεσθαι Cb || Ὁ μῦθος δηλοῖ ὅτι οἱ τῶν ἀνθρώπων ἐχέφρονες πρῶτον τὰ τέλη σκοποῦσι τῶν πραγμάτων, εἶτα εἰσέρχονται Ce || Cf. habet epimythium fabulae Βόες καὶ ἄξων.

Aliter.

Βάτραχοι δύο ἐν λίμνῃ ἐνέμοντο. Θέρους δὲ ξηρανθείσης τῆς λίμνης, ἐκείνην καταλιπόντες ἐπεζήτουν ἑτέραν. Καὶ δὴ βαθεῖ περιέτυχον φρέατι, ὅπερ ἰδὼν ἅτερος θατέρῳ φησί· « Συγκατέλθωμεν, ὦ οὗτος, εἰς τόδε τὸ φρέαρ. » Ὁ δὲ ὑπολαβὼν εἶπεν· « Ἂν οὖν καὶ τὸ ἐνθάδε ὕδωρ ξηρανθῇ, πῶς ἀναβησόμεθα ; »

Ὁ μῦθος δηλοῖ ὅτι οὐ δεῖ ἀπερισκέπτως προσιέναι τοῖς πράγμασιν.

Codd. La 19 Lb 23 Lc 10 Le 23 Lf 19 Lg 10 Mg 27 Mj 26 Ml 29.

1 ἐτρέφοντο Mg || 3 ἕτερος Le || 7 Ὅτι οὐ δεῖ Mg.

Digitized by Google

Aliter.

Βάτραχοι δύο, ξηρανθείσης τῆς λίμνης ἐν ᾗ κατῴκουν, περιῄεσαν ζητοῦντες ποῦ καταμεῖναι. Καὶ ἐλθόντες εἰς φρέαρ βαθὺ καὶ κύψαντες κάτω καὶ ἰδόντες τὸ ὕδωρ, ὁ μὲν εἷς συνεβούλευεν ἵνα πηδήσωσι παρευθὺς κάτω. Ὁ δὲ ἕτερος εἶπεν· « Εἰ δὲ καὶ τοῦτο ξηρανθῇ, πῶς δυνησόμεθα ἀναβῆναι ; »

Ὁ μῦθος δηλοῖ ἄνευ συμβουλῆς μὴ ποιεῖν τι.

Cod. T 3.

69

Βάτραχος ⟨ἰατρός⟩ καὶ ἀλώπηξ.

Ὄντος ποτὲ βατράχου ἐν τῇ λίμνῃ καὶ τοῖς ζῴοις πᾶσιν ἀναβοήσαντος· « Ἐγὼ ἰατρός εἰμι φαρμάκων ἐπιστήμων, » ἀλώπηξ ἀκούσασα ἔφη· « Πῶς σὺ ἄλλους σώσεις, σαυτὸν χωλὸν ὄντα μὴ θεραπεύων ; »

Ὁ μῦθος δηλοῖ ὅτι ὁ παιδείας ἀμύητος ὑπάρχων, πῶς ἄλλους παιδεῦσαι δυνήσεται ;

Cod. Ca 154.
3 αὐτὸν cod.

Aliter.

Ὄντος δέ ποτε βατράχου ἐν τῇ λίμνῃ,
ἀνεβόησε πᾶσι τοῖς ζῴοις λέγων·
« Ἰατρός εἰμι φαρμάκων ἐπιστήμων. »
« Καὶ πῶς δέ, φησὶν ἀλώπηξ, ἄλλους σῴζεις,
σαυτὸν δὲ χωλὸν ὄντα οὐ θεραπεύεις ; »

Ὁ μῦθος δηλοῖ ὅτι ὁ παιδείας ἀμύητος ὑπάρχων πῶς ἄλλους ἀνθρώπους παιδεύσει ;

Codd. Ch 103 Cb 83 Cf 97 Cg 28 Mb 21 Mc 82.

1 Ὀρητός ποτε Cg || Βάτραχος τῷ πηλῷ συζῶν ἀνεβόησε Mb || **4** Καὶ πῶς δ' ἔφη ἡ ἀλώπηξ Mc || ἀλώπηξ. ὦ οὗτος, ἄλλους Cf || **5** οὐ οὐ θεράπευσον Cb μὴ θεραπεύων Cg μηδαμῶς θε- Mb || **6** Ὅτι Cb Cg || πῶς ἄλλους ἀνορθώσας παιδεύσει (-δεύει Cg) Cg Mc || Ὅτι ὁ παιδείας ἀνοίωτος ὑπάρχων πῶς ἄλλους ἀνορθῶσο παιδευάν Cb || οἱ παιδείᾳ ἀμύητοι ἄλλους παιδεῦσαι οὐ δύνανται Cf || ἀμύητος τυγχάνων, πῶς τοὺς λοιποὺς πεδεύσει διωρθώσας Mb.

Digitized by Google

Aliter.

Ὁ τῷ πηλῷ συζῶν βάτραχος εἰς γῆν ἐξελθὼν ἔλεγε πᾶσι τοῖς ζῴοις· « Ἰατρός εἰμι φαρμάκων ἐπιστήμων, οἷος οὐδὲ ὁ τῶν θεῶν ἰατρὸς Παιών. — Καὶ πῶς, ⟨εἶπεν⟩ ἀλώπηξ, ἄλλους ἰάσῃ, ὃς ἑαυτὸν χλωρὸν ὄντα οὐκ ἰατρεύεις ; »

[Ὅτι] ὁ παιδείας ἀμύητος ὑπάρχων πῶς ἑτέρους παιδεύσει καὶ διορθώσεται ;

Cod. Ba 113.

4 εἶπεν addidi.

Aliter.

Σκώληξ καὶ ἀλώπηξ.

Ὁ τῷ πηλῷ κρυπτόμενος σκώληξ εἰς γῆν ἐξελθὼν ἔλεγε πᾶσι τοῖς ζῴοις· « Ἰατρός εἰμι φαρμάκων ἐπιστήμων, οἷός ἐστιν ὁ τῶν θεῶν ἰατρὸς Παιών. — Καὶ πῶς, εἶπεν ἀλώπηξ, ἄλλους ἰώμενος σαυτὸν χωλὸν ὄντα οὐκ ἰάσω ; »

Ὁ μῦθος δηλοῖ ὅτι, ἐὰν μὴ πρόχειρος ᾖ ἡ πεῖρα, πᾶς λόγος ἀργὸς ὑπάρχει.

Codd. La 139 Lc 43 Lg 43 Md 92 Mg 133 Mh 83 Mi 8 Mm 110.

1 ἐκ γῆς Mh || 3 ὁ om. Lc Lg || 4 ἴασαι, σαυτὸν δὲ χωλὸν ὄντα οὐχ ἴασαι Lc Lg Md Mh Mi Mm || 5 ᾖ La Mh om. ceteri || 6 τυγχάνει Lc Mh Mi Mm.

70

Βόες καὶ ἄξων.

Βόες ἅμαξαν εἷλκον. Τοῦ δὲ ἄξονος τρίζοντος, ἐπιστραφέντες ἔφασαν οὕτως πρὸς αὐτόν· « Ὦ οὗτος, ἡμῶν τὸ ὅλον βάρος φερόντων, σὺ κέκραγας ; »

Codd. Pa 45 Pb 45 Pc 17 Pe 19 Pg 23 Ma 31 Mb 17 — Ca 39 Cb 28 Cd 28 Ce 29 Cf 33 Ch 35 Mc 31 Mj 28 Mk 32.

1 ἥλκοντο Ma ἕλκοντες Ce || Οἱ δὲ ἄξονες τρίζοντες Ma || τρύζοντος Pc Pe Ca Cd Mk || ἐπιστραφέντες οἱ βόες Pe Cb Ce Cf Mc Mj Mk || 2 ἔφησαν πρὸς αὐτὸν (αὐτοὺς Ma) Pg Ca Ma ἔφησαν αὐτῷ Ch εἶπον αὐτῷ Cb Cd Ce Cf Mc Mk εἶπον πρὸς τὴν ἅμαξαν Pe εἶπον Mj || ὦ οὕτη, ἡμῶν ὅλον τὸ βάρος βασταζόντων Pe || οὕτως pro ὦ οὗτος Cf Mk || ἡμεῖς (-μῶν Cf) τὸ βάρος ὅλον φέροντες Ce Cf ὅλον τὸ βάρος ἡμεῖς φέρομεν Mj || ὅλον τὸ βάρος Cb Ch Mc Mk τὸ βάρος ὅλον Cd || ὅλον τὸ βάρος ἡμῶν Ma || 3 σὺ τί κράζεις Pb Ca Mj σὺ τί κραυγάζεις Pe Ma σὺ τί τρίζεις Ce σὺ τρίζεις Cf Mc σὺ τρύζεις Mk.

Digitized by Google

Οὕτω καὶ τῶν ἀνθρώπων ἔνιοι, μοχθούντων ἑτέρων, αὐτοὶ προσποιοῦνται κάμνειν.

4 Ὁ μῦθος δηλοῖ ὅτι τινές, ἄλλων μοχθούντων ... Mk || τῶν ἀνθρώπων om. Pb Ca || ἑτέρων μοχθούντων Pb Ma Mb Ca || 6 ἑαυτοῖς βάρος προσποιοῦνται Ma || 5-6 Οὕτως πολλάκις, ἄλλων μοχθούντων, ἄλλοι ἐπὶ τοῖς ἔργοις αὐτῶν ἄχθονται Pe Ὁ μῦθος δηλοῖ (hoc initium om. Cb) ὅτι πολλοὶ τῶν ἀνθρώπων (ἀνθρώπων om. Cd), ἄλλων (ὅτι τινές, ἄλλων Mk) μοχθούντων (μοχθοῦντες Ce πονούντων Mj) ἕτεροι (αὐτοὶ Cd Cf Mj) βαρύνεσθαι (βάρος Cb Ce Cf Ch Mc Mk τοὺς πόνους Mj) προσποιοῦνται Cb Cd Ce Cf Ch Mc Mj Mk.

Aliter.

Βοηλάτης καὶ ἅμαξα.

Ἐν πόλει μεγίστην ταῦροι ἅμαξαν εἷλκον· ἡ δὲ ἔτριζεν ἰσχυρῶς. Θυμωθεὶς οὖν ὁ βοηλάτης εἶπεν αὐτῇ· « Ὦ κακὸν κτῆμα, τί κράζεις, βίᾳ τῶν ἑλκόντων σε βοῶν σιωπώντων ; »

Ὅτι τινὲς ἐπ' ἀλλοτρίοις πόνοις καὶ πλούτῳ καυχώμενοι μέγα φρονοῦσιν ὡς αὐτοὶ χειμασθέντες ἐν αὐτοῖς.

Codd. Ba 32 Bb 21.

1 μεγίστῃ Ba || ἔτριψεν Bb || Epimythium in utroque codice pertinet ad aliam fabulam : uerum epimythium ex fabula superiore (31 et 20) resumpsi.

Aliter.

Ταῦροι δύο ἅμαξαν ἕλκοντες ἐπὶ πόλιν τινὰ φόρτον ἔφερον. Τῆς οὖν ἁμάξης τρυζούσης ἀεὶ φερομένης, θυμωθεὶς ὁ τὰς βοῦς ἐλαύνων ἔφη· « Ὦ κακὸν κτῆμα, τί κράζεις, τῶν βίᾳ σε ἑλκόντων βοῶν σιωπώντων ; »

Cod. Bd 14.

Aliter.

Ταῦροι δύο ἅμαξαν εἷλκον ἐν πόλει.
Ἡ δ' ἐπεβόα, κράζουσα δὴ μεγάλως.

Codd. Mb 203 Pd 28.

1 Βόες ἅμαξαν εἷλχον μεγίστῃ πόλει Pd || 2 εἰσεβόα κοάζουσά τε Pd.

Digitized by Google

Ὁ δὲ βοηλάτης αὐτῇ ταῦτα λέγει·
« Ὦ θρασύτατον κτῆμα κακῶν πραγμάτων,
ἵνα τί οὕτω σὺ κατακράζεις, βίᾳ
τῶν καθελκόντων σε βοῶν σιωπώντων ; »

Ὅτι τινὲς ἐπ' ἀλλοτρίοις πόνοις καυχώμενοι δοκοῦσι μέγα φρονεῖν ἐπ' αὐτοῖς.

3 αὐτῇ nos πρὸς αὐτὴν codd. || 5 βίᾳ (βόα Mb) καταχράζεις codd. || 6 Οὕτως ἔνιοι, ἑτέρων μοχθούντων, αὐτοὶ προσποιοῦνται κάμνειν Pd || ἀλλοτρίαις Mb.

71

Βόες ⟨τρεῖς⟩ καὶ λέων.

Ἐνέμοντο μετ' ἀλλήλων τρεῖς ἀεὶ βόες. Λέων δὲ τούτους φαγεῖν θέλων διὰ τὴν αὐτῶν ὁμόνοιαν οὐκ ἠδύνατο· ὑπούλοις δὲ λόγοις διαβαλὼν ἐχώρισεν ἀπ' ἀλλήλων, καὶ τότε ἕνα ἕκαστον αὐτῶν μεμονωμένους εὑρὼν κατεθοινήσατο. [Ὅτι], εἰ θέλεις μάλιστα ζῆν ἀκινδύνως, τοῖς μὲν ἐχθροῖς ἀπίστει, τοῖς δὲ φίλοις πίστευε καὶ συντήρει.

Codd. Ba 36 Bb 24 Mg 62.

4 μεμονομένους Ba || κατεθηνήσατο Ba κατεσθηνήσατο Bb || 5 θέλης Bb || τοῖς φίλοις δὲ καὶ συντήρει omisso πίστευε Bb || Ὅτι τοῖς μὲν ἐχθροῖς ἀπιστεῖν δεῖ, τοῖς δὲ φίλοις πιστεύειν Mg. Epimythium in Ba annexum est fabulae superiori.

Aliter.

Ἐνέμοντο τρεῖς μετ' ἀλλήλων βόες. Λέων δὲ τούτους φαγεῖν θέλων διὰ τὴν ὁμόνοιαν ἐδειλία· αἱμύλοις δὲ λόγοις τούτους διαχωρίσας μεμονωμένους τούτων ἕνα καθ' ἕνα εὑρὼν ἀδεῶς ἤσθιεν.

Cod. Bc 28.

Aliter.

Τρεῖς ὁμοιότροποι ἐνέμοντο βόες.

Cod. Mb 20.

1 Βόες τροῖς ὁμότροποι ἐνέμοντο cod. βόες transposui et scripsi Τρεῖς ὁμοιότροποι.

Λέων δὲ τούτοις τοῦ φαγεῖν προσορμήσας
δι' ὁμόνοιαν οὐκ ἴσχυσεν οὐδ' ὅλως.
Τοῦ δὲ ὑπούλοις διαβάλλοντος λόγοις,
ἀπεχώρισεν αὐτοὺς ἐξ ἀμφοτέρων,
καὶ τότ' ἕκαστον εὑρὼν μεμονωμένον
κατεσπάραξεν οἷς τρόποις ἠβουλήθη.

[Ὅτι] ὁ θέλων ζῆν ἀκινδύνως τοῖς μὲν ἐχθροῖς ἀπιστείτω, πιστευέτω δὲ τοῖς φίλοις.

4 ὑπούλοις λόγοις εὐθεῖς διαβάλλοντος cod. λόγοις transposui et deleui εὐθεῖς (lege εὐθὺς) || 5 ἀπεχώρησεν cod.

72

Βοηλάτης καὶ Ἡρακλῆς.

Βοηλάτης ἅμαξαν ἦγεν εἰς κώμην.
Τῆς δ' ἐμπεσούσης εἰς φάραγγα κοιλώδη,
Δέον βοηθεῖν, ὅδε ἀργὸς εἱστήκει,
Τῷ δὲ Ἡρακλεῖ προσηύχετο μόνῳ
Ἁπάντων θεῶν ὡς πολλὰ τιμωμένῳ.
Αὐτὸς δ' ἐπιστὰς εἶπε· « Τῶν τρόχων ἅπτου
Καὶ τοὺς βόας κέντριζε, τοῖς θεοῖς δ' εὔχου,
Ὅταν τι ποιῇς καὐτός· μὴ μάτην εὔξῃ. »

Cod. Mb 19. Cf. Babrium 52.

2 δὲ cod. || 3 ὁ δὲ cod. || 4 δ' cod. || 5 θεῶν ἐκείνῳ cod. ἐκείνῳ deleui || τιμωμένῳ nos διαμένω cod.

73

Βορέας καὶ Ἥλιος.

Βορέας καὶ Ἥλιος περὶ δυνάμεως ἤριζον. Ἔδοξε δὲ αὐτοῖς ἐκείνῳ τὴν νίκην ἀπονεῖμαι ὃς ἂν αὐτῶν ἄνθρωπον

Codd. Pa 46 Pb 46 Pc 18 Pe 20 Pg 24.

1 Βορρᾶς Pe || δυναστείας Pe || Ἔδοξεν οὖν τὸν Ἥλιον τὴν νίκην ἀπονέμεσθαι ὡς ἂν αὐτὸν ἄνθρωπον ὁδοιπόρον ἐκδῦσαι Pe || 2 ἀποδοῦναι Pc || ἂν om. Pc || αὐτῷ Pa.

Digitized by Google

ὁδοιπόρον ἀποδύσῃ. Καὶ ὁ Βορέας ἀρξάμενος σφοδρὸς ἦν· τοῦ δὲ ἀνθρώπου ἀντεχομένου τῆς ἐσθῆτος, μᾶλλον ἐπέκειτο. Ὁ δὲ ὑπὸ τοῦ ψύχους καταπονούμενος ἔτι μᾶλλον, καὶ περιττοτέραν ἐσθῆτα προσελάμβανεν, ἕως ἀποκαμὼν ⟨ὁ Βορέας⟩ τῷ Ἡλίῳ αὐτὸν παρέδωκε. Κἀκεῖνος τὸ μὲν πρῶτον μετρίως προσέλαμψε· τοῦ δὲ ἀνθρώπου τὰ περισσὰ τῶν ἱματίων ἀποτιθεμένου, σφοδρότερον τὸ καῦμα ἐπέτεινεν, ἕως οὗ πρὸς τὴν ἀλέαν ἀντέχειν μὴ δυνάμενος, ἀποδυσάμενος, ποταμοῦ παραρρέοντος ἐπὶ λουτρὸν ἀπῄει.

Ὁ λόγος δηλοῖ ὅτι πολλάκις τὸ πείθειν τοῦ βιάζεσθα ἀνυτικώτερόν ἐστι.

3 ἐκδύσῃ Pb Pg || ὁ om. Pc || 4 τῇ ἔσθητι Pc || ἔτι μᾶλλον ἐπέκειτο πνέων Pe || 5 τοῦ om. Pe || 6 περιττότερον Pa || προσελάβετο Pe περιελάμβανεν Pg || ἕως αὐτὸν Pc || 7 ὁ Βορέας addidit Schneider || αὐτὸν παρέδωκε Pe || αὐτὸν om. Pa Pb Pg || μετεπαρέδωκε Pa μετὰ τοῦτο παρέδωκε Pb παρέδωκε ceteri || Τὸ μὲν πρῶτον ὁ Ἥλιος Pe || 9 ἀποτιθεμένων Pe || ὁ Ἥλιος ἐπέτεινε Pe || 10 μέχρις οὗ Pb Pg || οὗ om. Pc || ἕως οὗ μὴ φέρων ὁ ἄνθρωπος τὸν καύσωνα, ἀποδυσάμενος, ἐπί τινα ποταμὸν προκείμενον ἑαυτὸν ἔβαλλεν Pe || 11 παραρέοντος Pa ῥέοντος Pb || παρῄει Pa || 12 καὶ τὸ βιάζεσθαι ἀνηστικώτερον Pe || 13 ἀνυστικώτερον Pg || ἐστι om. Pa Pc.

Aliter.

Βορρᾶς χειμέριος ἔριν ἐποιήσατο πρὸς τὸν Ἥλιον, ποῖος ἐξ αὐτῶν ὁδοιποροῦντός τινος τὸ ἱμάτιον ἀποδύσει. Βορρᾶς δὲ πρῶτος βίᾳ τὸ ἱμάτιον φυσῶν ἤλπιζε συλήσειν. Ὁ δὲ ῥιγῶν καὶ κρατήσας ἀμφοτέραις χερσὶ τὸ ἱμάτιον, ἔβαλε τὴν κεφαλὴν ἔν τινι πέτρας ὀπῇ, τὴν ψόαν ἔξω ἐάσας. Ὁ δὲ Ἥλιος τὸ μὲν πρῶτον χλιάνας αὐτὸν τοῦ ψύχους, ἔπειτα τὴν φλόγα προσαγαγὼν ἔπεισεν ἱδρώσαντα τὸ ἱμάτιον ἀποδύσασθαι· οὕτως οὖν ἡττήθη ὁ Βορρᾶς.

Ὅτι πραοτέρως ἐπιχειρῶν τινι πράγματι μᾶλλον ἀνύσεις πείθων ἢ βιαζόμενος.

Codd. Ba 17 Mg 28.

3 βίᾳ om. Mg || ῥηγῶν codd.

Aliter.

Ἐν χειμῶνι Βορρᾶς πρὸς τὸν Ἥλιον ἰσχύος ἕνεκα ἔριν

Cod. Bd 5.

ἐποιεῖτο. Καὶ σῆμα ὃν τῆς ἰσχύος τινὸς ὁδοιποροῦντος τὴν τοῦ ἱματίου ἀφαίρεσιν ἐποιήσαντο. Βορρᾶς μὲν οὖν πρῶτος ἐναντίον τοῦ ἀνέμου μέγα φυσῶν ἐπειρᾶτο ἐκ τοῦ ἀνθρώπου βίᾳ τὸ ἱμάτιον ἀπορρίψας γυμνὸν ἐκεῖνον καταλιπεῖν. Ὁ δὲ ὑπὸ τοῦ κρύους πανταχόθεν περισυνάγων αὐτὸ καὶ ἰσχυρῶς περιστέλλων ἔκρυψεν, εἰσελθὼν ἔν τινι πέτρας ὀπῇ, τὴν ἑαυτοῦ κεφαλήν, τὴν τοῦ ἀνέμου φεύγων σφοδρότητα· τὸ ⟨δὲ⟩ λοιπὸν σῶμα ἔξω ἀφείς, ἐκκρύψαι αὐτὸ οὐκ ἠδύνατο. Οὕτω δὲ κείμενον ὁ Ἥλιος πρῶτον ὑπὸ τοῦ ψύχους νεκρωθέντα ἀπέθαλπε· ἔπειτα κατὰ μικρὸν τοῦτον περιθερμάνας ἱδρῶσαι πεποίηκε· οὗ γεγονότος, τὸ ἱμάτιον ἀπεκδυσάμενος νικήτην τὸν Ἥλιον ἔδειξεν.

9 δὲ addidi.

Aliter.

Βορρᾶς κἥλιος ἤριζον πρὸς ἀλλήλους
ὅστις ἐξ αὐτῶν τινα τῶν ὁδευόντων
πρῶτος ἐκδύσει αὐτοῦ τὸν χιτωνίσκον.
Τοῦ δὲ Βορρᾶ πνέοντος ἰσχυροτάτως,
ἄνθρωποι μᾶλλον ψυχρωθέντες εὐθέως
μᾶλλον ἠμφίεννυντο περιβολαίοις.
Ὁ δὲ χλιάνας Ἥλιος μετὰ ταῦτα
καὶ τοῖς ἀνθρώποις ἱδρώτας προξενώσας
πέπεικεν εὐθὺς ἐκδῦσαι τοὺς χιτῶνας.
Τότε ὁ Βορρᾶς αἰσχυνθεὶς ἀπεστράφη.

Ὅτι πολλάκις τὸ πείθειν τοῦ βιάζεσθαι ἀνυτικώτερόν ἐστι.

Codex Pd 29.

1 κἥλιος scripsi ἥλιος cod. || **3** τὸ χιτωνίσκον cod. || **5** ψυχρωθέντες nos ψυχρᾶς θέντες cod. || **6** περιβολαίοις μᾶλλον ἠμφιέννυντο cod. περι- transposui || **8** προξενώσας nos προξενοῦντα cod. || **11** πιθεῖν cod.

74

Βουκόλος καὶ λέων.

Βουκόλος βόσκων ἀγέλην ταύρων ἀπώλεσε μόσχον. Περιελθὼν δὲ καὶ μὴ εὑρὼν ηὔξατο τῷ Διί, ἐὰν τὸν

Codd. Pa 49 Pb 49 Pc 20 Pe 23 Pg 27 Ma 34.

1 ἀγέλην βόσκων Ma || μόσχον ἀπώλεσε Pe || **2** περιὼν Pg || ὅτι ἐὰν ... θύσει Pe.

Digitized by Google

κλέπτην εὕρῃ, ἔριφον αὐτῷ θῦσαι. Ἐλθὼν δὲ εἴς τινα δρυμῶνα καὶ θεασάμενος λέοντα κατεσθίοντα τὸν μόσχον, περίφοβος γενόμενος, ἐπάρας τὰς χεῖρας εἰς τὸν οὐρανόν, εἶπε· « Ζεῦ δέσποτα, πάλαι μέν σοι ηὐξάμην ἔριφον θῦσαι, ἂν τὸν κλέπτην εὕρω, νῦν δὲ ταῦρόν σοι θύσω, ἐὰν τὰς τοῦ κλέπτου χεῖρας ἐκφύγω. »

Οὗτος ὁ λόγος λεχθείη ἂν ἐπ' ἀνδρῶν δυστυχούντων, οἵτινες ἀπορούμενοι εὔχονται εὑρεῖν, εὑρόντες δὲ ζητοῦσιν ἀποφυγεῖν.

3 θύσειν Ma || **4** ἐσθίοντα Pe || **5** καὶ περίφοβος Pe || τὰς χεῖρας αὐτοῦ Ma || εἰς τὸν οὐρανὸν τὰς χεῖρας Pb || **6** ἔφη Pe || Δέσποτα Ζεῦ Pb Ma ὦ δέσποτα Ζεῦ Pc Pe || πολλὰ pro πάλαι Pg || εἰ τὸν κλέπτην εὕρω, ἔριφον θύειν Pe || **7** θύσω pro θῦσαι Pg θύσειν Ma || εἰ pro ἂν Pe Ma || σοι om. Pb || προσενέγκω, ἐὰν τὰς χεῖρας τοῦ κλέπτου Pc || **9** Οὕτως ὁ λόγος ἐπ' ἀνδρῶν, omisso λεχθείη ἂν Pe || μῦθος Ma || κατ' ἀνδρῶν Pb || **10** οἵτινες ἀπολλώμενα εὔχῖτα εὑρεῖν Ma || εὑρεῖν θησαυρόν Pg.

Aliter.

Βουκόλος ἀγέλην ταύρων βόσκων ἀπώλεσε μόσχον. Περιελθὼν δὲ πᾶσαν τὴν ἔρημον διέτριβεν ἐρευνῶν. Ὡς δὲ οὐδὲν εὑρεῖν ἠδυνήθη, ηὔξατο τῷ Διὶ οὕτως, ὅτι, « ἐὰν τὸν κλέπτην τὸν λαβόντα τὸν μόσχον ὑποδείξῃς μοι, ἔριφόν σοι εἰς θυσίαν προσάξω ». Καὶ δὴ διερχομένου αὐτοῦ εἴς τινα δρυμόν, εὑρίσκει λέοντα κατεσθίοντα τοῦτον τὸν

Codd. Ca 41 Cb 30 Cc 30 Cd 30 Ce 28 Cf 32 Mc 33 Md 35 Mh 31 Mi 70 Mk 34 Ml 32 Mm 38 Lf 135.

1 βόσκων ταύρων Cc || **2** πᾶσαν om. Ch || τὴν ἔρημον καὶ διερευνῶν, ὡς οὐδὲν εὑρεῖν Cc || Ὡς δὲ οὐκ ἠδυνήθη τοῦτον εὑρεῖν Mk || **3** ὤνατο pro εὑρεῖν ἠδυνήθη Ce || ηὔξο Cd || τὸν (τῷ Mc) Δία Mc Lf || οὗτος Mc οὕτως om. Cc || ὡς Ml ὅτι om. Mc Mk || εἰ Cc ἂν Cd Mc Lf || αὐτὸν pro ἐὰν τὸν Cb Mc Mk || τὸν λαβόντα τὸν μόσχον κλέπτην Lf || **4** μοι (μου Cb Cd) ὑποδείξῃς Cb Cd Mk αὖθίς μοι ὑποδείξῃς Ce Cf Ch Ml || μοι om. Mc Lf || **5** προσάξω σοι Cd Mc Mk Lf || σοι om. Cb || δὴ om. Cb Cf Md Ml Mm || ἐρχομένου Cd Ce Mc Lf || διερχόμενος αὐτὸς Cc διερχόμενος omisso αὐτοῦ Cc Mk || **6** δρόμον Ca δρυμῶνα Lf δρυμόνα Ce Mc Mk || εὗρε Mk || ἐσθίοντα Ce || τοῦτον τὸν μόσχον nos τὸν μόσχον Md Mi Mm Lf τὸν τοιοῦτον μόσχον ceteri.

Digitized by Google

μόσχον. Ἔμφοβος οὖν γενόμενος καὶ μεγάλως δειλιάσας, ἐπάρας τὰς χεῖρας αὐτοῦ εἰς τὸν οὐρανόν, εἶπεν· « Ὦ δέσποτα Ζεῦ, ἐπηγγειλάμην σοι ἔριφον δοῦναι, ἐὰν τὸν κλέπτην εὕρω, νυνὶ δὲ ταῦρόν σοι θύσω, ἐὰν τὰς χεῖρας τοῦ κλέπτου ἐκφύγω. »

Οὗτος ὁ λόγος λεχθείη ἂν ἐπ' ἀνδρῶν δυστυχούντων οἵτινες ἀπορούμενοι εὔχονται εὑρεῖν, εὑρόντες δὲ ζητοῦσιν ἀποφυγεῖν.

7 Ἔκφοβος Ce || δὲ pro οὖν Cd Mi Mk Mm || καὶ om. Md Mi || μέγα Ml Mm. || **8** Mh incipit ab ἐπάρας τὰς χεῖρας || ἐπάρας δὲ Cf || τὴν χεῖρα αὐτοῦ πρὸς Mm || αὐτοῦ om. Cd. || Ὦ Ζεῦ (Ζεὺς Md) βασιλεῦ Md Mi Mm || **9** Ζεὺς Ce Mc Lf || ἀπηγγειλάμην Ce || σε Ca || θῦσαι Md Mh Mi Mm δοῦναι om. Ce || εἰ (ἐὰν Cb Mk) τὸν κλέπτην εὕρω Cb Ce Cf Ch Ml Lf ἐὰν τ. κ. εὑρήσω ceteri || **10** νῦν Cb Cc Cd Ce Cf Mc Mk Ml Lf || δὲ om. Mc Mk Lf || ταῦρον ἐπαγγέλλομαι θύσειν Mk || σοι om. Lf || εἰ Ml || ἐὰν τούτου ἐκφύγω Mc || **11** τοῦ κλέπτου, ἤγουν τοῦ λέοντος Ca τούτου τὰς χεῖρας ἐκφύγω Cb Cd Ch Mk Lf τὰς χεῖρας αὐτοῦ ἐκφύγω Ce Cf Ml τὰς χεῖρας ἐκφύγω τοῦ κλέπτου (λέοντος Cc) Cc Mh Mi Mm || **12** Ὁ λόγος ἁρμόζει εἰς ἄνδρας δυστυχοῦντας... Cd || Ὁ μῦθος δηλοῖ ἐπὶ ἀνδρῶν... Ce Cf Mc Lf Ὁ μῦθος ἐπὶ ἀνδρῶν... Ch Mk Ml || **13** οἵτινες ὑπὸ ἀπορίας εὔχονται πολλάκις τὸ αἴτιον εὑρεῖν ... Mk || οἵτινες ... εὑρεῖν om. Ce Cf || οἳ καὶ τὰς αἰτήσεις εὑρόντες ζητοῦσιν ἀποφυγεῖν Ml || εὔχηνται Mc || τοῦ εὑρεῖν Cb Cd Mc Lf || εὑρὼν δὲ Lf || **12-14** Ὁ μῦθος δηλοῖ ἄνδρας δυστυχοῦντας οἵτινες ἀποροῦντές τινος εὔχονται εὑρεῖν, ἐπὰν δὲ εὕρωσι, ζητοῦσιν ἀπαλλαγῆναι Md Mh Mi Mm || Epim. deest in. Cc.

Aliter.

Βουκόλος ἀγέλην ταύρων βόσκων ἀπώλεσε μόσχον. Περιελθὼν δὲ πᾶσαν τὴν ἔρημον διέτριβεν ἐρευνῶν. Ὡς δὲ οὐδὲν εὑρεῖν ἠδυνήθη, ηὔξατο τῷ Διί, ἂν τὸν λαβόντα μόσχον κλέπτην ὑποδείξῃ, ἔριφον εἰς θυσίαν προσάξειν. Καὶ δὴ ἐρχόμενος εἴς τινα δρυμῶνα εὑρίσκει λέοντα κατεσθίοντα τὸν μόσχον. Ἔμφοβος οὖν γενόμενος καὶ μέγα δειλιάσας, ἐπάρας τὰς χεῖρας αὐτοῦ εἰς τὸν οὐρανόν, εἶπεν· « Ὦ δέσποτα Ζεῦ, ἐπηγγειλάμην σοι ἔριφον δώσειν, ἐὰν τὸν κλέπτην εὕρω· νῦν ⟨δὲ⟩ ταῦρον σοι θύσειν ὑπισχνοῦμαι, ἐὰν τούτου τὰς χεῖρας ἐκφύγω. »

Cod. La 135.

9 δὲ om. cod.

Digitized by Google

Ὁ μῦθος πρὸς ἄνδρας δυστυχεῖς οἵτινες ἀποροῦντες μὲν εὔχονται εὑρεῖν, εὑρόντες δὲ ζητοῦσιν ἀποφυγεῖν.

Aliter.

Βοηλάτης καὶ λέων.

Βοηλάτης ταῦρον ἀπώλεσεν· ηὔξατο δὲ τῷ θεῷ, εἰ τὸν κλέπτην εὕροι, ταῦρον ἐπιθύσειν. Εὗρε δὲ ἐξαίφνης τοῦτον ὑπὸ λέοντος ἐσθιόμενον· εἶπεν δὲ τῷ θεῷ ὅτι « καὶ ἕτερον βοῦν σοι ἐπιθύσω, εἰ τὸν κλέπτην ἐκφύγω. »
Ὅτι ἀβούλως οὐ δεῖ εὐχὴν τῷ θεῷ συντάσσεσθαι διὰ τὴν πρὸς ὥραν συμβαίνουσαν λύπην.

Codd. Ba 16 Bb 11.

1 βοιλάτης Bb || εὔξατο Ba || 2 ἐπιθῦσαι Bb || 3 ὅ pro ὅτι Bb.

Aliter.

Βουθρέμμων καὶ λέων.

Βουθρέμμων τις ἐν ὄρει ταῦρον ἀπώλεσεν. Ταῦρον οὖν ἐπιθύσειν ηὔχετο τῷ θεῷ, εἰ τῷ κλέπτῃ ἐντύχοι. Ἐξαίφνης οὖν εὗρε τοῦτον ὑπὸ λέοντος ἐσθιόμενον. Στενάξας οὖν ἔφη· « Βοῦν σοι καὶ ταῦρον, θεέ, προσενέγκω, εἰ τὰς χεῖρας τοῦ κλέπτου βοηθήσεις μοι ἐκφυγεῖν. »
Ὅτι ἀβούλως οὐδὲ εὐχὴν ποιεῖσθαι χρή· ἄδηλον γὰρ τὸ συμβησόμενον.

Cod. Bc 14.

1 Βουθρέμων cod. || 2 Ἐξαίφνης Coraës Ἐξ αἴθρης cod. || 4 προσενέγκω uidetur in multis fabulis futuri sensum habere.

Aliter.

Βουκόλος καὶ λέων.

Βουκόλος ταῦρον ἀπολέσας ηὔξατο τῷ Ἑρμῇ, εἰ τὸν κλέψαντα εὕροι, ἕτερον ταῦρον αὐτῷ θύσειν. Αἴφνης δὲ ἰδὼν λέοντα τοῦτον ἐσθίοντα εἶπεν· « Καὶ ἕτερόν σοι, ὦ Ἑρμῆ, βοῦν θύσω, εἰ τὸν κλέπτην ἐκφυγεῖν δυνηθείην. »

Cod. Bd 4.

Digitized by Google

75

Βωταλις καὶ νυκτερίς.

Βωταλις ἀπό τινος θυρίδος κρεμαμένη νυκτὸς ᾖδε. Νυκτερὶς δὲ ἐξήκουσε αὐτῆς τὴν φωνὴν καὶ προσελθοῦσα ἐπυνθάνετο ἀπ' αὐτῆς τὴν αἰτίαν δι' ἣν ἡμέρας μὲν ἡσυχάζει, νύκτωρ δὲ ᾄδει. Τῆς δὲ λεγούσης ὡς οὐ μάτην τοῦτο πράττει· ἡμέρας γάρ ποτε ᾄδουσα συνελήφθη, διὸ ἀπ' ἐκείνου ἐσωφρονίσθη, ἡ νυκτερὶς εἶπεν· « Ἀλλ' οὐ νῦν σε δεῖ φυλάττεσθαι, ὅτε οὐδὲν ὄφελός ἐστι, τότε δὲ πρὶν ἢ συλληφθῆναι. »

Ὁ λόγος δηλοῖ ὅτι ἐπὶ τοῖς ἀτυχήμασι μετάνοια ἀνωφελὴς καθέστηκεν.

Codd. Pa 48 Pb 48 Pe 22 Pf 23 Pg 26 Ma 33 Me 32 Mf 30.

1 Βοταλὶς Pa Ma ἀπό τινος bis exstat in Pa || κρεμωμένη Pa || Βοταλὶς (-ης Pe) .. κρεμαμένη (-νος Pe) νυκτερὶς ἀφείλετο αὐτῆς (ἀφήρετο ἀπ' αὐτῆς Ma) omisso νυκτὸς ᾖδε Pe Ma || Βοτάλην .. κρεμαμένην εἶδε νυκτερίς· ἀφείλετο δὲ ἀπ' αὐτῆς Pg Me Mf || **2** ἐξήκουσε nos ἀφείλετο (-λατο ἀπ' αὐτῆς Pb) libri || προσελθοῦσα om. Pb προσελθοῦσα αὐτῇ ἐπυνθάνετο τὴν Pf Me || **3** παρ' αὐτῆς Ma || δι' ἧς ἡμέρας μὲν ἡσυχάζειν, νύκτωρ δὲ ᾄδειν Ma || **4** νυκτὸς Pe || Λεγούσης δὲ ὅδε μάτην Ma || **5** ἡμέρας μὲν γὰρ ποτὸν Pg || ᾄδουσά ποτε Pe || ἄνδουσα Ma || συνελήφθεν Pb -θην Pe Pf Me Mf || διὰ pro διὸ Pb καὶ διὰ τοῦτο Pe Ma || διὸ .., ἐσωφρονίσθη om. Pf || **6** ἀπ' ἐκείνης Me Mf || ἐσωφρονίσθην Pe Me Mf || καὶ ἡ νυκτερὶς Pb Pe Pf Me Mf || οὐ om. Pg || **7** δεῖ σε νῦν Pe Pg || ἔδει Ma || ὅτε οὐκ ἔστιν ὄφελος Pe || ἐστι om. Pa || ἀλλὰ τότε (τότε om. Pe) πρὸ τοῦ συλληφθῆναι Pe Ma πρὶν (πρὴν Pa) καὶ pro πρὶν ἢ Pa Pb Me || **9** Ὅτι Pf || ἡ μετάνοια Pe Pf Ma || ἡ ἐπὶ τοῖς ἀτυχήμασι μετάνοια Pf Me Mf.

Aliter.

Βουταλις ἀπό τινος θυρίδος ἐκρέματο. Νυκτερὶς δὲ προσελθοῦσα ἐπυνθάνετο τὴν αἰτίαν δι' ἣν ἡμέρας μὲν ἡσυχάζει, νύκτωρ δὲ ᾄδει. Τῆς δὲ μὴ μάτην τοῦτο ποιεῖν λεγούσης· ἡμέρας γάρ ποτε ᾄδουσα συνελήφθη, καὶ διὰ

Codd. La 81 Lb 24 Le 24 Lf 81 Md 134 Mg 29 Mi 108 Mj 27 Mm 39.

3 πράττειν pro ποιεῖν Mg || **4** συνελήφθην .. ἐσωφρονίσθην Mj.

Digitized by Google

τοῦτο ἀπ' ἐκείνου ἐσωφρονίσθη, ἡ νυκτερὶς εἶπεν· « Ἀλλ' οὐ νῦν σε φυλάττεσθαι δεῖ, ὅτε μηδὲν ὄφελος, ἀλλὰ πρὶν ἢ συλληφθῆναι. »

Ὁ μῦθος δηλοῖ ὅτι ἐπὶ τοῖς ἀτυχήμασιν ἀνόνητος ἡ μετάνοια.

8 Ὁ μῦθος ὅτι Lb Lh Ὅτι Md Mg Mi Mm. || ἀνόνητος Le Lf ἀνόητος ceteri.

76

Γαλῆ καὶ Ἀφροδίτη.

Γαλῆ ἐρασθεῖσα νεανίσκου εὐπρέπους ηὔξατο τῇ Ἀφροδίτῃ ὅπως αὐτὴν μεταμορφώσῃ εἰς γυναῖκα. Καὶ ἡ θεὸς ἐλεήσασα αὐτῆς τὸ πάθος μετετύπωσεν αὐτὴν εἰς κόρην εὐειδῆ, καὶ οὕτως ὁ νεανίσκος θεασάμενος αὐτὴν καὶ ἐρασθεὶς οἴκαδε ὡς ἑαυτὸν ἀπήγαγε. Καθημένων δὲ αὐτῶν ἐν τῷ θαλάμῳ, ἡ Ἀφροδίτη γνῶναι βουλομένη εἰ μεταβαλοῦσα τὸ σῶμα ἡ γαλῆ καὶ τὸν τρόπον ἤλλαξε, μῦν εἰς τὸ μέσον καθῆκεν. Ἡ δὲ ἐπιλαθομένη τῶν παρόντων ἐξαναστᾶσα ἀπὸ τῆς κοίτης τὸν μῦν ἐδίωκε καταφαγεῖν θέλουσα. Καὶ ἡ θεὸς ἀγανακτήσασα κατ' αὐτῆς πάλιν αὐτὴν εἰς τὴν ἀρχαίαν φύσιν ἀποκατέστησεν.

Οὕτω καὶ τῶν ἀνθρώπων οἱ φύσει πονηροί, κἂν φύσιν ἀλλάξωσι, τὸν γοῦν τρόπον οὐ μεταβάλλονται.

Codd. Pa 50 Pb 50 Pc 21 Pe 24 Pg 28 Ma 35 Mb 22.

1 νεανίσκῳ εὐπρεπῆ ἤρξατο εὔχεσθαι Ma || τὴν Ἀφροδίτην Pe || 2 αὐτὴν om. Pb Ma || μεταμορφώσει εἰς γυναῖκα εὐειδῆ Ma || Ἡ δὲ μετετύπωσεν omisso Καὶ ἡ θεος ... πάθος Pe || 4 οὕτως om. Pe Ma || 5 οἴκαδε αὐτὴν ἀπήγαγε Ma οἴκαδε πρὸς ἑαυτὴν ἀπῆλθε Pe || εἰς Pc || ἐπήγαγε Pg || 6 εἰ om. Pa || μεταβάλλουσα Pa || μεταμορφωθεῖσα ἡ γαλῆ τὸ σῶμα Pc || 7 μόνι ἡ γαλῆ τὸ σῶμα Ma || κατήλλαξε Pb || καὶ μῦν Pa || 8 Ἡ δὲ γαλῆ Pe || τοῦ νυμφίου καὶ τῶν παρόντων Pg || 9 ἀναστᾶσα Pe Ma || κλίνης Pe || τὸν μῦν ... κατ' αὐτῆς om. Pe || 10 ἐθέλουσα Pg Ma Mb || πάλιν ἑαυτὴν Pe || 11 αὐτὴν om. Pg || ἀρχαῖον Pb || τάξιν Pe τάξιν καὶ φύσιν Ma || ἀπεκατέστησεν Pa Pc Pe || 12 πονηροὶ κατὰ πάντα, κἂν τὴν φύσιν Pb || κἂν τὸν τρόπον ἀλλάξωσι, τὴν φύσιν οὐ μεταβάλλουσι Ma || 13 γοῦν om. Pe || μεταλλάσσουσι Pb || Epim. deest in Pc.

Digitized by Google

Aliter.

Γαλῆ ἐρασθεῖσα νεανίσκου τινὸς εὐπρεποῦς ηὔξατο τῇ Ἀφροδίτῃ ὅπως αὐτὴν μεταμορφώσῃ εἰς γυναῖκα. Καὶ δὴ ἐλεήσασα αὐτὴν ἡ θεὸς μετεποιήσατο αὐτὴν εἰς κόρην εὐειδῆ. Ἐρασθεὶς οὖν ὁ νεανίσκος τοῦ κάλλους αὐτῆς ἀπήγαγεν αὐτὴν εἰς τὸν οἶκον αὐτοῦ. Καθεζομένων δὲ αὐτῶν ἐν τῷ θαλάμῳ, ἡ Ἀφροδίτη γνῶναι βουλομένη εἰ μεταβαλοῦσα τὸ σῶμα καὶ τὸν τρόπον ἤλλαξε, μῦν εἰς τὸ μέσον καθῆκεν. Ἡ δὲ ἐπιλαθομένη τῶν παρόντων, ἀναστᾶσα ἀπὸ τῆς κοίτης, τὸν μῦν κατεδίωκε, καταφαγεῖν ἐθέλουσα. Ἀγανακτήσασα δὲ ἡ θεὸς πάλιν αὐτὴν εἰς τὴν ἰδίαν φύσιν ἀποκατέστησεν.

Ὁ μῦθος δηλοῖ ὅτι οὕτω καὶ τῶν ἀνθρώπων οἱ φύσει πονηροί, κἂν τὴν φύσιν ἀλλάξωσι, τὸν γοῦν τρόπον οὐκ ἀλλάσσουσι.

Codd. Ca 48 Cb 31 Cd 31 Ce 30 Cf 34 Ch 38 Mc 34 Md 36 Mh 32 Mi 71 Mk 35 Ml 40 Mm 41 Mn 12 Ld 12.

1 Γαλῆ ἠράσθη τινός νεωτέρου εὐπρεποῦς καὶ ηὔξατο Ld M (excepto Ml) || τινός om. Cb Cd Ce Ch Ml || τὴν Ἀφροδίτην Mh || **2** ἡ θεός μεταμορφώσῃ (-σει Cd) Cb Cd || μεταμορφώσει Ce Cf || εἰς γυναῖκα εὐειδῆ Ld || Ἡ δὲ ἐλεήσασα Cd || **3** ἡ θεός om. Ce Mc || ἡ θεὰ Cf εὐθέως pro ἡ θεός Cd || μετεποίησεν Cb Cd Ce Cf Ch Ml || αὐτὴν om. Ce Mh || αὐτὴν εἰς κόρην εὐειδῆ μετέβαλλε (μετέβαλεν αὐτὴν Mk) Mc Mk || **4** οὖν om. Mm || νεανίας Cd || **5** Post καθεζομένων desinit Mh, folio abscisso || δὲ om. Cd || **6** ἡ θεὰ pro ἡ Ἀφροδίτη Ce || βουλομένη αὐτὴν εἰ μεταβάλοι τὸ σῶμα καὶ τὸν τρόπον, καθῆκε μῦν εἰς τὸ μέσον Mk || ἢ pro εἰ Ld || **7** μεταβάλλουσα Ce Cf Mc Ld || τρόπον καὶ τὴν γνώμην Cb Cd || μετέβαλλε pro ἤλλαξε Md Mi μετέβαλε Ml Mm Mn || καὶ εἰς τὸ μέσον Mm || **8** τῶν παρόντων καὶ αὐτοῦ τοῦ θαλάμου, ἀναστᾶσα τῆς κοίτης Ld M excepto Ml || **9** κλήνης Cb || ἐδίωκε Ce Cf Md Mi Mk Mm Mn || τοῦ καταφαγεῖν omisso ἐθέλουσα Ce || θέλουσα Cf || **10** οὖν pro δὲ Cb Cd Ml || αὐτὴν om. Cf || **11** ἀπεκατέστησεν Ca || ἀπεκατέστησεν (ἀπο- Mk) φύσιν Ld M excepto Ml || **12** Οὕτω Cb Ὁ λόγος Cd || φύσει om. Cb || **14** ἀλλάξουσιν Cb -ξωσιν Ch || **12-14** ὅτι οἱ φύσει κακοί, καὶ πρὸς ὀλίγον φάνωσι μεταβληθέντες, πάλιν εἰς τὴν προτέραν ὁδὸν βαδίζουσι· τὰ γὰρ ἐκ φύσεως οὐ μεθίστανται Cd || πονηροὶ καὶ δύσχρηστοι, κἂν δυνατοὶ εἰ τὴν φύσιν ἀλλάξαι, τὴν γνώμην ἀδύνατον Ce || ἀνθρώπων ἡ φύσις ἡ πονηρά, κἂν τὴν ὄψιν ἀλλάξωσιν (finis) Cf || ὅτι οἱ πονηροὶ τῶν ἀνθρώπων, κἂν τὴν (ἑαυτῶν Mk) φύσιν ἀλλάξωσι, τὸν γοῦν τρόπον οὐ μεταβάλλουσι Ld M excepto Ml || ὅτι ἡ πονηρὰ φύσις, κἂν τὸν χρόνον ἀμείψῃ (finis) Ml.

Digitized by Google

Aliter.

Γαλῆ ἠράσθη ποτὲ ἀνδρὸς εὐπρεποῦς καὶ τὴν Ἀθηνᾶν ἐδυσώπει ταύτην μεταμεῖψαι εἰς γυναῖκα καὶ ἐρασθῆναι αὐτῆς καὶ τὸν ἄνδρα ἐκεῖνον· ὃ δὴ καὶ ἔπραξεν ἡ θεά. Ἔτι δὲ τοῦ γάμου ὄντος, μῦς διέδραμεν ἐν τῷ μέσῳ. Ἡ δὲ τὰ νυμφικὰ ῥίψασα καὶ τῇ φύσει ἀκολουθήσασα τὸν μῦν κατεδίωκεν.

Ὅτι, κἂν πρὸς βραχύ τις ἐν ὑποκρίσει μορφῶται καὶ κρύπτηται, ἡ φύσις τοῦτον διὰ τῶν ἔργων ἐξελέγχει.

Codd. Ba 19 Mg 36.

7 πρὸς om. Mg || μορφοῦται libri || 8 κρύπτηται ἡ φύσις, διὰ τῶν ἔργων ἐξελέγχεται Mg || τοῦτον nos τούτῳ Ba.

Aliter.

Γαλῆ ἠράσθη ποτὲ ἀνδρὸς εὐπρεποῦς καὶ τὴν Ἀθηνᾶν ἐδυσώπει ταύτην μεταμεῖψαι εἰς γυναῖκα καὶ τὸν ἐρώμενον καὶ ἄκοντα ταύτης ἐπιθυμῆσαι. Καὶ ἐγένετο οὕτως, τῆς θεᾶς ἱλασθείσης, ὡς ὁ μῦθος ληρεῖ. Τοῦ δὲ γάμου ἔτι ἐμμένοντος, μῦν ἡ νύμφη ἐμβλέψασα τῆς ὀπῆς διακύψαντα, τῶν νυμφικῶν στολῶν ἐπελάθετο καὶ τῶν οἰκείων ἐθῶν ἐπεδράττετο, καὶ γαλῆ ἦν ἡ γαλῆ, τὸν μῦν μὲν κατατρέχουσα, τῶν δὲ ὑμεναίων ἐπιλελησμένη.

Ὅτι, κἂν πρὸς βραχύ τις ἐν ὑποκρίσει μορφῶται καὶ ἀμειβῃ τὴν φύσιν, τοῦτον τὰ ἔργα ἐλέγχουσιν.

Cod. Bc 16.

1 ἐράσθη cod. || 9 μορφοῦται καὶ ἀμείβει cod.

Aliter.

Γαλῆ δέ τις εὐπρεποῦς ἀνδρὸς ἠράσθη
καὶ τὴν Ἀθηνᾶν τὴν θεὰν ἐδυσώπει
τοῦ μεταβαλεῖν εἰς γυναικείαν θέσιν,
ὅπως κάλλους τύχοι τοῦ τε ἐρωμένου.
Καὶ δὴ τῆς θεᾶς αὐτῆς εἰσακουσάσης,
μετεβλήθη γε εἰς γυναικεῖον σχῆμα.
Ταύτης ἀνὴρ δὲ προθύμως κατεσχέθη.
Καὶ δὴ τοῦ γάμου ἄρτι ἀπαρτισθέντος,

Cod. Pd 30.

1 εὐπρέπους nos τινος cod. || 2 καί τις pro καὶ τὴν cod. || 4 τε τοῦ cod.

Digitized by Google

μῦς ἐπέδραμεν ὑποκάτω τραπέζης.
Τῆς δὲ εὐθέως τὴν νυμφικὴν ῥιψάσης,
τὸν μῦν διώκει ὑποκάτω κραββάτου.

Ὅτι, κἂν βραχύ τις ἐν ὑποκρίσει μορφῶται, ἡ φύσις αὐτοῦ δι' ἔρωτος ἐλέγχεται.

11 κραβάττου cod. || **12** μορφοῦται cod. || **13** ἐλέγχει cod.

77

Γαλῆ καὶ ῥίνη.

Γαλῆ εἰσελθοῦσα εἰς χαλκέως ἐργαστήριον τὴν ἐκεῖ κειμένην ῥίνην περιέλειχε. Συνέβη δέ, ἐκτριβομένης τῆς γλώσσης, πολὺ αἷμα φέρεσθαι. Ἡ δὲ ἐτέρπετο ὑπονοοῦσά τι τοῦ σιδήρου ἀφαιρεῖσθαι, μεχρὶ παντελῶς ἀπέβαλε τὴν γλῶσσαν.

Ὁ λόγος εἴρηται πρὸς τοὺς ἐν φιλονεικίαις ἑαυτοὺς καταβλάπτοντας.

Codd. Ca 49 Pb 59 Pe 27 Pg 36 Ma 41 Mb 32 (Pe 27 continet priorem partem fabulae Γεωργοῦ παῖδες et posteriorem fabulae Γαλῆ καὶ ῥίνη, quae incipit a πολὺν αἷμα φέρεσθαι).

1 τὴν ἐγκειμένην ῥίνα ὑπερέλιχε Ma || **2** ῥίνα Pb ῥίναν Pg || **3** Ἡ δὲ γαλῆ ὑπονοοῦσα ... τὴν γλῶσσαν, διέλειχεν omisso ἐτέρπετο Pb || **4** ἀπέβαλλε Pe ὑπέβαλε Ma || **6** εὔκαιρος pro εἴρηται Pe || φιλονεικίᾳ ἑαυτοὺς καταβάλλοντας καὶ βλαπτομένους Pb || καὶ ἑαυτοὺς Pe || Epim. in Ma tale est : Μοῦντες καὶ τὰ παρόντα ἀπολοῦς.

Aliter.

Γαλῆ εἰσελθοῦσα εἰς χαλκέως ἐργαστήριον καὶ εὑροῦσα τὴν ῥίνην εἰς τὸ μέσον κειμένην, ταύτην κατεμασᾶτο καὶ ἀνέλειχε. Ἐκτριβομένης δὲ τῆς γλώσσης αὐτῇ, ὥστε καὶ αἷμα φέρεσθαι, ἐτέρπετο, ὑπονοοῦσά τι τοῦ σιδήρου ἀφαιρεῖσθαι, καὶ ἐπέμενε λοιπόν, μέχρι παντελῶς ἀπέβαλε τὴν γλῶσσαν.

Πρὸς τοὺς ἐν φιλονεικίαις αὐτοὺς μᾶλλον ἢ τοὺς πέλας καταναλίσκοντας.

Codd. Pf 24 Ph 24.

3 ἀνέλιχε Ph || τῆς γλώττης αὐτῆς Ph || **4** καὶ om. Ph.

Digitized by Google

Aliter.

Γαλῆ εἰς ἐργαστήριον εἰσελθοῦσα χαλκέως τὴν ἐκεῖ κειμένην περιέλειχε ῥίνην. Ξυομένης δὲ τῆς γλώσσης, αἷμα πολὺ ἐφέρετο. Ἡ δὲ ἥδετο, νομίζουσά τι τοῦ σιδήρου ἀφαιρεῖν, ἄχρις οὗ παντελῶς πᾶσαν τὴν γλῶσσαν ἀνήλωσεν.
Ὁ μῦθος πρὸς τοὺς ἐν φιλονεικίαις ἑαυτοὺς βλάπτοντας.

Codd. La 85 Lb 34 Lc 37 Le 34 Lf 85 Lg 37 Md 138 Me 41 Mf 36 Mg 43 Mi 112 Mj 40 Ml 42 Mm 52.

1 ἐλθοῦσα Lc Le Lg Md Mj Mm || **2** περικειμένην Lc Md Mi Mm || περιείληψε Mm || περιήλην χείρινι Mi || **3** Ἤδετο οὖν Lg || ἥδετο … ἄχρις οὗ om. Mg || τι om. Lc || **4** γλῶτταν Lb Me || **5** Ὁ μῦθος δηλοῖ πρὸς Lc Mf Ml Mm Πρὸς τοὺς Md Mg Mi || ἐν om. Mg || φιλονείκιμος Le.

Aliter.

Αἴλουρος καὶ ῥίνη.

Χαλκέως τινὸς οἶκον αἴλουρος εἰσελθοῦσα καὶ τὰ ἐκείνου πάντα ἐργαλεῖα ἐρευνήσασα, ἐνέτυχε καὶ τῇ αὐτοῦ ῥίνῃ. Ἀναλείξασα δὲ ταύτην τῇ γλώσσῃ ἡδέως ἔλειχε. Ἐξερχομένου δὲ ἐκ τῆς γλώττης αὐτῆς αἵματος, ἡδύνετο αὐτὴ καὶ οὐκ ᾐσθάνετο, ἕως οὗ ἐφθάρη ἡ γλῶσσα αὐτῆς.
Ὁ μῦθος δηλοῖ ὅτι καὶ θνήσκοντες οἱ φιλόνεικοι οὐκ αἰσθάνονται.

Cod. Mh 96.

1 Χαλκαίος cod. || **2** ἐργαλλία cod. || καὶ τὸ αὐτοῦ ῥυνίν. Ἀναλύξασα δὲ τοῦτο cod. || εἰδαίως ἔλυχε cod. || **4** ἐκ τῆς αὐτῆς γλώττης αἷμα καὶ εἴδυνον αὐτὴν οὐκ ἐστάνετο cod. || **6** ὅτι τοῦτο πᾶν θανόντες οἱ φιλόνικοι οὐκ ἐσθάνονται cod. quae omnia correxi.

78

Γέρων καὶ θάνατος.

Γέρων ποτὲ ξύλα κόψας καὶ ταῦτα φέρων πολλὴν ὁδὸν

Codd. Pb 60 Pd 32 Pe 28 Pg 37 Ma 42 Mb 33.

1 Γέρων ποτὲ εἰς ὄρος ἀναβὰς ξύλα κόψας Mb || ξύλον … τοῦτο Pe.

Digitized by Google

ἐβάδιζε. Διὰ δὲ τὸν κόπον τῆς ὁδοῦ ἀποθέμενος τὸ φορτίον τὸν Θάνατον ἐπεκαλεῖτο. Τοῦ δὲ Θανάτου φανέντος καὶ πυθομένου δι' ἣν αἰτίαν αὐτὸν παρακαλεῖται, ὁ γέρων ἔφη· « Ἵνα τὸ φορτίον ἄρῃς. »

Ὁ μῦθος δηλοῖ ὅτι πᾶς ἄνθρωπος φιλόζωος, [ἐν τῷ βίῳ] κἂν δυστυχῇ.

2 ἐβάδισε Pe || Καὶ διὰ τὸν (τὸν πολὺν Pd) κόπον ἀποθέμενος omisso τῆς ὁδοῦ libri excepto Pb || ξύλον pro φορτίον Pe || 3 φανέντος παραυτίκα Mb || 4 πυνθανομένου (ἐπ- Pd) Pd Pe Ma || αὐτὸν om. libri excepto Pb || ἐπεκαλεῖτο libri excepto Pb || ὁ γέρων om. libri excepto Pb || 5 ἔφη αὐτῷ Pe || Post ἄρῃς Pb addit θανεῖν δὲ οὐ θέλω. || 6 Ὅτι Pd || φιλοζωεῖ, κἂν (εἰ καὶ Pd) δυστυχῇ (-χεῖ Pd Pe) λίαν Pd Pe Pg || φιλεῖ ζῆν, κἂν κακῶς δυστοιχεῖ Ma (ep. annexum fabulae sequenti) || φιλοζωεῖ, καὶ δυστυχίαν Mb.

Aliter.

Γέρων ποτὲ ξύλα κόψας καὶ ταῦτα φέρων πολλὴν ὁδὸν ἐβάδιζε, καὶ διὰ τὸν πολὺν κόπον ἀποθέμενος ἐν τόπῳ τινὶ τὸν φόρτον, τὸν Θάνατον ἐπεκαλεῖτο. Τοῦ δὲ Θανάτου παριόντος καὶ πυνθανομένου τὴν αἰτίαν δι' ἣν αὐτὸν ἐκάλει, δειλιάσας ὁ γέρων ἔφη· « Ἵνα μου τὸν φόρτον ἄρῃς. »

Ὁ μῦθος δηλοῖ ὅτι πᾶς ἄνθρωπος φιλοζωεῖ, εἰ καὶ δυστυχεῖ καὶ πτωχός ἐστι.

Cod. T 2.

2 πολλὴν φόρτον pro πολὺν κόον cod. || 7 φιλοζωοῖ cod. || 8 ἔνι pro ἐστι cod.

Aliter.

Γέρων ποτὲ εἰς ὄρος ἀναβάς, ξύλα κόψας, ταῦτα ἔφερε πολλὴν ὁδὸν βαδίζων. Κοπιάσας δὲ καὶ τὸ φορτίον ἀποθέμενος, οἰμώξας τὸν Θάνατον ἐπεκαλεῖτο. Τοῦ δὲ παραυτίκα ἐπισταθέντος αὐτῷ καὶ πυνθανομένου δι' ἣν αἰτίαν ἐπεκαλέσατο αὐτόν, ἔφη ὁ γέρων· « Ἵνα τὸ φορτίον ἄρῃς. »

Ὁ μῦθος δηλοῖ ὅτι πᾶς ἄνθρωπος φιλοζωεῖ, κἂν λίαν δυστυχῇ.

Codd. Pf 25 Ph 25.

2 τὸν φόρτον Ph || 4 ἐπιστάντος Ph || 5 τὸν φόρτον Ph || 7 Ὅτι Ph.

Digitized by Google

Aliter.

Γέρων ποτὲ ξύλα κόψας καὶ ταῦτα ἐπὶ τῶν ὤμων ἄρας πολλὴν ἐβάδισεν ὁδόν. Κεκοπιακὼς δὲ καὶ ἀποθέμενος τὸν φόρτον τὸν Θάνατον ἐπεκαλεῖτο. Τοῦ δὲ Θανάτου φανέντος καὶ πυνθανομένου δι' ἣν αἰτίαν αὐτὸν ἐπεκαλεῖτο, ὁ γέρων ἔφη· « Ἵνα τὸν φόρτον μοι ἄρῃς. »
Ὁ μῦθος δηλοῖ ὅτι πᾶς ἄνθρωπος φιλοζωεῖ, εἰ καὶ δυστυχεῖ λίαν, κἂν καὶ μυρίους κινδύνους ὑποστῇ.

Codd. Ca 50 Cb 32 Cd 32 Ce 31 Cf 35 Ch 39 Md 37 Mi 72 Mm 42.

1 καὶ om. Md Mi || ταῦτα om. Ce || ἐπὶ τὸν ὦμον Cb || ἀράμενος M || **2** ἐπὶ (ἐπεὶ Ch) πολλὴν Cb Cd Ce Ch Md Mi || ἐπὶ πολὺν ὁδὸν ἐβάδισεν Mm || ἐπεὶ πολλὰ ἐβάδισεν ὁδόν, κοπιάσας ἀπέθηκε τὰ ξύλα καὶ τὸν Θάνατον ἐπεκαλεῖτο Cf || ὁδὸν κοπιάσας· θεὶς δὲ τὰ ξύλα καὶ τὸν Θάνατον ἐπικαλέσας Ce || δὲ καί om. Cb Cd Ch || τὸν φόρτον ἀποθέμενος ἐπεκάλει (ἐπεκαλεῖτο Md) τὸν Θάνατον M || **3** ἐπεκάλει Cb || **4** πυνθανομένου αὐτοῦ (αὐτὴν Ch) C excepto Ca || δι' ἣν τοῦτον ἐπεκαλεῖτο αἰτίαν (αἰτίαν om. Mm) M || αὐτοῦ ἐπεκαλεῖτο Cd || ἐπικαλεῖται Cf || αὐτὸν om. Ce || **5** ἐπιθῇς Cb -θήσῃς Cd -θήσεις Ce Cf Ch || ἵνα ἄρῃς τὸν φόρτον M || **6** Ep. om. Cf || Ὅτι (Ὅτι om. Cd) πᾶς ἄνθρωπος φιλόζωος ὤν, κἂν μυρίους κινδύνους ὑποστῇ, τὸ (τῷ Cb) τοῦ θανάτου ψῆφος (ψῆψος Cd) οὐ θέλει Cb Cd || φιλόζωος, κἂν μυρίους κινδύνους ὑποστῇ Ch || **6-7** Ὁ μῦθος δηλοῖ ὅτι ἐν ταῖς ἀνάγκαις καὶ τὰ ἀσύμφορα ἐπικαλοῦμεν Ce Ὁ μῦθος δηλοῖ (δ- om. Md Mi) ὅτι οἱ ἀσθενεῖς τῶν ἀνθρώπων τοὺς δυνατοὺς πρὸς ἐπικουρίαν ἐπικαλοῦνται M.

Aliter.

Γέρων ποτὲ ξυλὰ τεμὼν ἐξ ὄρους κἀπὶ τῶν ὤμων ἀράμενος, ἐπειδὴ πολλὴν ὁδὸν ἐπηχθισμένος ἐβάδισεν, ἀπειρηκὼς ἀπέθετό τε τὰ ξύλα καὶ τὸν Θάνατον ἐλθεῖν ἐπεκαλεῖτο. Τοῦ δὲ Θανάτου εὐθὺς ἐπιστάντος καὶ τὴν αἰτίαν πυνθανομένου δι' ἣν αὐτὸν καλοίη, ὁ γέρων ἔφη· « Ἵνα τὸν φόρτον τοῦτον ἄρας ἐπιθῇς μοι. »
Ὁ μῦθος δηλοῖ ὅτι πᾶς ἄνθρωπος φιλόζωος ὤν, κἂν

Codd. La 20 Lb 25 Lc 11 Le 25 Lf 20 Lg 11 Mg 32 Mj 30 Ml 34.

1 κἀπὶ ... ἀράμενος om. Lg || **2** ἐβάδιζεν Le || **3** τε om. Mj || προσεκαλεῖτο Ml || **4** Καὶ τοῦ Θανάτου Mj || **6** φόρτον τουτονὶ Lb || τοῦτον om. Lc || **7** Ὅτι Mg || φιλόζωός ἐστι Mj || **8** μυρίους κινδύνους Mj hic desinit.

Digitized by Google

μυρίοις κινδύνοις περιπεσὼν δοκῇ θανάτου ἐπιθυμεῖν, ὅμως τὸ ζῆν πολὺ πρὸ τοῦ θανάτου αἱρεῖται.

κἂν μυρίους κινδύνους ὑποστῇ (λάβῃ Lc Lg) reliquis omissis Lb Lc Le Lf Mj || κἂν μυρίους κινδύνους ὑποστῇ, τὸν θάνατον ὅλως οὐ παραδέχεται Ml || In Lb post ὑποστῇ altera manus addidit περιπεσὼν ... αἱρεῖται.

79

Γεωργὸς καὶ ἀετός.

Γεωργὸς ἀετὸν εὑρὼν ἠγρευμένον, τὸ κάλλος αὐτοῦ θαυμάσας, ἀπέλυσεν αὐτὸν ἐλεύθερον. Ὁ δὲ οὐκ ἄμοιρος αὐτῷ χάριτος κατεφάνη, ἀλλ᾽ ὑπὸ τεῖχος σαθρὸν καθήμενον ἰδών, προσπετάσας τοῖς ποσὶν ἦρε τὸ ἐπὶ τῆς κεφαλῆς αὐτοῦ φακιόλιον. Ὁ δὲ ἐξαναστὰς ἐδίωκε· τοῦτο δὲ ὁ ἀετὸς ἔρριψε. Καὶ ἀναλαβόμενος αὐτὸ καὶ ὑποστρέψας εὗρε τὸ τεῖχος συμπεπτωκὸς ἔνθα ἐκάθητο, θαυμάσας τὴν ἀμοιβήν.

Ὅτι τοὺς ἀγαθόν τι πεπονθότας ἔκ τινος ἀντευεργετεῖν χρή· ὃ γὰρ ἀγαθὸν ποιήσεις, ἀντιδοθήσεταί σοι.

Codd. Ba 23 Mg 39.

7 καὶ τὴν ἀμοιβὴν ἐθαυμάσατο Mg.

Aliter.

Γεωργῷ τινι ἀετὸς ἐθηρεύθη καὶ γνωσθεὶς ἀπελύθη. Ὁ δὲ τοῦ καλοῦ μὴ ἐπιλαθόμενος τὸν γεωργόν ποτε ὑπὲρ τοίχου δρῶν καθήμενον εὐολίσθου, τὸ ἐπὶ τῆς κεφαλῆς ἐκείνου ἀφείλετο σημικίνθιον, τῆς καθέδρας τοῦτον ἐξεγεῖραι βουλόμενος, ὡς καὶ κατώρθωσε. Μετὰ γὰρ τὸ καταδιῶξαι τοῦτον, ὁ εὐεργέτης ἀπέρριψε τὸ ἀναληφθέν, πληρεστάτην ἀντιδοὺς τὴν ἀντίχαριν· οὐ μακρῶς γὰρ ἔμελλε συμπατεῖσθαι τῇ τοῦ τοίχου καταβολῇ ὁ ἀνήρ· μικρὸν γὰρ ἐκείνου ὑποχωρήσαντος, ἐπιχθόνιον ἐγεγόνει τὸ τῆς ἀνύψωμα καθέδρας.

Ὅτι τοὺς ἀγαθόν τι πεπονθότας ὁμοίως ἀντιποιεῖσθαι χρή.

Cod. Bc 18.

3 εὐολίστου cod. || 4 σιμικίνθιον cod. || 7 μακρῶς Rochefort μικρῶς cod.

Aliter.

Γεωργὸς ἀετὸν εὑρὼν ἠγρευμένον, τὸ κάλλος αὐτοῦ θαυμάσας, ἀπέλυσεν. Ὁ δὲ τοῦτον ἀμειβόμενος τῆς ἐλευθερίας, ἐπεὶ τοῦτον εἶδεν παρὰ σαθρὸν τοιχίον καθήμενον, κατελθὼν ἦρεν τὸ ἐπὶ τῆς κεφαλῆς αὐτοῦ φάρος. Ὁ δὲ ἀναστὰς ἐδίωκε τὸν ἀετὸν ἐπὶ πολὺ τόπου διάστημα. Ὁ δὲ ἀετὸς ὅπερ ἔλαβεν αὖθις ἔρριψεν· ὅπερ λαβὼν ὁ γεωργὸς καὶ ὑποστρέψας, ἐπεὶ τὸ τεῖχος εὗρε συμπεπτωκὸς ἐν ᾧπερ ἐκάθητο, τὸν ἀετὸν [θαυμάσας] τῆς ἀμοιβῆς ἀπεθαύμασε.

Cod. Bd 7.

8 θαυμάσας inclusi.

80

Γεωργὸς καὶ κύνες.

Γεωργὸς ὑπὸ χειμῶνος ἐναποληφθεὶς ἐν τῇ ἐπαύλει, ἐπειδὴ οὐκ ἠδύνατο προελθεῖν καὶ ἑαυτῷ τροφὴν πορίσαι τὸ μὲν πρῶτον τὰ πρόβατα κατέφαγεν. Ἐπειδὴ δὲ ἔτι ὁ χειμὼν ἐπέμενε, καὶ τὰς αἶγας κατεθοινήσατο. Ἐκ τρίτου δέ, ὡς οὐδεμία ἄνεσις ἐγίνετο, καὶ ἐπὶ τοὺς ἀροτῆρας βοῦς ἐχώρησεν. Οἱ δὲ κύνες θεασάμενοι τὰ πραττόμενα ἔφασαν πρὸς ἀλλήλους· « Ἀπιτέον ἡμῖν ἐνθένδε· ὁ δεσπότης γάρ, εἰ οὐδὲ τῶν συνεργαζομένων βοῶν ἀπέσχετο, ἡμῶν πῶς φείσεται; »

Codd. Pa 52 Pb 52 Pc 23 Pe 26 Pg 30 Ma 38 Mb 24.

1 ἐπὶ χειμῶνος Ma || ἐναπολειφθεὶς Pa || ἐν om. Pc || ἐπαύλῃ ἀποβληθεὶς Pe || **2** οὐκ ἠδύνατο om. Ma || προσελθεῖν Pe || καὶ τροφὴν αὐτῷ Pe || καὶ om. Pa Pb || τροφὰς Pa || πορίσασθαι Pb Pe || ἐπ' αὐτῷ τροφὴν ἀπορῆσαι Ma || **3** τὸ μὲν πρῶτον om. Pg Mb || Καὶ ἐπεὶ ὁ χειμὼν Pe || δέ τι Pc || ἔτι om. Pb Pg Mb || **5** ἐγένετο libri exceptis Pa Pb Pe || καὶ om. Pb Ma || τὰς ἀροτῆρας βόας Ma || βοῦς om. Pe || **6** ἔφασαν Pa Pc ἔφησαν ceteri || **7** Ἀπιτέον ἐστὶν ἐνταῦθα Pe || ἡμῖν ἐνθένδε om. Pc || ἡμῖν ἐστιν Pg Ma Mb || τὴν ἐνθάδε Pb || Εἰ γὰρ ὁ δεσπότης οὐδὲ Pc Ὁ γὰρ δεσπότης οὐδὲ omisso εἰ Ma || Ὁ γὰρ δεσπότης ἡμῶν οὐδὲ τῶν συνεργαζομένων βοῶν ἀπέχεται, καὶ ἡμῖν δὲ πῶς φείσεται; Pe Ὁ δεσπότης γὰρ οὐδὲ (οὐ Pg) τῶν συνεργαζομένων (συνεργουμένων Pg) βοῶν ἀπέσχετο, καὶ ἡμῶν πῶς φείσεται; Pg Mb || **8** ἐργαζομένων Pa || ἡμῶν δὲ Pa.

Digitized by Google

Ὁ λογός δηλοῖ ὅτι δεῖ τούτους μάλιστα φυλάττεσθαι οἳ οὐδὲ τῆς κατὰ τῶν οἰκείων ἀδικίας ἀπέχονται.

10 Ὁ λόγος διδάσκει δεῖν (δεῖν om. Ma) Pg Ma Mb || ὅτι δεῖ om. Pa Pe || δεῖν τοιούτους Pc || τούτοις Pe || φυλάττεσθαι μάλιστα Pb || οἳ om. Mb || **11** κατὰ om. Pa Pb || κατὰ τῶν ἀδικιῶν ἀδικίας Pe || οὐδὲ τῶν οἰκείων ἀπέχονται Ma.

Aliter.

Γεωργός τις, χειμῶνος ὄντος ἐναποληφθεὶς ἐν τῷ προαστείῳ αὐτοῦ, ἀπορῶν τροφῆς, ἐπεὶ οὐκ ἐδύνατο προελθεῖν καὶ ἑαυτῷ τροφὴν πορίσαι, τὰ πρόβατα αὐτοῦ κατέφαγεν. Ἐπεὶ δὲ ὁ χειμὼν ἔτι ἐπέμενε, καὶ τὰς αἶγας κατεθοινήσατο. Ἐκ τρίτου δέ, ὡς οὐδεμία ἄνεσις ἐγένετο, καὶ ἐπὶ τοὺς ἀροτῆρας βόας ἐχώρησεν. Οἱ δὲ κύνες θεασάμενοι τὰ γινόμενα ἔφασαν πρὸς ἀλλήλους· « Παρέλθωμεν ἐντεῦθεν· ὡς ὁρῶμεν γὰρ ὅτι ὁ κύριος ἡμῶν τοὺς ἐργαζομένους βόας οὐκ ἠλέησεν, ἡμῶν πῶς φείσεται ; »

Ὁ μῦθος δηλοῖ ὅτι τούτους μάλιστα ἐκφεύγειν καὶ φυλάττεσθαι χρὴ οἵτινες οὐδὲ τῆς κατὰ τῶν οἰκείων ἀδικίας ἀπέχονται.

Cod. Ca 43.

1 ἐναπολειφθεὶς cod.

Aliter.

Γεωργὸς ὑπὸ χειμῶνος ἐναποληφθεὶς ἐν τῷ προαστείῳ αὐτοῦ, ἀπορῶν τροφῆς, πρῶτον μὲν τὰ πρόβατα αὐτοῦ κατέφαγεν, ἔπειτα τὰς αἶγας. Ὡς δὲ ὁ χειμὼν ἐπεκράτει, ἐπὶ τοὺς ἀροτῆρας βόας ἐχώρησεν. Ἰδόντες δὲ ταῦτα οἱ κύνες ἔφησαν πρὸς ἀλλήλους· « Πορευθῶμεν οὖν ἡμεῖς ἔνθεν· ὡς ὁρῶμεν γὰρ ὅτι ὁ κύριος ἡμῶν τῶν ἐργαζομένων βοῶν οὐκ ἐφείσατο, ἡμῶν [δὲ] πῶς φείσεται ;

Ὁ μῦθος δηλοῖ ὅτι τούτους μάλιστα ἐκφεύγειν καὶ

Codd. Cb 34 Ce 33 Cf 37 Ch 41 Mh 34.

1 Γεωργός τις Cb Mh || χειμῶνος ὄντος Mh || ἐναπολειφθεὶς Ch καταληφθεὶς Ce ἀναληφθεὶς Cf || **2** τροφῆς ἀπορῶν Cb || ἀποροῦντος Ce ἀπορῶν δὲ Cf || ἐπεὶ οὐκ ἐδύνατο προελθεῖν καὶ ἑαυτῷ τροφὴν πορίσαι Mh || πρῶτον μὲν om. Cb Mh || τὰ ἑαυτοῦ πρόβατα Ce Cf || **3** ἔπειτα δὲ καὶ Cf || ἐ pro ἔπειτα, cum spatio uacuo Cb || αἶγας, εἶτα καὶ τοὺς βόας Ce αἶγας, εἶθ' οὕτως τοὺς βόας Mh || **4** Ὡς δὲ... ἐχώρησεν om. Cf || ἐπὶ τοὺς .. ἐχώρησεν om. Ce Mh || spatium uacuum inter τοὺς et ἀρωτῆρας in Cb || δὲ om. Ce Cf Mh || ταῦτα om. Cb Ce || **5** εἶπον Mh || πορευθῶμεν ἐντεῦθεν Mh || **6** τῶν ἐργαζομένων βοῶν Mh τοὺς ἐργαζομένους βόας ceteri || **7** ἡμῖν Ce || δὲ inclusi || **8** Ὅτι τοὺς μάλιστα Cb || μάλλιστα τούτους Ce Cf || μάλιστα om. Mh || ἐκφυγεῖν Mh.

φυλάττεσθαι χρὴ οἵτινες οὐδὲ τῶν οἰκείων ἀπέχονται.

9 φείδονται pro ἀπέχονται Ce.

Aliter.

Δεσπότης καὶ κύνες

Ἀνήρ τις ὑπὸ χειμῶνος ἐν τῷ αὐτοῦ προαστείῳ ἀποληφθεὶς καὶ τροφῆς ἀπορῶν πρῶτα μὲν τὰ πρόβατα κατέφαγεν, εἶτα τὰς αἶγας. Τοῦ δὲ χειμῶνος ἐπικρατοῦντος, καὶ τοὺς ἐργάτας βοῦς σφάξας ἐθοινήσατο. Οἱ δὲ κύνες ταῦτα ἰδόντες διελέχθησαν πρὸς ἀλλήλους· « Φεύγωμεν ἀλλ' ἡμεῖς γε ἐντεῦθεν· εἰ γὰρ τῶν ἐργατῶν βοῶν ὁ δεσπότης ἡμῶν οὐκ ἐφείσατο, πῶς ἡμῶν φείσεται ; »

Ὁ μῦθος δηλοῖ ὅτι τούτους μάλιστα ἐκφεύγειν καὶ φυλάττεσθαι χρὴ οἵτινες οὐδὲ τῶν οἰκείων ἀπέχονται.

Codd. La 23 Lb 18 Ld 13 Lc 18 Lf 23 Mc 35 Md 39 Me 25 Mf 25 Mi 74 Mj 21 Mk 36 Ml 15 Mm 44 Mn 13.

1 Γεωργός Ld Mc Md Mi Mm Mn || τοῦ χειμῶνος Mc Mf || ἀποληφθεὶς Lf Me Mf Ml -λειφθεὶς ceteri || **2** καὶ τροφῆς ἀπορῶν om. La Lb Lf || **3** δὲ om. Mn || **4** κατεθοινήσατο Me Mf || **5** διηλέχθησαν Lb Ld Mj Mk Ml διειλέχθησαν La Me Mf Mi || ἀλλήλους λέγοντες· « Φύγομεν ἡμεῖς ἐνθάδε Mc || **6** γε om. Ld Mk Mn || ἐνθένδε Lb Lc Md Mh Mi Mk Mm Mn ἐνθάδε Mj Ml || **8** τούτων Me Mf τοῦτον Mj || μάλιστα om. Ld Mc Md Mi Mm Mn || φεύγειν La || **9** δεῖ Ml || σημείων pro οἰκείων Mc || **8-9** Ὁ μῦθος δηλοῖ ὅτι ἐκείνους δεῖ φεύγειν οἵτινες καὶ τῆς πρὸς τοὺς οἰκείους ἐπιβουλῆς οὐκ ἀφίστανται Mk.

81

Γεωργὸς καὶ ὄφις ⟨τὸν παῖδα αὐτοῦ ἀποκτείνας⟩

Γεωργοῦ παῖδα ὄφις ἑρπύσας ἀπέκτεινεν. Ὁ δὲ ἐπὶ τούτῳ δεινοπαθήσας πέλεκυν ἀνέλαβε καὶ παραγενόμενος εἰς τὸν φωλεὸν αὐτοῦ εἱστήκει παρατηρούμενος, ὅπως, ἂν ἐξίῃ, εὐθέως αὐτὸν πατάξῃ. Παρακύψαντος δὲ τοῦ ὄφεως, κατενεγκὼν τὸν πέλεκυν, τοῦ μὲν διήμαρτε, τὴν δὲ παρα-

Codd. Pa 51 Pb 51 Pc 22 Pe 25 Pg 29 Ma 37 Mb 23 Ca 42.

1 Γεωργοῦ ... ἀπέκτεινεν om. Pc || ἕρπουσα Pa || Ὁ δὲ πατὴρ Pe || ἀπὸ τούτου Ca || **2** ἔλαβε Ca || **3** φωλεὸν τοῦ ὄφεως Pe || αὐτῆς Pa || ὅπερ pro ὅπως Pb || **4** ἐξίει Ma || ἐξιόντα εὕρῃ, εὐθέως ἀπαλλάξει τὸν ὄφιν τοῦ ζῆν Pe || καὶ ὀξέως pro εὐθέως Pc || εὐθὺς αὐτὸν πατάξειν Ca αὐτὸ Pb || πατάξει Ma || **5** κατήνεγκε τὸν πέλεκυν καὶ Pc || τοῦ μὲν διήμαρτε om. Pe || τὰς δὲ παρακειμένας πέτρας Pa || δὲ om. Pe.

Digitized by Google

κειμένην πέτραν διέκοψεν. Εὐλαβηθεὶς δὲ ὕστερον παρεκάλει αὐτὸν ὅπως αὐτῷ διαλλαγῇ. Ὁ δὲ εἶπεν· « Ἀλλ' οὔτε ἐγὼ δύναμαί σοι εὐνοῆσαι, ὁρῶν τὴν κεχαραγμένην πέτραν, οὔτε σὺ ἐμοί, ἀποβλέπων εἰς τὸν τοῦ παιδὸς τάφον. »

Ὁ λόγος δηλοῖ ὅτι αἱ μεγάλαι ἔχθραι οὐ ῥᾳδίως τὰς καταλλαγὰς ἔχουσι.

6 ἔκοψεν Pa Pc || Εὐλαβηθεὶς οὖν ὕστερον ὁ ἀνὴρ παρεκάλει ὅπως Pe || παρεκάλει ὅπως διαλλαγῇ αὐτῷ Ca || **7** αὐτοῦ διαλλαγείη Pb || Ὁ δὲ ὄφις Pc || Ἀλλ' om. Ma || **8** οὐ δύναμαι Pc || σου εὐνοῖσαι Ma σοι διαλλαγῆναι Ca || **9** ἐμοὶ om. Pg Mb || **12** καταλλαγὰς Ma μεταλλαγὰς ceteri || ἔχωσι Pc.

Aliter.

Ὄφις γεωργοῦ παῖδα δακὼν ἐν τῷ ποδὶ παραχρῆμα νεκρὸν ἔδειξεν. Ὁ δὲ πατὴρ τῇ λύπῃ συσχεθεὶς καὶ πέλεκυν ἁρπάσας ἐπειρᾶτο φονεῦσαι τὸν ὄφιν. Καὶ δὴ καταλαβὼν αὐτὸν θηρεύοντα στερρῶς καταφέρει τὸν πέλεκυν κατὰ τοῦ ὄφεως. Ἀστοχήσας δὲ τοῦ θανατῶσαι αὐτόν, τὴν οὐρὰν ἀπέτεμεν μόνην· ὁ δὲ ὄφις ἐν τῷ φωλεῷ εἰσέδυ. Φοβηθεὶς οὖν ὁ γεωργὸς μήπως ἀμύνηται αὐτὸν καὶ φονεύσῃ, λαβὼν ἄλευρον καὶ μέλι, ἐξεκάλει τὸν ὄφιν πρὸς εἰρήνην. Ὁ δὲ ἔνδον ὢν τοῦ φωλεοῦ ἔφησε τῷ ἀνθρώπῳ· « Ἀπὸ τοῦ νῦν μηκέτι κάμνῃς· φιλία γὰρ ἐν ἡμῖν οὐκέτι προσγενήσεται, διότι ἐγὼ μὲν τὴν οὐρὰν βλέπων λυποῦμαι, σὺ δὲ τὸν τοῦ υἱοῦ τύμβον ὁρῶν οὐκέτι εἰρηνεύσεις. »
Ὁ μῦθος δηλοῖ ὅτι οὐκ ἐπιλανθάνεταί τις τῶν κακῶν ἀμοιβήν, ἂν τὸ μνημόσυνον βλέπῃ περὶ οὗ ἐλυπήθη.

Codd. Ce 92 Cf 98.

1 δήξας Cf || **4** στερῶς Ce || καταφέρει τὸ ξίφος Cf || **6** et **9** φολεῷ ... φολεοῦ libri || **6** εἰς ἔδει pro εἰσέδυ Ce || **8** φονεύσει libri || **10** ὅλως οὐ pro οὐκέτι Cf || **11** διότι nos διὰ τὸ libri || βλέπων om. Cf || **12** οὐδὲ pro σὺ δὲ Ce || τοῦ υἱοῦ τὸν τύμβον ὁρῶν Cf || ὁρῶν om. Ce || εἰρηνεύσῃ Ce || **14** ἀμοιβῶν Cf || βλέπει libri.

Aliter.

Ὄφις γεωργοῦ προθύροις ἐμφωλεύων
ἔδακε τὸν ποῦν τοῦ παιδίου προσκρούσας

Codd. Ch 104 Cg 29 Ca 155 Cb 84 Cd 98.

1 προθύραις ἐμφολεύων Cb || ἐμφωλεύσας Cg || **2** προσκρούσας om Ca.

Digitized by Google

καὶ παραχρῆμα τέθνηκε τὸ παιδίον.
Πένθος δὲ μέγα ἐγένετο γονεῦσιν.
Τότε ὁ πατὴρ πληγεὶς ὑπὸ τῆς λύπης.
πέλεκυν λαβὼν καὶ αὐτὸς ἐπειρᾶτο
τοῦ θανατῶσαι τὸν παγκάκιστον ὄφιν.
Καὶ δὴ ὁ ὄφις ἐξελθὼν τοῦ θηρεῦσαι,
εὐθὺς ὁ ἀνὴρ καταδραμὼν ὀπίσω
στερρῶς κατ᾽ αὐτοῦ τὸ ξίφος καταφέρει.
᾽Αστοχήσας δὲ τοῦ θανατῶσαι τοῦτον
μόνον τῆς οὐρᾶς ἀπέκοψε τὸ ἄκρον.
῝Ος φόβῳ ληφθείς, μὴ καὐτὸν θανατώσῃ,
λαβὼν ἄλευρον, ὕδωρ, ἅλας καὶ μέλι,
αὐτὸς ἐκάλει τὸν ὄφιν πρὸς εἰρήνην.
῾Ο δὲ κάτωθεν λεπτὸν αὐτὸς συρίσας
(καὶ γὰρ ἐκρύβη ἐπὶ πέτρας ὁ ὄφις)
τῷ ἀνθρώπῳ ἔφησε τοιάδε λέγων·
« ᾽Απὸ τοῦ νῦν, ἄνθρωπε, μηκέτι κάμῃς,
ὅλως ἐν ἡμῖν φιλία οὐ προσμένει·
ὁρῶν γὰρ ἐγὼ τὴν οὐράν μου λυποῦμαι,
καὶ σὺ δὲ πάλιν τὸν τύμβον τοῦ υἱοῦ σου
βλέπων καθ᾽ ὥραν, οὐκέτι εἰρηνεύσεις. »

῾Ο μῦθος δηλοῖ ὅτι οὐδεὶς μίσους ἢ ἀμοιβῆς κακῶν ἐπιλανθάνεται, μέχρις ἂν τὸ μνημόσυνον βλέπῃ περὶ οὗ ἐλυπήθη.

3 τὸ παιδίον om. Ca || καὶ τὸ παιδίον βληθὲν φαρμάκῳ τέθνηκε παραχρῆμα Cd || **4** Καὶ πένθος Cg || δὲ om. Cb || γέγονε Cg || τοῖς γονεῦσιν αὐτοῦ Ca || **5** συμφορᾶς pro λύπης Ca || **6** πέλεκα Cb || καὶ αὐτὸς om. Ca || αὐτὸν Ch || **12** τῆς οὐρᾶς αὐτοῦ Ca || **13** ῾Ως Cb || Καὶ ὃς φοβηθεὶς Cd || κατ᾽ αὐτὸν Cb καὶ αὐτὸν Ca Cg || θανατώσει Ca Cg || **14** ἅλας om. Ca || καὶ μόλις Cb || **15** αὐτὸν Cd || **16** κάτω ἐν αὐτῷ συρήσας Cb || αὐτῷ συρήσας Cd || **17** ἐπέβη ἐπὶ Cd || **20** ὑμῖν Cg || ἐν ἐμέ μοι φιλίας Cb || προσμείνῃ Ch || **21** ἐγὼ om. Cd || λειποῦμαι Cb || μου οὕτως πάνη λυποῦμαι Cd || **22** βίον pro τύμβον Cb || **23** εἰρηνεύεις Ca || **24** οἱ pro ἢ Cb || ἐπιλάθηται (-θεται Ca) codd. || **25** βλέπει Ca Cg || **24-26** Οὐ λήθην ἔχει τὸ κακὸν παραυτίκα, ὁπόταν πρὸ ὀφθαλμῶν τις βλέπει τὴν βλάβην Cd.

Aliter.

Ὄφις ἐν γεωργοῦ προθύροις φωλεύων ἀνεῖλεν αὐτοῦ τὸ νήπιον παιδίον. Πένθος δὲ τοῖς γονεῦσιν ἐγένετο μέγα.

Codd. La 145 Lc 57 Lg 57 Md 93 Mh 84 Mi 9 Mm 111.

1 γεωργῷ Mh || θωργοῦ Mi.

Digitized by Google

Ὁ δὲ πατὴρ, ὑπὸ τῆς λύπης πέλεκυν λαβών, ἔμελλε τὸν ὄφιν ἐξελθόντα φονεύσειν. Ὡς δὲ ἔκυψε μικρόν, σπεύσας ὁ γεωργὸς τοῦ πατάξαι αὐτόν, ἠστόχησε, μόνον κρούσας τὴν τῆς τρώγλης ὀπήν. Ἀπελθόντος δὲ τοῦ ὄφεως, ὁ γεωργὸς νομίσας τὸν ὄφιν μηκέτι μνησικακεῖν, λαβὼν ἄρτον καὶ ἅλας, ἔθηκεν ἐν τῇ τρώγλῃ. Ὁ δὲ ὄφις λεπτὸν συρίξας εἶπεν· « Οὐκ ἔσται ἡμῖν ἀπάρτι πίστις ἢ φιλία, ἕως ἂν ἐγὼ τὴν πέτραν ὁρῶ, σὺ δὲ τὸν τύμβον τοῦ σοῦ τέκνου. »

Ὁ μῦθος δηλοῖ ὅτι οὐδεὶς μίσους ἢ ἀμύνης ἐπιλανθάνεται ἐφ᾽ ὅσον βλέπει μνημόσυνον δι᾽ οὗ ἐλυπήθη.

3 ἀπὸ τῆς λύπης Lc Lg Md Mi Mm || **4** τῆς τρώγλης ἐξελθόντα Mh Mi Mm || φονεῦσειν La φονεῦσαι ceteri || **5** κρούσαντος (-σας Lg) τῇ τῆς τρώγλης ὀπῇ. Ἀπῆλθε δὲ (δὲ om. Mh οὖν Lg) ὁ ὄφις. Λογιζόμενος οὖν (οὖν om. Mh) ὁ γεωργὸς ὡς (ὅπως Lc) οὐ φυλάσσει μνήμην ὁ ὄφις, λαβὼν libri excepto La || **8** ἐφῆκεν Lc ἀφῆκεν Lg ἀπῆλθεν M || Ὁ ὄφις δὲ λεπτὸν συρίσας εἶπεν· « Οὐκ ἔστιν libri excepto La || **10** ἂν om. Lc Lg Md Mi || ἐγὼ γάρ, omisso ἕως ἂν Mh Mm || σοὶ Mi αὐτὸς Mm || τόπον pro τύμβον codd. || τοῦ σοῦ (παιδός Lg || τὸν τοῦ σοῦ τέκνου Mm || **12** ἐπιλάττηται Lc ἐπιλάθηται Lg Md Mi Mm ἐπιλάθεται Mh.

Aliter.

Ὄφις ἐν γεωργοῦ προθύροις φωλεύων ἀνεῖλεν αὐτοῦ παῖδα νήπιον τύψας. Πένθος δὲ μέγα τοῖς γονεῦσιν ἐγένετο. Ὁ πατὴρ δὲ πληγεὶς ὑπὸ τῆς λύπης πέλεκυν λαβὼν ἔμελλε τὸν ὄφιν τῆς τρώγλης ἐξιόντα πατάξειν. Ὡς δὲ ἐξέκυψε μικρόν, σπεύσας ὁ γεωργὸς τοῦ πλῆξαι ἠστόχησε, τὴν πέτραν δὲ μόνον τῆς ὀπῆς κρούσας καὶ διαχαράξας ἀπῆλθε. Λογιζόμενος ⟨οὖν⟩ ὡς ἑρπετὸν μῆνιν οὐ φυλάσσει, λαβὼν δὲ ἄρτον καὶ ἅλας πρὸς εἰρήνην ἐκάλει τὸν ὄφιν. Ὁ ὄφις δὲ λεπτὸν συρίσας εἶπεν· « Οὐκ ἔστιν ἡμῖν ἀπάρτι πίστις ἢ φιλία, ἕως ἂν ἐγὼ ταύτην τὴν πέτραν ὁρῶ, σὺ δὲ τὸν τοῦ παιδὸς τάφον. »

Ὅτι οὐδεὶς μίσους ἢ ἀμύνης ποτὲ ἐπιλανθάνεται, ἐφ᾽ ὅσον βλέπει μνημόσυνον δι᾽ ὧν ἐλυπήθη.

Codd. Ba 118 Bb 70.

1 φολεύων Bb || **6** μόνην Ba || **7** οὖν addidi || **12** ἐπιλανθάνεται nos ἐπιλάθοιτο Ba Bb ἐπιλάθηται Marcianus || ἐφ᾽ ᾧ Bb || **13** ἐλυπήθην Bb.

Digitized by Google

82

Γεωργὸς καὶ ὄφις ⟨ὑπὸ κρύους πεπηγώς⟩.

Γεωργός τις χειμῶνος ὥρᾳ ὄφιν εὑρὼν ὑπὸ κρύους πεπηγότα, τοῦτον ἐλεήσας καὶ λαβὼν ὑπὸ κόλπον ἔθετο. Θερμανθεὶς δὲ ἐκεῖνος καὶ ἀναλαβὼν τὴν ἰδίαν φύσιν ἔπληξε τὸν εὐεργέτην καὶ ἀνεῖλε· θνήσκων δὲ ἔλεγε· « Δίκαια πάσχω, τὸν πονηρὸν οἰκτείρας. »

Ὁ λόγος δηλοῖ ὅτι ἀμετάθετοί εἰσιν αἱ πονηρίαι, κἂν τὰ μέγιστα φιλανθρωπεύωνται.

Codd. Pb 62 Pe 30 Ma 43.

1 Γέρων τις γεωργός Pb || τις om. Ma || ὥρας Pe ὥραν Ma ἀπὸ Pe || **2** ἐλεήσας καὶ om. Pe Ma || κόλπων Pb κόλπου Ma || τοὺς κόλπους αὐτοῦ κατέθετο Pe || **3** Θερμανθεὶς ὁ ὄφις καὶ Pe || **4** ἔπληγε τὸν εὐεργέτην Ma hic desinit || ἔπληξε καὶ ἀνεῖλε τὸν εὐεργέτην Pe || θνήσκων ... οἰκτείρας om. Pe || **6** τὰ μέγιστα om. Ma || **7** φιλανθρωπεύσονται Pe || φιλανθρωπόκονται· οὕτω κακῶς ποιοῦσι τοῖς εὐεργέταις Ma cuius ep. fabulae sequenti annexum est.

Aliter.

Ὁδοιπόρος καὶ ἔχις.

Ὁδοιπόρος χειμῶνος ὁδεύων ὥρᾳ, ὡς ἐθεάσατο ἔχιν ὑπὸ κρύους διαφθειρόμενον, τοῦτον ἐλεήσας ἀνείλατο καὶ βαλὼν εἰς τὸν ἑαυτοῦ κόλπον θερμαίνειν ἐπειρᾶτο. Ὁ δὲ μέχρι μὲν ὑπὸ τοῦ ψύχους συνείχετο, ἠρέμει· ἐπειδὴ δὲ ἐθερμάνθη καὶ ἀνεζωώθη, τὴν αὐτοῦ γαστέρα ἔδακε. Καὶ ὃς ἀποθνήσκειν μέλλων ἔφη· « Ἀλλ' ἔγωγε δίκαια πέπονθα· τί

Codd. Pa 174 Pb 171 Pc 102 Pg 112 Ma 122 Ca 130.

1 ἐπὶ χειμῶνος Pc || ὥρᾳ Pa om. ceteri || ὡς om. Pg Ca || **2** τοῦ κρύους Pb || διεφθαρμένον Pa || καὶ τοῦτον Pg Ca || ἀνείλατο Pa Pc Ma Ca -λετο ceteri || βαλὼν αὐτὴν Ma || **4** τοῦ ante ψύχους om. Pg Ca || ἐπεὶ Pg Ca || ἐπειδὴ γὰρ Ma || ἐθερμάνθη καὶ ἀνεζωώθη, τὴν αὐτοῦ γαστέρα ἔδακε Pb ἐθερμάνθη, εἰς (δάξ εἰς Pc Pg δάξας sine εἰς Ma ὄδαξ εἰς Ca) τὴν ἑαυτοῦ γαστέρα (γαστέρα αὐτοῦ Ca ἑαυτοῦ om. Pg) ἀνῆκε (ἀνεῖλε Pc) Pa Pc Pg Ma Ca || **5** Καὶ ὡς Pa Ca.

Digitized by Google

γὰρ τοῦτον ἀπολλύμενον ἔσῳζον, ὃν ἔδει καὶ ἐρρωμένον ἀναιρεῖν ; »

Ὁ λόγος δηλοῖ ὅτι πονηρία εὐεργετουμένη πρὸς τῷ ἀμοιβὰς μὴ ἀποδιδόναι καὶ κατὰ τῶν εὐεργετῶν ἀναπτεροῦται.

7 γὰρ ἐγὼ Pc || περιεποιούμην pro ἔσῳζον Pg Ca || ὅν με Pc || καὶ ἠρεμοῦντα Ma || **8** ἀνελεῖν Pc || **9** ἡ πονηρία Ma || τὸ Pa || πρὸς τὸ ἅμα καὶ μὴ διδόναι Ma || **10** μὴ om. Pb || ἀποδοῦναι Pc || ἀναπτεροῦνται Pa ἀπαροῦται Ma || **9-10** Οὕτω καί τινες τῶν ἀνθρώπων τινὰς εὐεργετοῦντες·λανθάνουσιν ὡς ἀντ' εὐεργεσιῶν λύπας ἕξουσιν Ca || Οὕτω καὶ τῶν ἀνθρώπων ἔνιοι ἐξ ἀπροόπτου δοκοῦντες φοβεροὶ εἶναι, ὅταν εἰς ἰδίαν πεῖραν ἔλθωσι, εὑρίσκονται οὐδενὸς ἄξιοι Pg, quod epimythium huic fabulae non conuenit, sed ad fabulam Ὁδοιπόροι καὶ φρύγανα pertinet.

Aliter.

Ἔχιδνα καὶ γεωργός.

Ἔχιδναν ἐκ τοῦ ψύχους ἐκπνέουσαν εἶδε γεωργὸς καὶ λαβὼν ἔβαλεν ἐν τῷ κόλπῳ καὶ ἔθαλψεν. Ἡ δὲ ἀπλωθεῖσα, τοῦ γεωργοῦ τῇ χειρὶ ταύτην ὁμαλίσαι βουληθέντος, δακοῦσα τοῦτον ἀπέκτεινεν.

Ὅτι ἀνδρὶ πονηρῷ μήτε καλῶς πράττοντι μήτε φαύλως χάριν παρασχοῦ· ἡ γὰρ πονηρὰ φύσις ἀντὶ ἀγαθῶν πονηρὰ ἀνταποδίδωσι· χρηστὸν γὰρ ἦθος οὐ τίκτει.

Codd. Ba 42 Bb 28.

1 ἐκπνέουσαν ἤδη γεωργὸς εὑρὼν ἐν τῷ κόλπῳ ἔθαλψεν Ba || **3** καὶ τοῦ γεωργοῦ libri || **4** δοκοῦσα pro δακοῦσα Bb || **5** πράττων codd. || **6** παράσχεις Ba || πονηροῦ φύσις Bb.

83

Γεωργὸς καὶ παῖδες αὐτοῦ.

Ἀνὴρ γεωργὸς μέλλων τελευτᾶν καὶ βουλόμενος τοὺς αὐτοῦ παῖδας ἐμπείρους εἶναι τῆς γεωργίας, μετακαλεσάμενος αὐτούς, ἔφη· « Τεκνία, ἐν μιᾷ μου τῶν ἀμπέλων

Codd. Pa 10 Pb 42 Pd 25 Pe 7 Pi 5 Mb 11.

2 αὐτοῦ Pa Pb Pi ἑαυτοῦ Pd ἑαυτοὺς Pe || ἐμπείρους ποιῆσαι Pb || **3** Τεκνία μου Pb Pd Pe || ἐν ἑνί μου τῶν ἀμπέλων Pb || τῶν ἀμπέλων μου Pd Mb τῶν ἐμῶν ἀμπέλων Pe.

Digitized by Google

θησαυρὸς ἀπόκειται. » Οἱ δὲ μετὰ τὴν αὐτοῦ τελευτὴν ὕνας τε καὶ δικέλλας λαβόντες πᾶσαν αὐτῶν τὴν γεωργίαν ὤρυξαν. Καὶ τὸν μὲν θησαυρὸν οὐχ εὗρον, ἡ δὲ ἄμπελος πολλαπλασίαν τὴν φορὰν αὐτοῖς ἀπεδίδου.

Τοῦτο μὲν ἔγνωσαν ὅτι ὁ κάματος θησαυρός ἐστι τοῖς ἀνθρώποις.

4 μετὰ τὸ τελευτῆσαι αὐτὸν Pi || ἐκείνου τελευτὴν Pe Mb || **5** ὕννας Pb Pd ὕνεις Pe || αὐτῶν codd. αὐτοῖς Mb || τὴν om. Pe || **7** πολλαπλάσιον Pb πολυπλασίαν Pi || τὸν καρπὸν αὐτῆς πολυπλασίως Pd πολλαπλασίως || ἐπεδίδου Pa ἀντεδίδου Pb τὸν καρπὸν αὐτῆς Mb || || πολυπλασίως τὴν ἐμφορὰν αὐτοῖς ἔδωκε Pe || **8** Τότε ἔγνωσαν ὅτι Pd Pe Ὁ λόγος δηλοῖ ὅτι Pb Ὁ λόγος διδάσκει ἡμᾶς ὅτι Mb.

Aliter.

Ἀνὴρ τῇ τέχνῃ γεωργὸς ὑπάρχων, μέλλων καταλῦσαι τὸν βίον καὶ βουλόμενος τοὺς παῖδας αὐτοῦ ἐμπείρους ποιῆσαι τῆς γεωργικῆς, προσκαλεσάμενος ἔφη πρὸς αὐτούς· « Τεκνία, ἐγὼ τοῦ βίου ὑπεξέρχομαι· πλὴν ἅπερ μοι ὑπάρχει ἐν τῷ ἀμπελῶνι εὑρήσετε πάντα. » Οἱ δὲ νομίσαντες θησαυρόν τινα ἐνταῦθα ἔχειν, μετὰ τὴν ἀποβίωσιν τοῦ πατρὸς αὐτῶν λαβόντες δικέλλας ὕννας τε κατέσκαψαν

Codd. Ca 33 Cb 18 Cc 24 Cd 18 Ce 22 Cf 25 Ch 25 Ma 155 Mc 23 Md 29 Mh 27 Mi 64 Mk 24 Mm 29.

1 Ἀνήρ τις Cd Ma Md Mh Mi || τῇ om. Cc || ὑπάρχων om. Md Mh Mi Mm τυγχάνων Ce Cf || καὶ μέλλων Cd || **2** βουλόμενος δὲ Cd || παῖδας αὐτοῦ ἐμπείρους om. Cd spatio uacuo relicto || **3** ἐν τῇ γεωργικῇ Cb Mc ἐν τῇ γεωργίᾳ Cd Ch τῇ γεωργικῇ Ce Cf τῆς γεωργίας Mh || προσκαλεσάμενος (μετακαλεσάμενος Cd) αὐτοὺς ἔφη omisso πρὸς αὐτοὺς Cb Cd Ce Cf Ch Mc || εἶπεν αὐτοῖς Ma Md Mh Mi Mm αὐτοῖς ἔφη Mk || **4** Τέκνα Ma Md Mi Mm || ὑπεξίσταμαι Ma Md Mi Mm ὑπεξανίσταμαι Mh || πλὴν σπεύσατε εὑρεῖν ἅπερ μοι ἐν τῇ ἀμπέλῳ ὠρύχθη Mk || **5** ὑπάρχει μοι (μου Mc) libri exceptis Ca Ce Cf Mk || ὑπάρχουσιν ἐν τῷ ἀμπελῶνί μου Ce Cf || ἐν τῇ ἀμπέλῳ Cb Cd Ch Ma Mc Md Mm || ἐν τῷ ἀμπελῶνί μου βούλομαι εὑρήσειν ὑμᾶς ἅπαντα Cc πάντα ἐν τῷ ἀμπελῶνι εὑρίσκονται Mh || εὑρίσκετε Ca Cb Cf Mi || ἐπιμελῶς ἐρευνίσατε Ce || πάντα om. Ma Md Mi Mm || **6** τινα om. Ce Cf || θησαυρὸν ἔχειν ἐκεῖσε (ἐκεῖθεν Mh) Cc Ma Md Mh Mi Mm || θησαυρόν τινα ἐν ταύτῃ κρύψαι αὐτόν, μετὰ .. Mk || ἐν ταύτῃ Mc || **7** δίκελλαν Ca || δικέλλας καὶ δρεπάνας καὶ ἀξίνας Cb Cd Mc δικέλλας καὶ ἀξίνας καὶ δρέπανα (-νας Ch) Cc Cf Ch δικέλλας καὶ ἀξίνας Ma Md Mh Mi Mk Mm δικέλας καὶ σκαπάνας Ce || κατέσκαπτον Ma Md Mh Mi Mm || κατέσκαψαν καὶ ἀνώρυξαν ὅλον τὸν ἀμπελῶνα Mk.

Digitized by Google

πᾶσαν τὴν γῆν ἐκ πόθου. Καὶ τὸν μὲν θησαυρὸν οὐχ εὗρον· ἡ δὲ ἄμπελος καλῶς κατασκαφθεῖσα καὶ ὠφεληθεῖσα πολυπλασίονα τὸν καρπὸν ἀπέδωκε καὶ πλοῦτον ἀνήνεγκεν.

Ὁ μῦθος δηλοῖ ὅτι ὁ κάματος θησαυρός ἐστι τοῖς ἀνθρώποις.

8 τὸν om. Cc Ce Ma Md Mh Mi Mm || τὸν θησαυρὸν μὲν Cf || 9 κατασκαφεῖσα Ce Ch Mc Md Mh Mi γεωργηθεῖσα Mk || πολυπλάσιον Cb πολλαπλάσιον Md Mh Mm πολλαπλασίονα Ce Mi || 10 ἀπέδωκε τὸν καρπὸν Cb Cd Ch Mc Mk || τὸν om. Cc Ma Md Mh Mi Mm || δέδωκε Ma Md Mh Mi Mm || τὸν καρπὸν ἀνήνεγκε καὶ πλοῦτον ἀπέδωκεν Cc || πλοῦτον ἐκ τούτου Mk || 11 Δηλοῖ δ' ὅλος οὗτος Cd || Οὕτως ὁ κάματος .. Cc || Ὁ μῦθος δηλοῖ ὅτι τὸ κοπιᾶν θησαυρὸν τίκτει τοῖς ἀνθρώποις Mk.

Aliter.

Γεωργός τις μέλλων καταλύειν τὸν βίον καὶ βουλόμενος τοὺς ἑαυτοῦ παῖδας πεῖραν λαβεῖν τῆς γεωργίας, προσκαλεσάμενος αὐτοὺς ἔφη· « Παῖδες ἐμοί, ἐγὼ μὲν ἤδη τοῦ βίου ὑπέξειμι, ὑμεῖς δ' ἅπερ ἐν τῇ ἀμπέλῳ μοι κέκρυπται ζητήσαντες, εὑρήσετε πάντα. » Οἱ μὲν οὖν οἰηθέντες θησαυρὸν ἐκεῖ που κατορωρύχθαι, πᾶσαν τὴν τῆς ἀμπέλου γῆν μετὰ τὴν ἀποβίωσιν τοῦ πατρὸς κατέσκαψαν. Καὶ θησαυρῷ μὲν οὐ περιέτυχον, ἡ δὲ ἄμπελος καλῶς σκαφεῖσα πολλαπλασίονα τὸν καρπὸν ἀνέδωκεν.

Ὁ μῦθος δηλοῖ ὅτι ὁ κάματος θησαυρός ἐστι τοῖς ἀνθρώποις.

Codd. La 22 Lb 27 Le 27 Lf 22 Lh 12 Me 34 Mf 31 Mg 34 Mj 32.

3 τὸν βίον La Lh Mg Mj || 7 Καὶ δὴ θησαυρῷ Mg || 8 θησαυρὸν Mj || 9 ἀπέδωκεν Le.

84

Γεωργὸς καὶ τύχη.

Γεωργός τις χρυσίον εὑρὼν ἐν γῇ σκάπτων ἔστεφεν αὐτὴν καθ' ἡμέραν ὡς εὐεργετηθεὶς παρ' αὐτῆς. Τούτῳ δὲ

Codd. Pa 59 Pb 61 Pe 29 Pg 38 Ma 36 Ca 51.

1 τις om. Pb || χρυσίον ἐν γαίῃ σκάπτων εὗρε καὶ καθ' ἑκάστην ἡμέραν ἔστεφε τὴν Γῆν ὡς Pg || εὑρὼν χρυσίον (χρυσὸν Pe) Pb Pe Ma || ἐν τῇ γῇ Pb ἐν γαίῃ Ca || ἔστρεφεν Pa Ca || 2 τῇ γῇ pro αὐτὴν Pb τὴν γῆν Pe Ca || καθ' ἑκάστην ἡμέραν Pe || ὡς om. Pb || ὑπ' αὐτῆς Pb Pe.

Digitized by Google

ἐπιστᾶσά φησιν ἡ Τύχη· « Ὦ οὗτος, τί τῇ Γῇ τὰ ἐμὰ δῶρα περιτιθεῖς, ἃ ἐγώ σοι δέδωκα πλουτῆσαι βουλομένη σε; Ἂν γὰρ ὁ καιρὸς μεταλλάξῃ [τὴν φύσιν] καὶ εἰς ἄλλας χεῖρας τὸ χρυσίον ἐξαλλάσσῃ, πάλιν τὴν Τύχην μέμψῃ. »

Διδάσκει ἡμᾶς ὁ λόγος ὅτι χρὴ ἐπιγινώσκειν τὸν εὐεργέτην καὶ τούτῳ χάριτας ἀποδιδόναι.

3 Ἐπιστᾶσα δὲ ἡ Τύχη ἔφη αὐτῷ Pe || ἐπιστὰς Pb || ἡ Τύχη φησίν Ca || Ὦ οὗτος om. Pa || τί τὰ ἐμὰ δῶρα τῇ Γῇ προστίθεις ἅπερ Pg || τὸ ἐμὸν δῶρον προστίθῃς Pb || 4 ἐπιτίθεις Pe προστίθεις Ca || ὅπερ ἐγὼ δέδωκα πλουτεῖν σε βουλομένη Pb ὅ τι ἐγώ σοι δέδωκα βουλομένη σε πλουτίσαι Pe || σοι om. Pa Pb || πλουτίσαι Pe Pg Ma Ca || 5 Ἐὰν γὰρ καιρὸς μεταλλάξει Ma || τὴν φύσιν inclusi || 6 χεῖρας τὸ χρυσίον ἐξαλλάσσῃ nos χεῖρας (χροίας Pb χρείας Ma Ca) μοχθηρὰς ἐξαναλωθῇ (ἀναλώσῃ Pg Ca) Pa Pb Pg Ma Ca || χρείας μοχθηρότερον ἐξαναλώσῃς Pe || οὐ τὴν Γῆν, ἀλλα τὴν Τύχην μέμψῃ Pb || 7 Ὁ μῦθος οὗτος δηλοῖ ὅτι Pb Ὁ λόγος διδάσκει ὅτι Pe Pg Ca || γινώσκειν Pb Pg || 8 χάριτας μεγάλας Pa Pb || ἀποδίδοσθαι Pb || 7-8 Διδάσκει ἡμᾶς ὁ λόγος τὸν εὐεργέτην ἐπιγινώσκειν καὶ τούτῳ τὰς χάριτας εὐχαρίστως ἀποδιδόναι Ma.

Aliter.

Γεωργός τις σκάπτων ἐν γῇ εὗρε χρυσὸν καὶ ἐστεφάνου τὴν Γῆν καθ' ἡμέραν καὶ κατεκόσμει ὡς ὑπ' αὐτῆς εὐεργετηθείς. Ἐπιστᾶσα δὲ αὐτῷ ἡ Τύχη ἔφη· « Ὦ οὗτος, τί παρέχεις τῇ Γῇ τὰ ἐμὰ δῶρα, ἅπερ ἐγὼ δέδωκα βουλομένη σε πλουτίσαι; Ἂν γὰρ ὁ καιρὸς μεταλλάξῃ [τὴν φύσιν] καὶ εἰς ἑτέρας προφάσεις ἐξαναλώσῃς τὸν βίον, πάλιν τὴν Τύχην μέμψῃ. »

Ὁ μῦθος ἔμφασιν ἔχει ὅτι χρὴ προγινώσκειν τὸν εὐεργέτην καὶ τούτῳ ἀπονέμειν τὴν χάριν.

Codd. Pf 26 Ph 26 Me 42 Mf 37.

1 Γ. τ. σκάπτων χρυσίῳ περιέτυχε. Καθ' ἑκάστην οὖν ἡμέραν ἐστεφάνου τὴν Γῆν καὶ κατ- Me Mf || Γέρων Ph || ἐν γαίῃ Pf || 4 τῇ Γῇ τὰ ἐμὰ δῶρα προσανατίθεις ἅπερ ἐγώ σοι δέδωκα πλουτίσαι σε βουλομένη Εἰ γὰρ Me Mf || 5 πλουτῆσαι Ph || τὴν φύσιν inclusi || 6 ἐξαναλώσεις Ph Me Mf || 8 ἔχει τοῦ χρὴ Ph.

Aliter.

Γεωργός τις σκάπτων χρυσίῳ περιέτυχε. Καθ' ἑκάστην

Codd. La 86 Lb 35 Le 35 Lf 86 Lh 15 Md 139 Mg 44 Mi 113 Mj 41 Ml 45 Mm 53.

1 ἐπισκάπτων Mi.

Digitized by Google

οὖν τὴν Γῆν, ὡς ὑπ' αὐτῆς εὐεργετηθείς, ἔστεφε. Τῷ δὲ ἡ Τύχη ἐπιστᾶσά φησιν· « Ὦ οὗτος, τί τῇ Γῇ τὰ ἐμὰ δῶρα προσανατίθῃς, ἅπερ ἐγώ σοι δέδωκα, πλουτίσαι σε βουλομένη ; Εἰ γὰρ ὁ καιρὸς μεταβάλοι καὶ πρὸς ἑτέρας χεῖρας τοῦτό σοι τὸ χρυσίον ἔλθοι, οἶδ' ὅτι τηνικαῦτα ἐμέ τὴν Τύχην μέμψῃ. »

Ὁ μῦθος δηλοῖ ὅτι χρὴ τὸν εὐεργέτην ἐπιγινώσκειν καὶ τούτῳ χάριτας ἀποδιδόναι.

2 Ἐπιστᾶσα δὲ ἡ Τύχη αὐτῷ φησιν Mj || 4 προσανατίθεις (-θης Md) οὗ (οὐκ Mi) ἐγώ Md Mi || ἃ Mm || πλουτῆσαι Ml || σοι Lf || 5 μεταβάλλοι Lh Mj || μεταβάλοι καὶ om. Md Mi Mm || 6 ἔλθοι om. Mm ἔλθῃ Mi || οἶδ' ... ἐμέ om. Mi || ἐμὲ Mm με La Lf Mg Mj ἐμὲ om. ceteri || τὴν Τύχην τηνικαῦτα μέμψῃ Mj || 8 Ὁ μῦθος ὅτι Mm Ὅτι Md Mg Mi Mj || προτιμᾶν (τιμᾶν ἀεὶ Mm) pro ἐπιγινώσκειν Md Mi Mm.

85

Γεωργὸς καὶ φυτόν.

Φυτὸν ἦν εἰς γεωργοῦ χώραν, καρπὸν μὴ φέρον, ἀλλὰ μόνον στρουθῶν καὶ τεττίγων κελαδούντων ἦν καταφυγή. Ὁ δὲ γεωργὸς ὡς ἄκαρπον ἐκτεμεῖν ἤμελλεν. Καὶ δὴ τὸν πέλεκυν λαβὼν ἐπέφερε τὴν πλήγην. Οἱ δὲ τέττιγες καὶ οἱ στρουθοὶ ἱκέτευον τὴν καταφυγὴν αὐτῶν μὴ ἐκκόψαι, ἀλλ' ἐᾶσαι, ὥστε ᾄδειν ἐν αὐτῷ καὶ σὲ τὸν γεωργὸν τέρπειν. Ὁ δὲ μηδὲν αὐτῶν φροντίσας, καὶ δευτέραν πληγὴν καὶ τρίτην ἐπέφερε. Ὡς δὲ ἐκοίλανε τὸ δένδρον, σμῆνος μελισσῶν καὶ μέλι εὗρε. Γευσάμενος δὲ τὸν πέλεκυν ἔρριψε καὶ τὸ φυτὸν ἐτίμα ὡς ἱερὸν καὶ ἐπεμελεῖτο.

Ὅτι οὐ τοσοῦτον οἱ ἄνθρωποι φύσει τὸ δίκαιον ἀγαπῶσι καὶ τιμῶσιν ὅσον τὸ κερδαλέον ἐπιδιώκουσι.

Codd. Ba 140 Bb 85.

1 φέρων codd. || 8 ἐκύλανε Ba || 11 τὸ φύσει δίκαιον Bb φύσει τὸ δ- Knöll τῇ φύσει δίκαιον Bb.

Aliter.

Φυτὸν δέ ποτε γεωργοῦ ἦν ⟨εἰς⟩ χώραν

Cod. Mb 215.

1 εἰς addidi.

Digitized by Google

καρπὸν μὴ φέρον τὸ τοιοῦτον μηδ' ὅλως.
Τοῦτο δ' ὑπῆρχε στρουθῶν κατοικεσία
ἅμα τεττίγων φωνούντων, κελαδούντων.
Ὁ οὖν γεωργὸς ὡς ἄχρηστον ὑπάρχον
ἤθελε τεμεῖν τὸ ἄκαρπον ἐκεῖνο.
Καὶ δή, συλλαβόντος πέλεκυν τοῦ πλῆξαι,
στρουθοὶ ἅπαντες καὶ τέττιγες ἐθρήνουν
ταῦτα βοῶντες καὶ τῷ ἀνδρὶ λαλοῦντες·
« Ἄκουσον ἡμῖν, ὦ κύριε τοῦ δένδρου,
γνώμην ἱκετεύουσιν τὴν σὴν καλλίστην·
μὴ ἐκκόψῃς τὴν σεμνὴν κατοικεσίαν.
Εἰ δέ γε τοῦτο θελήσειας ποιῆσαι,
τί σοι τὸ κέρδος ἐκγενήσεται τούτου; »
Ὃς μὴ οἰκτείρας, μὴ τούτους ἐλεήσας
τρισσῶς ἔπληξε μετ' ἀξίνης τὸ δένδρον.
Ὡς δὲ ῥαγάδα εὐθέως πεποιήκει,
σμῆνος μελισσῶν καὶ μέλι εὐθὺς εὗρεν·
οὗ γευσάμενος τὸν πέλεκυν προσρίπτει
καὶ τοῦ δένδρου εὐθέως ἐπεμελεῖτο
πλεῖον τῶν δένδρων ὧν εἶχε τῶν ἐγκάρπων.

7 συλλαβόντος nos συλλαβὼν τὸν cod. || **10** ἡμῖν nos ἡμῶν cod. || || **12** κατοικίαν cod. || **16** ἔπληξε nos δέδωκε cod. || **20** εὐθέως nos εὐθύς cod.

86

Γεωργοῦ παῖδες ⟨στασιάζοντες⟩.

Γεωργοῦ παῖδες ἐστασίαζον. Ὁ δέ, ὡς πολλὰ παραινῶν οὐκ ἠδύνατο πεῖσαι αὐτοὺς λόγοις μεταβάλλεσθαι, ἔγνω δεῖν διὰ πράγματος τοῦτο πρᾶξαι, καὶ παρήνεσεν αὐτοῖς ῥάβδων δέσμην κομίσαι. Τῶν δὲ τὸ προσταχθὲν ποιησάντων, τὸ μὲν πρῶτον δοὺς αὐτοῖς ἀθρόας τὰς ῥάβδους ἐκέλευσε κατεάσσειν. Ἐπειδὴ δὲ κατὰ πᾶν βιαζόμενοι οὐκ ἠδύ-

Codd. Pa 53 Pb 53 Pc 24 Pe 27 Pg 31 Mb 25.

1 Ὁ δὲ ὡς om. Pe Ὁ δὲ om. Mb || Πολλὰ δὲ παραινῶν ὁ πατὴρ αὐτοὺς πεῖσαι οὐκ ἠδύνατο λόγοις μεταβάλλεσθαι, ἔγνω δὲ διὰ πράγματος καὶ πείρας τούτους μεταβάλλειν Pe, qui hic desinit; reliqua narratio pertinet ad fabulam Γαλῆ καὶ ῥίνη || **2** μεταβαλέσθαι Pa Pc || **3** δὴ pro δεῖν Pc || πρᾶγμα pro διὰ πράγματος Pb || παρήγγειλεν Pg || **4** ῥάβδον Pa || δεσμία Pb || ποιησαμένων Pg || **6** κατεάσειν Pa Pb κατεάξαι Pc || Ἐπεὶ Pc || pro κατὰ πᾶν βιαζόμενοι Pb Pc Pg habent καὶ περιβιαζόμενοι, Mb καίπερ βιαζόμενοι.

Digitized by Google

-ναντο, ἐκ δευτέρου λύσας τὴν δέσμην, ἀνὰ μίαν αὐτοῖς ῥάβδον ἐδίδου. Τῶν δὲ ῥᾳδίως κατακλώντων, ἔφη· « Ἀτὰρ οὖν καὶ ὑμεῖς, ὦ παῖδες, ἐὰν μὲν ὁμοφρονῆτε, ἀχείρωτοι τοῖς ἐχθροῖς ἔσεσθε· ἐὰν δὲ στασιάζητε, εὐάλωτοι. »

Ὁ λόγος δηλοῖ ὅτι τοσοῦτον ἰσχυροτέρα ἐστὶν ἡ ὁμόνοια ὅσον εὐκαταγώνιστος ἡ στάσις.

8 Αὐτὰρ Mb || 9 ἡμεῖς Pa || 10 βιάζητε pro στασιάζητε Pc || 11 ἰσχυρότερον Pb Pc || ἐστιν om. Pa || ὁμοφωνία Pc || 12 ὡς Pa Pc || εὐκατάγνωστος Pa || 11-12 Ὁ μῦθος δηλοῖ ὅτι ὅσον ἰσχυρά (ἰσχυροτέρα Pg) ἐστιν ἡ ὁμόνοια, τοσοῦτον εὐκαταφρόνητος ἡ στάσις Pg Mb.

Aliter.

Γεωργοῦ παῖδες ἐστασίαζον. Ὁ δὲ πατὴρ αὐτῶν παραινῶν αὐτοῖς οὐκ ἠδύνατο αὐτοὺς διαλλάττεσθαι ἐν λόγοις. Ἔγνω οὖν διὰ πραγμάτων αὐτοὺς πεῖσαι. Καὶ δὴ καθημένων αὐτῶν, προσέταξε ῥάβδους αὐτῷ κομίσαι. Ἐνεχθεισῶν δὲ τῶν ῥάβδων, λαβὼν ταύτας, ἐποίησεν αὐτὰς δέσμην μίαν, καὶ ἐκέλευσεν τοὺς παῖδας ἕνα ἕκαστον λαβεῖν τὴν δέσμην καὶ συνθλάσαι. Οἱ δὲ δοκιμάσαντες οὐκ ἠδυνήθησαν. Ὕστερον δὲ λύσας αὐτὰς ἔδωκεν ἀνὰ μίαν κλάσαι. Οἱ δὲ διὰ τάχους τοῦτο ἐποίησαν. Τότε λέγει αὐτοῖς ὁ πατὴρ

Codd. Ca 52 Cb 35 Ce 34 Cf 38 Ch 42 Ma 161 Mc 36 Md 40 Mh 35 Mi 75 Mk 37 Ml 43 Mm 45 Mn 14 Ld 14.

1 πολλὰ παραινῶν Ch || παραινῶν αὐτοὺς Ca Mc Md Mi Ml Mm Mn Ld || 2 αὐτοὺς διαλλάττεσθαι .... πραγμάτων αὐτοὺς om. Ld M (sed Ml omisit solum Ἔγνω ... πεῖσαι) || διαλλάττειν Cb Ce Cf Ml || 3 αὐτοὺς διὰ πράγματος Cb || διὰ πράξεως αὐτοὺς νουθετῆσαι Ce || διὰ πράγματος αὐτους ποιῆσαι Cf || 4 προσέταξε δέσμην καὶ συνθλάσαι duabus lineis omissis Cb || δέσμην (δέσμην μίαν Mn δέσμον Ce Cf) ῥάβδων αὐτῷ (αὐτοὺς Ch) Ce Cf Ch M Ld || Ἐνεχθέντων δὲ λαβὼν τάς hic desinit Mc || Ἐνεχθέντος δὲ καὶ λαβὼν δέσμον ἕνα ἐκέλευσεν ἑνὶ τῶν παίδων συνθλάττειν Ce || Ἐνεχθέντων (-θέντος Cf -θείσης Ch) δὲ, λαβὼν (καὶ λαβὼν Cf Ml) τὰς (τοὺς Cf) ῥάβδους, ἔδησεν αὐτὰς (αὐτοὺς Cf) δέσμην μίαν καὶ ἐκέλευσεν τοὺς παῖδας (τοὺς παῖδας om. Ld M excepto Ml) ἑνὶ ἑκάστῳ Cf Ch Ld M || 6 λαβεῖν καὶ συνθλάσαι τὴν δέσμην (τ- δ- om. Mh) Ld M excepto Ml || 7 Καὶ ἀποδοκιμασθεὶς ἔλαβεν αὐτὸν ἕτερος, καὶ οἱ καθεξῆς. Ὡς οὐκ ἠδυνήθησαν, ὕστερον λύσας τὸν δέσμον δέδωκεν αὐτοῖς ἀνὰ μίαν, καὶ εὐκόλως συνέθλασαν. Τότε λέγει τούτοις Ce || δοκιμασθέντες Mh || 8 λύσαντες Cf || αὐτοὺς Ml || ἔδωκεν Ca Md δέδωκεν ceteri || Οἱ δὲ τάχιστα μετ' εὐκολίας ἐποιήσαντο τοῦτο Mk || 9 διὰ τάχος Cf || εὐκόλως τοῦτο Ma Md Mh Mi Mm Mn Ld || ποιήσαντες Cb || τούτοις Ce || ὁ πατὴρ αὐτῶν om. Mh.

Digitized by Google

αὐτῶν· « Οὕτω καὶ ὑμεῖς, ὦ τεκνία μου, ἐάν μοι ἔσεσθε ὁμοφρονοῦντες, ἀκαταγώνιστοι καὶ ἀχείρωτοι ἔσεσθε τοῖς ἐχθροῖς· ἐὰν δὲ μένητε στασιάζοντες καὶ φιλονεικοῦντες, εὐχερῶς ἔσεσθε εὐάλωτοι. »

Ὅτι τοσοῦτον ἰσχυροτέρα ἐστὶν ἡ ὁμόνοια ὅσον εὐκαταφρόνητος ἡ διάστασις.

10 Οὕτως Ce || ὦ om. Ma Md Mi Mk Mm Ld || τέκνα Ld || ἐὰν ὁμοῦ (μου Cf) ἔσεσθε Cb Cf Ch ἐὰν ἔσεσθαί μου ὁμοφρονοῦντες Ce ἐὰν ὁμοφρονοῦντες μένετε (μένητε Ld Mk Mn) Ld M excepto Ml || **11** ἀκατάγνωστοι Ld || **12** ἐὰν δὲ στασιάζοντες φιλονεικῆται Ce || μένετε Cf Ca ἐπιμένεται Cb || **13** ἔσθαι Cb γενήσεσθε Ml || εὐάλωτοι ἔσεσθε Mh Mm εὐάλωτοι ἔσεσθε τοῖς ἐχθροῖς Ma Md Mi Mk Mn Ld || **14** Ep. om. Ca || Ὁ μῦθος δηλοῖ ὅτι Cf Ch Ld Ma Md Mh Mi Mk Ὁ μῦθος ὅτι Mn Ὅτι Ml || ἰσχυρὸν Ce ἰσχυρότερον Cb Cf Ml || ἐστιν ἰσχυροτέρα Ld M excepto Ml || ἡ om. Cf || εὐκαταφρόνητον Ce Ml εὐκαταφρένητο Ma.

Aliter.

Ἐν τοῖς παλαιοῖς πατὴρ παίδων ὑπεργηράσας παραινῶν αὐτοῖς τὰ εἰκότα ἐκέλευσε καὶ δέσμην ῥάβδων ἐνεγκεῖν. Ἔφη δὲ τοῖς υἱοῖς· « Πειραθῆτε, τέκνα, συνδεδεμένας τὰς ῥάβδους κατεάξαι. » Οἱ δὲ οὐκ ἠδυνήθησαν. Μίαν δὲ ἑκάστην ἀποσπασθεῖσαν εὐχερῶς κατέκλασαν· Ἔφη δέ· « Ὦ παῖδες ἐμοί, καὶ αὐτοί, εἰ μὲν ἀλλήλοις ὁμοφρονῆτε, οὐδεὶς ὑμᾶς βλάψει, εἰ δὲ τῇ γνώμῃ ἀλλήλων χωρισθῆτε, ἀπολεῖσθε πάντες ὡς ἡ μία ῥάβδος. »

Ὅτι ἡ ὁμόνοια ὅπλον μέγα καὶ ἀκίνδυνόν ἐστι καὶ κτῆμα πρὸς ἀνάπαυσιν βίου.

Codd. Ba 38 Mg 64.

1 παλαιοῖς Babrius σπηλαίοις codd. || **2** δέσμην καὶ ῥάβδον Mg || ῥάβδον Ba || **3** συνδεδεμένους Ba || **6** Ὦ om. Mg || καὶ αὐτοί om. Mg || ὁμοφρονεῖτε Ba || **9** καὶ κτῆμα ... βίου om. Mg.

Aliter.

Πατὴρ ἀποθνήσκων τοὺς οἰκείους παῖδας πρὸς ὁμοφροσύνην παρεκάλει· τρεῖς δὲ ῥάβδους δεδεμένας κατεάξαι ταῖς χερσὶ τούτοις ἐδίδου. Οἱ δὲ λαβόντες οὐκ ἠδυνήθησαν. Εἶτα μίαν μόνην ἑκάστῳ δοὺς κατεάξαι, τὴν ἑαυτοῦ ῥᾳδίως ἕκαστος κατέκλασεν. Πρὸς οὓς ὁ πατὴρ ἔφη· « Οὕτω καὶ ὑμεῖς, ὦ παῖδες, ἐὰν ὁμοῦ ἦτε ἐν ἅπασι, οὐδεὶς ὑμᾶς βλάψαι δυνήσεται, εἰ δὲ διχονοεῖτε, ἕκαστον ἰδίως πᾶς τις εὐχερῶς καταβλάψαι δυνήσεται.

Cod. Bd 18.

3 χερσὶ τούτων cod.

Digitized by Google

Aliter.

Υἱούς τις ἔχων πολλοὺς καὶ μὴ ὁμονοοῦντας, τούτους ἐν μιᾷ καλέσας ὁ πατὴρ καὶ ῥάβδον αὐτοῖς ἐπιδώσας ἔφη· « Θέλω κατεάξαι ταύτην τὴν ῥάβδον, » καὶ κατέαξαν αὐτήν. Ὁ δὲ πάλιν ἐπέδωκε αὐτοῖς ῥάβδους πολλὰς κατεάξαι καὶ οὐκ ἠδυνήθησαν κατεάξαι αὐτάς. Ὁ δὲ ἔφη πρὸς αὐτούς· « Βλέπετε ὡς οὐκ ηὐπορήσατε κατεάξαι τὰς ῥάβδους· οὕτως καὶ ὑμεῖς, ἐὰν ὁμονοοῦντές ἐστε, οὐδεὶς ὑμᾶς βλάψει. »

Ὅτι καλὸν ἔργον ὁμόνοια καὶ τοῖς πᾶσιν εὐάρμοστον.

Codex Barberinus 47 nº 153.

2 ῥόδον cod. || ἐπιδόσας cod. ex aoristo ἐπέδωσα cuius subiunctiuus ἐπιδώσω non semel in codicibus nostris reperitur || **6** κατέαξαν cod.

87

Γραῦς καὶ ἰατρός.

Γυνὴ πρεσβῦτις τοὺς ὀφθαλμοὺς νοσοῦσα ἰατρὸν ἐπὶ μισθῷ παρεκάλεσεν. Ὁ δὲ εἰσιών, ὁπότε αὐτὴν ἔχριε, διετέλει ἐκείνης συμμυούσης καθ' ἕκαστον τῶν σκευῶν ὑφαιρούμενος. Ἐπειδὴ δὲ πάντα ἐκφορήσας κἀκείνην ἐθεράπευσεν, ἀπήτει τὸν ὡμολογημένον μισθόν· καὶ μὴ βουλομένης αὐτῆς ἀποδοῦναι, ἤγαγεν αὐτὴν ἐπὶ τοὺς ἄρχοντας. Ἡ δὲ ἔλεγε τὸν μὲν μισθὸν ὑπεσχῆσθαι, ἐὰν θεραπεύσῃ αὐτῆς τὰς ὁράσεις, νῦν δὲ χεῖρον διατεθῆναι ἐκ τῆς ἰάσεως αὐτοῦ ἢ πρότερον· « τότε μὲν γὰρ ἔβλεπον

Codd. Pa 57 Pb 57 Pg 34 Ph 29 Mb 29.

1 πρεσβύτης Pa || **2** Ὁ δὲ χρίων αὐτὴν διετέλει καθ' ἑκάστην τῶν σκευῶν ὑ- Ph || εἰς ἴωναν ποτὲ Pa || ἄν ποτε Pg Mb || ἐγχρήσασθαι Pa ἔχρισε Pg Mb || **3** ἐκείνης om. Pa || συμμυοῦσαν Pa συμβυούσης καὶ Mb || καθ' ἓν ἕκαστον Pb || **4** ὑφηρεῖτο Pa Mb ἀφηρεῖτο Pg || Ἐπεὶ Pb Ph || **5** συναχθέντα pro ὡμολογημένον Pb || καὶ μὴ βουλομένης Pa μὴ βουλομένης δὲ ceteri || **6** ἐπιδοῦναι Pb || εἰς τοὺς Pg Mb || **7** αὐτῷ μὲν μισθὸν Ph || ὑπισχνεῖσθαι Pb || **8** αὐτῇ Pg Mb || τὰς κόρας Pg Mb τὰ ὄμματα Ph || ἡ δὲ χεῖρον Pa Pg Ph Mb || διατεθεῖναι Pa || **9** ἐκ τῆς ἰάσεως ... πρότερον om. Pb || ἔβλεπον, ἔφη, πάντα Pb.

Digitized by Google

πάντα, ἔφη, τὰ ἐπὶ τῆς οἰκίας σκεύη, νῦν δ' οὐδὲν ἰδεῖν δύναμαι. »

Οὕτως οἱ πονηροὶ τῶν ἀνθρώπων διὰ πλεονεξίαν λανθάνουσι καθ' ἑαυτῶν τὸν ἔλεγχον ἐπισπώμενοι.

10 οἰκίας μου Pb Pg || **12** φθάνουσι Ph λαμβάνουσι Pg || **13** καθ' ἑαυτοὺς Pa.

Aliter.

Γυνὴ πρεσβῦτις τοὺς ὀφθαλμοὺς νοσοῦσα, ἰατρόν τινα ἐπὶ μισθῷ ἰατρεῦσαι αὐτὴν παρεκάλει, στοιχήσασα αὐτῷ ἐνώπιον μαρτύρων ὅτι, ἐὰν θεραπεύσῃ αὐτῆς τοὺς ὀφθαλμούς, πολὺν λήψεται παρ' αὐτῆς τὸν μισθόν· ἐὰν δὲ μὴ θεραπεύσῃ, ἐπιμείνῃ δὲ ἡ ἀρρωστία, μηδὲν αὐτῷ παρασχήσει. Καὶ οὕτω γενομένου, ὅσον ὁ ἰατρὸς ἐπετίθει τοῖς ὀφθαλμοῖς αὐτῆς τὴν ἰατρείαν, κατ' ὀλίγον ὀλίγον τὰ προσόντα αὐτῇ ἔκλεπτε. Μετ' οὐ πολὺ δὲ θεραπεύσας αὐτήν, ἐξῄτει τὸν στοιχηθέντα μισθόν. Ἀναβλέψασα τοίνυν ἡ γραῦς οὐδὲν

Codd. Ca 46 Cb 33 Cd 33 Ce 32 Cf 36 Ch 40 Ma 160 Md 38 Mh 33 Mi 73 Mm 43.

1 πρεσβύτης Ca -βυς Cb Ce Ma Mh -βις Cf Md Mi Mm || τινα om. Ce Cf || **2** ἐπὶ μισθὸν Cb Cd ἐπὶ μισθίῳ Mm || ἰατρεῦσαι αὐτὴν Ca om. ceteri || παρεκάλεσεν Cb Cd Ch ἐκάλει M || στοιχήσας Ca Ce Cf -σαντα Cd || αὐτὸν Ca Cd Cf Ch Ma Mi || **3** ἐπὶ μαρτύρων Ch || ὅτι om. Cb Cd || ἐὰν θεραπευθῶ τοὺς ὀφθαλμούς μου, πολλὴν λείψει παρ' ἐμοὶ τὸν μισθόν· ἐὰν δὲ μὴ θεραπευθῶ, ἀλλ' ἐπιμείνω τῇ ἀρωστείᾳ, μηδὲν αὐτῷ παρασχεῖν Cb || ἐὰν θεραπευθῇ τοὺς ὀφθαλμοὺς αὐτῆς Cd ἐὰν τοὺς ὀφθαλμοὺς αὐτῆς θεραπεύσει Mm || θεραπεύσει αὐτὴν omisso τοὺς ὀφθαλμούς Ce || **4** πολλὰ Cf πολὺν om. M || παρ' αὐτοῦ Cd || τὸν om. Ch || εἰ δὲ Md Mm || ἐὰν δὲ μὴ θεραπευθῇ Ce Cf Ch ἡ δὲ μὴ θεραπευθῆσα Mh || **5** ἀλλ' ἐπιμείνῃ (-νει Cd) τῇ ἀρρωστίᾳ (ἀρωστείᾳ Cf) Cd Cf Ch || ἀλλ' ὑπομείνει τῇ ἀσθενείᾳ μηδὲν παράσχει Ce || ἀλλ' ἐπιμείνῃ αὐτῇ ἡ νόσος M || αὐτοῦ pro μηδὲν Cf || μηδένα παράσχῃ Mh || παράσχει Cf παράσχῃ ceteri παρασχήσει nos || **6** Καὶ τούτου γενομένου M || ὅσον ὅσον Ca || ἐπετέθη τοὺς ὀφθαλμοὺς αὐτῆς Cb || ἐπετίθη Cf || ἐπετίθει αὐτῇ (ἐπετέθη αὐτῆς Mh) τὴν θεραπείαν M || **7** αὐτῆς om. Ce || τῇ ἰατρείᾳ Cf || τόσον τὰ τοῦ οἴκου ἐσπάνιζον κατ' ὀλίγον αὐτὰ κεκληφότος Ce || τά προσόντα αὐτῆς Cb Ch || τὰ προσόντα ἀφῄρει (-ρεῖτο Mh) αὐτῆς M || **8** ἔβλεπε pro ἔκλεπτε Cf || Μετὰ πολὺ Cb || πολλοῦ Cf || θεραπευθείσης αὐτῆς Cd || αὐτὴν om. Ma || ἐξῄτει nos ἐζήτει libri || **9** στοιχηθέντα αὐτῷ M hic desinit Mh || σταθένταCb Cd || καὶ μηδὲν τῶν προσόντων θεασαμένη, οὐδὲν ἐδίδου αὐτῷ M.

τῶν προσόντων αὐτῇ ἐθεάσατο ἐν τῇ οἰκίᾳ αὐτῆς. Ὡς οὖν ἐπέμενεν ὁ ἰατρὸς ἐκβιάζων αὐτήν, ἐκείνη δὲ ἀνεβάλλετο, ἀπήγαγεν αὐτὴν πρὸς τοὺς ἄρχοντας. Στᾶσα οὖν ἐνώπιον αὐτῶν ἔφη· « Ὁ ἄνθρωπος οὗτος, καθῶς λέγει, ἀλήθειαν λέγει· ἐπηγγειλάμην γὰρ δοῦναι αὐτῷ τὸν μισθόν, ἐὰν καλῶς ἀναβλέψω· εἰ δὲ ἐπιμείνω τῇ ἀρρωστίᾳ, ἵνα μηδὲν παρέξω αὐτῷ. Νῦν οὖν φάσκει ὅτι ἐθεραπεύθην· ἐγὼ δὲ τοὐναντίον λέγω παθεῖν με· ὅταν γὰρ τοὺς ὀφθαλμοὺς ἐνόσουν, τότε καὶ σκεύη διάφορα καὶ χρήματα ἔβλεπον ἐν τῇ οἰκίᾳ μου· νυνὶ δὲ ὅτε αὐτὸς φάσκει βλέπειν με, οὐδὲν δύναμαι ἄρτι θεάσασθαι. »

Ὁ μῦθος δηλοῖ ὅτι οὕτω καὶ οἱ πονηροὶ τῶν ἀνθρώπων διὰ πλεονεξίαν λανθάνουσι καθ' ἑαυτῶν τὸν ἔλεγχον ἐπισπώμενοι.

10 αὐτῇ om. Ce || Ὁ ἰατρὸς οὖν ἐπεγένετο ἐκβιάζων αὐτήν, ὡς ἵνα λάβει τὸν μισθόν, ἐκείνη δὲ ἀνελάβετο Ce || οὖν om. Cd || οὖν δὴ Cf || **11** ἀνεβάλετο Md ἀναβάλετο Mm || **12** εἰς τοὺς Cb Cd || κριθησομένην ἐπὶ τοὺς ἄρχοντας M || Σταθεῖσα Cf Ch || Σταθεῖσα οὖν ἐνώπιον πάντων εἶπεν Cb Cd || Ὡς οὖν ἀπήγαγεν αὐτὴν πρὸς τοὺς ἄρχοντας, σταθεῖσα ἐνιύποιον Ce || Ἐκείνη δὲ ἐνώπιον αὐτῶν σταθεῖσα εἶπεν· « Μᾶλλον μὲν οὖν (οὖν om. Ma) τὰ νῦν οὐδ' ὁτιοῦν βλέπω· ἡνίκα γὰρ τοὺς ὀφθαλμοὺς ἐνόσουν, πολλὰ τῶν ἐμῶν κατὰ τὴν ἐμαυτῆς ἔβλεπον οἰκίαν, νῦν (νυνὶ Md Mi Mm) δ' ὅτε με σὺ βλέπειν φῄς, οὐδ' ὁτιοῦν ἐκείνων ὁρῶ M || **13** καθὼς λέγει om. Cf || ἀληθῶς λέγει· ἀπηγγειλάμην γὰρ δοῦναι αὐτῷ, ἐὰν βλέψω· ἐγὼ δὲ τοὐναντίον λέγω παθεῖν με una linea omissa Ce || **14** ἀπηγγειλάμην Cf || αὐτὸν (αὐτῷ Cd) μισθὸν δοῦναι Cb Cd || βλέψω Cb Cd || **15** ἐπιμένω Cd || **16** παρέξω αὐτόν Cb || τὸν μισθὸν ... παρέξω αὐτῷ om. Cf || Ἦν οὖν ὡς αὐτὸς φάσκει Cb Cd || αὐτὸς φάσκει Cf Ch || ὅτι om. Cf || **17** λέγω τοὐναντίον Cb Cd || παθόν μαι Cb κακοπαθεῖν με Cf || τοὺς ὀφθαλμοὺς τοὺς ἐμοὺς (ἐμοῦ Cb) Cb Cd Ch || γὰρ τοὺς ὀφθαλμοὺς om. Ce Cf || **18** καὶ om. Cb Cd τότε καὶ om. Ce || **19** μου om. Ch || νῦν Cf || νῦν δὲ αὐτὸς ὅταν φάσκῃ Cb Cd || λέγει Ce || **21** ὅτι om. Cf || οὕτω καὶ om. Ce Ch || Οὕτως οἱ Cb Οὕτω καὶ οἱ Cd || **22** ἐξ οἵαν pro πλεονεξίαν Cf καθ' ἑαυτοὺς Cd || **21-23** ὅτι οἱ πονηροὶ τῶν ἀνθρώπων ἐξ αἰτίας λανθανούσης καθ' ἑαυτῶν τὸν ἐλεὸν ἐπισπῶνται Ce Ὅτι οἱ πονηροὶ τῶν ἀνθρώπων ἐξ ὧν πράττουσι λανθάνουσι καθ' ἑαυτῶν τὸν ἔλεγχον ἐπισπώμενοι M.

Aliter.

Γυνὴ πρέσβις τοὺς ὀφθαλμοὺς νοσοῦσα ἰατρὸν ἐπὶ μισθῷ παρεκάλεσε θεραπεῦσαι αὐτήν, ἐνώπιον μαρτύρων εἰποῦσα

Cod: Mk 39.

1 πρέσβυς cod. || μιστῷ cod.

Digitized by Google

ὅτι « ἐὰν θεραπευθῶ τοὺς ὀφθαλμούς μου, πολὺν λήψῃ παρ' ἐμοῦ τὸν μισθόν· ἐὰν δὲ μὴ θεραπευθῶ, ἀλλ' ἐπιμείνω τῇ ἀρρωστίᾳ, οὐδὲν ἀποδώσω σοι. » Οὕτως οὖν ὁ ἰατρὸς τοὺς ὀφθαλμοὺς αὐτῆς θεραπεύων κατ' ὀλίγον ὀλίγον τὰ προσόντα αὐτῇ ἔκλεπτε. Μετ' οὐ πολὺ δὲ θεραπεύσας αὐτὴν ἐξῄτει τὸν συμφωνηθέντα μισθόν. Ἀναβλέψασα τοίνυν ἡ γραῦς οὐδὲν τῶν προσόντων αὐτῇ ἐν τῇ οἰκίᾳ ἐθεάσατο. Ὡς οὖν ὁ ἰατρὸς ἐκείνην ἠνώχλει, ἡ δὲ ἀνεβάλλετο, ἀπήγαγεν αὐτὴν εἰς τοὺς δικαστάς. Σταθεῖσα δὲ ἡ γραῦς ἐνώπιον πάντων εἶπεν· « Ἀληθῶς λέγει οὗτος ὁ ἄνθρωπος· ἐπηγγειλάμην γὰρ αὐτῷ δοῦναι μισθόν, ἐὰν καλῶς βλέψω· εἰ δὲ ἐπιμείνω τῇ ἀρρωστίᾳ, μηδὲν αὐτῷ ἀποδώσειν. Νῦν δὲ αὐτός μετὰ ⟨ταῦτά⟩ φησι θεραπευθῆναί με· ἐγὼ δέ φημι τὸ ἐναντίον παθεῖν. Ὅτε γὰρ ἐνόσουν τοὺς ὀφθαλμούς, τότε καὶ σκεύη διάφορα καὶ χρήματα ὑπῆρχον ἐν τῇ οἰκίᾳ μου, καὶ ταῦτα ἑώρων· νῦν δὲ οὐ δύναμαι ταῦτα βλέπειν. »

Ὁ μῦθος δηλοῖ ὅτι οὕτως οἱ πονηροὶ τῶν ἀνθρώπων λανθάνουσι διὰ πλεονεξίαν καθ' ἑαυτῶν τὸν ἔλεγχον ἐπισπώμενοι.

8 ἐζήτει cod. || 12 ἐνῶπι cod. || 15 ταῦτά suppleui.

Aliter.

Γυνὴ γραῦς ἀλγοῦσα τοὺς ὀφθαλμοὺς εἰσκαλεῖταί τινα τῶν ἰατρῶν ἐπὶ μισθῷ, συμφωνήσασα ὡς, εἰ μὲν θεραπεύσειεν αὐτήν, τὸν ὁμολογηθέντα μισθὸν αὐτῷ δώσειν, εἰ δὲ μή, μηδὲν δώσειν. Ἐνεχείρησε μὲν οὖν ὁ ἰατρὸς τῇ θεραπείᾳ· καθ' ἡμέραν δὲ φοιτῶν ὡς τὴν πρεσβῦτιν καὶ τοὺς ὀφθαλμοὺς αὐτῇ χρίων, ἐκείνης μηδαμῶς ἀναβλέπειν ἐχούσης τὴν ὥραν ἐκείνην ὑπὸ τοῦ χρίσματος, αὐτὸς ἕν τι τῶν τῆς οἰκίας σκευῶν ὑφαιρούμενος ὁσημέραι ἀπῄει. Ἡ μὲν οὖν γραῦς τὴν ἑαυτῆς περιουσίαν ἑώρα καθ' ἑκάστην ἐλαττουμένην ἐπὶ τοσοῦτον ὡς καὶ τέλος παντάπασιν αὐτῇ θεραπευθείσῃ μηδὲν ὑπολειφθῆναι. Τοῦ δ' ἰατροῦ τοὺς συμφωνηθέντας μισθοὺς αὐτὴν ἀπαιτοῦντος, ὡς καθαρῶς βλέπουσαν ἤδη, καὶ τοὺς μάρτυρας παρα-

Codd. La 21 Lb 26 Le 26 Lf 21 Me 33 Mg 33 Mj 31 Ml 35.

3 αὐτῷ μισθὸν Mg || αὐτῷ παρέξειν Lb Le Me Mj ἀποδοῦναι Ml || 4 Ἐνεχείρισε Me Mj || 5 εἰς τὴν Ml || πρεσβύτην Me || 6 ὀφθαλμοὺς αὐτῆς Lb Le Me Mj || ἀναβλέψειν Me || 7 τῆς ὥρας αὐτῆς Le || ἕν τινι Lb || 8 ἐκ τῆς οἰκίας Me Mj Ml || 11 σὺν τῇ θεραπαίνιδι pro θεραπευθείσῃ Mj || ὑποληφθῆναι Me || 13 παραγαγόντος τοὺς μάρτυρας Lb Le Me Mj ||

Digitized by Google

γαγόντος· « Μᾶλλον μὲν οὖν, εἶπεν ἐκείνη, τὰ νῦν οὐδ' ὁτιοῦν βλέπω· ἡνίκα μὲν γὰρ τοὺς ὀφθαλμοὺς ἐνόσουν, πολλὰ τῶν ἐμῶν κατὰ τὴν ἐμαυτῆς ἔβλεπον οἰκίαν· νῦν δ' ὅτε με σὺ βλέπειν φῄς, οὐδ' ὁτιοῦν ἐκείνων ὁρῶ. »

Ὁ μῦθος δηλοῖ ὅτι οἱ πονηροὶ τῶν ἀνθρώπων ἐξ ὧν πράττουσι λανθάνουσι καθ' ἑαυτῶν τὸν ἔλεγχον ἐπισπώμενοι.

16 νυνὶ δὲ Lb Le Lf Me Ml || 17 σύ με Mj || 18 Ὅτι οἱ Mg || 19 καθ' ἑαυτούς Me.

88

Γυνὴ καὶ ἀνὴρ ⟨μέθυσος⟩.

Γυνή τις ἄνδρα μέθυσον εἶχε· τοῦ δὲ πάθους αὐτὸν ἀπαλλάξαι θέλουσα τοιόνδε τι σοφίζεται. Κεκαρωμένον γὰρ αὐτὸν ὑπὸ τῆς μέθης παρατηρήσασα καὶ νεκροῦ δίκην ἀναισθητοῦντα ἐπ' ὤμων ἄρασα ἐπὶ τὸ πολυάνδριον ἀπενεγκοῦσα κατέθετο καὶ ἀπῆλθεν. Ἡνίκα δ' αὐτὸν ἤδη ἀνανήφειν ἐστοχάσατο, προσελθοῦσα τὴν θύραν ἔκοπτε τοῦ πολυανδρίου. Ἐκείνου δὲ φήσαντος· « Τίς ὁ τὴν θύραν κόπτων ; » ἡ γυνὴ ἀπεκρίνατο· « Ὁ τοῖς νεκροῖς τὰ σιτία κομίζων ἐγὼ πάρειμι. » Κἀκεῖνος· « Μή μοι φαγεῖν, ἀλλὰ πιεῖν, ὦ βέλτιστε, μᾶλλον προσένεγκε· λυπεῖς γάρ με βρώσεως, ἀλλὰ μὴ πόσεως μνημονεύων. » Ἡ δὲ τὸ στῆθος πατάξασα· « Οἴμοι τῇ δυστήνῳ, φησίν· οὐδὲν γὰρ οὐδὲ σοφισαμένη ὤνησα· σὺ γάρ, ἄνερ, οὐ μόνον οὐκ ἐπαιδεύθης, ἀλλὰ καὶ χείρων σαυτοῦ γέγονας, εἰς ἕξιν σοι καταστάντος τοῦ πάθους. »

Codd. La 74 Lb 30 Le 30 Lf 74 Lh 14 Md 128 Me 37 Mg 35 Mi 102 Mj 35 Ml 46 Mm 48.

2 Κεκαρωμένον γὰρ om. Me || **3** παρατήσασα Mm || **4** ἐπὶ πολυάνδριον Lb Lh Mj Mm || **5** ἤδη om. Ml || **6** ἀναφέρειν pro ἀνανήφειν Md Mi Mm || **8** σῖτα Lf Lh Me Mi Mj Ml Mm || **10** προσενέγκας Mi προσενέγκαι Mm || **11** μὴ πόσεως, ἀλλὰ βρώσεως Lb Le Lh Me || **12** οὐδὲν γὰρ nos οὐδὲ γὰρ L Mg Mj Ml om. Md Mi Mm || οὐδὲ om. Me Ml || **13** τι ὤνησα Le Lh M || **14** χεῖρον Mm || σοι om. Mj.

Digitized by Google

Ὁ μῦθος δηλοῖ ὅτι οὐ δεῖ ταῖς κακαῖς πράξεσιν ἐγχρονίζειν. Ἔστι γὰρ ὅτε καὶ μὴ θέλοντι τῷ ἀνθρώπῳ τὸ ἔθος ἐπιτίθεται.

16 Ὁ μῦθος ὅτι Lh Mm Ὅτι Md Mi || **17** Ἔστι γὰρ ὅτι Lf.

89

Γυνὴ καὶ θεράπαιναι.

Γυνὴ χήρα φίλεργος θεραπαινίδας ἔχουσα, ταύτας εἰώθει νυκτὸς ἐπὶ τὰ ἔργα ἐγείρειν πρὸς ἀλεκτροφωνίαν. Αἱ δὲ συνεχῶς καταπονούμεναι ἔγνωσαν δεῖν τὸν ἐπὶ τῆς οἰκίας ἀλέκτορα ἀποπνῖξαι· ἐκεῖνον γὰρ ᾤοντο τῶν κακῶν αἴτιον εἶναι νύκτωρ ἐγείροντα τὴν δέσποιναν. Συνέβη δὲ αὐταῖς πραξάσαις τοῦτο χαλεπωτέροις τοῖς δεινοῖς περιπεσεῖν· ἡ γὰρ δέσποινα ἀγνοοῦσα τὴν τῶν ἀλεκτρυόνων ὥραν νυχιέστερον ἐπὶ τὸ ἔργον ἤγειρεν.

Οὕτω πολλοῖς ἀνθρώποις τὰ ἴδια βουλεύματα κακῶν αἴτια γίνεται.

Codd. Pa 55 Pb 55 Pc 26 Pf 27 Pg 32 Ph 27 Ca 44 Ma 39 Mb 28.

2 εἴωθε Ma || νυκτὸς om. Pg Mb || διεγείρειν Ca || πρὸ ἀλεκτρυοφωνίας Pb || ἀλεκτοροφωνίαν Pf Ph Ca || **3** ἔγνωσαν δὴ Ph || **4** πνῖξαι Pf Ph || γὰρ ἔλεγον εἶναι αἴτιον Ma || τῶν om. Ph || **5** αἰτίαν Ph || εἶναι om. Pa || ἐγείραντα Pg || δεσποίνην Ma || **6** πραξάσαις τοῦτο Pa τοῦτο πραξάσαις Pc Pf Ph Ma αὐτὸ τοῦτο πραξάσαις (-σας Mb) Pg Mb || τοῦτο om. Pb || **7** τὰς τῶν ἀλεκτρυόνων φωνὰς Pa τὴν τ- ἀ- φωνὴν Pb || **8** νυκτερινὰς ταύτας ἔγειρε Pb || ἐννυχέστερον Pc Ph Mb ἐννυχιέστερον Pf νυχιαίτερον Pg Mb νυχυώτερον Ma || ἐπὶ τὸ ἔργον Pa om. ceteri || αὐτὰς (ταύτας Ma) ἐξήγειρεν (ἐξεγείρειν Ph) Pc Pf Pg Ph Ma Mb || ἐγείρειν Pa || Inde a δέσποιναν usque ad finem Ca fert: Τούτου γοῦν γενομένου, ἡ κυρία αὐτῶν νυκτιώτερον ἤγουν ταχυνώτερον αὐτὰς ἤγειρεν, ἀγνοοῦσα τὴν τῶν ἀλεκτρυόνων ὥραν || **9** Οὕτω πολλοὶ τῶν ἀνθρώπων ἐκ τῶν ἰδίων βουλευμάτων ἀντὶ κέρδους (ἀντὶ κέρδους om. Ph) κόπους μᾶλλον ἑαυτοῖς ἐπιφέρουσιν Pf Ph || **11** γίνονται Pg Ca.

Digitized by Google

Aliter.

Γυνὴ χήρα φίλεργος θεραπαινίδας ἔχουσα, ταύτας εἰώθει νυκτὸς ἐγείρειν ἐπὶ τὰ ἔργα πρὸς τὰς τῶν ἀλεκτρυόνων ᾠδάς. Αἱ δὲ συνεχῶς τῷ πόνῳ ταλαιπωρούμεναι ἔγνωσαν δεῖν τὸν ἐπὶ τῆς οἰκίας ἀποκτεῖναι ἀλεκτρυόνα, ὡς ἐκείνου νύκτωρ ἐξανιστάντος τὴν δέσποιναν. Συνέβη δ' αὐταῖς τοῦτο διαπραξαμέναις χαλεπωτέροις περιπεσεῖν τοῖς δεινοῖς. Ἡ γὰρ δεσπότις, ἀγνοοῦσα τὴν τῶν ἀλεκτρυόνων ὥραν, ἐννυχώτερον ταύτας ἀνίστη.

Ὁ μῦθος δηλοῖ ὅτι πολλοῖς ἀνθρώποις τὰ βουλεύματα κακῶν αἴτια γίνεται.

Codd. La 83 Lb 32 Lc 32 Le 32 Lf 83 Lg 32 Md 136 Me 39 Mf 34 Mg 41 Mi 110 Mj 37 Ml 44 Mm 50 Ce 37 Cf 41.

1 ἔχων Cf || **2** εἴωθε Mg εἰώθη Cf || ἐπὶ τὰ ἔργα om. Le Me Mf Mj || τῶν om. Lc Lg Md Mi Mm Ce Cf || **4** δῆ pro δεῖν Cf || τὸν ἐπὶ τῆς οἰκίας δεῖν Lc Lg || ἐπὶ om. Ce Cf || ἀλέκτορα Ce || ὡς ἐξ ἐκείνου Lc Md Mi Mm || **5** ἐξαναστάντος Lc Md Mi Mm Ce Cf || καὶ τὴν δέσποιναν ἐξεγείροντος Ce || **6** διαπραξαμένας Ce -μεναι Cf || πεσεῖν Lc || **7** δέσποινα Lc Lg Md Mi Mm δεσπότης Cf || **8** ᾠδὴν pro ὥραν Cf || ἐνήσει Lb ἀρίστη Lc ἀνέστη Mi ἀνίστα Ce ἀνίστει Cf || **9** Οὕτω πολλοῖς Lg Md Mi Mm || οὕτω πολλοῖς Le Me Mf Mj Cf οὕτω πολλάκις τὰ β- Lb || **10** καλῶν Me || αἰτίαι (-αν Cf) γίνονται Ce Cf.

90

Γυνὴ καὶ ὄρνις.

Γυνὴ χήρα ὄρνιν ἔχουσα καθ' ἑκάστην ἡμέραν ᾠοντίκτουσαν ὑπέλαβεν ὅτι, ἐὰν πλείονα αὐτῇ τροφὴν παραβάλῃ, καὶ δὶς τῆς ἡμέρας τέξεται. Καὶ δὴ τοῦτο αὐτῆς ποιησάσης, συνέβη τὴν ὄρνιν πίονα γενομένην μηκέτι μηδὲ ἅπαξ τεκεῖν.

Codd. Pa 58 Pb 58 Pc 28 Pd 31 Pg 35 Ma 40 Mb 30.

1 ἡμέραν om. Mb || ᾠὰ Pa || **2** τίκτουσαν χρυσίον Pc || ὅτι om. Ma || πλείω Pd || πλείονας αὐτῇ τροφὰς Pa || τροφὴν αὐτῇ Pb || αὐτῇ om. Pg Mb || παραβάλλῃ Mb προσαγάγει Pd εἰσαγάγει Ma || **3** καὶ ante δὶς om. Pd || διὰ pro δὶς Pc || **4** ποιούσης Pa Pc Pg Mb || εἰς τὴν ὄρνιν Pa || τὸν Pd || τὴν ὄρνιν om. Pc || **5** τὸ ἅπαξ Pd Ma || τίκτειν Pb Pd.

Digitized by Google

Ὁ λόγος δηλοῖ ὅτι τινὲς τῶν ἀνθρώπων διὰ πλεονεξίαν περιττοτέρων ἐπιθυμοῦντες καὶ τὰ παρόντα ἀπολλῦσιν.

6 Ὅτι Pd || τινες Pd οἱ πλείονες (-να Pb) ceteri || 7 περιττοτέρων Pg -ρον Pa -ραν Pb Pd Mb πλειόνων Pc || ἀπολλῦσιν Pa Pg Mb -λοῦσι Pb Pd -λύουσι Pc. In Ma epi. truncum fabulae sequenti annexum est : μοῦντες καὶ τὰ παρόντα ἀπολοῦς.

Aliter.

Γυνὴ χήρα ὄρνιν εἶχε καθ' ἑκάστην ἡμέραν ᾠὸν τίκτουσαν. Ὑπέλαβε δὲ ἡ γυνὴ ὅτι, ἐὰν πλείονας κριθὰς δώσει τῇ ὄρνιθι, τέξεται δὶς τῆς ἡμέρας. Ἡ δὲ τοῦτο ποιήσασα, καὶ λιπαρᾶς τῆς ὄρνιθος γενομένης, οὐδὲ τὸ ἅπαξ ἔτικτεν. Ὁ μῦθος δηλοῖ ὅτι πολλοὶ τῶν ἀνθρώπων διὰ πλεονεξίαν περισσοτέρων ἐπιθυμοῦντες καὶ τὰ προσόντα ἀπώλεσαν.

Codd. Ca 47 Cb 36 Ce 35 Cf 39 Ch 43 Mh 36.

1 ὄρνιθα Mh || εἶχε Ca ἔσχε ceteri || τίκτουσα Cb Ce Cf || 2 πλῆθους κριθὰς Mh πλέον κριθῆς Ce Cf || χρυθοῦς δώσοι τὴν ὄρνιν Cb || δώσῃ τὴν ὄρνιν Ce || δώσω Cf || αὐτῇ Mh || 4 καὶ πίονος τῆς ὄρνιθος καὶ λιπαρᾶς Ca || καὶ om. Mh || 5 Ὅτι Cb || πολλοὶ Ca transposuit in fine post ἀπώλεσαν || πλεονεξίας περισσοτέρας Ce || 6 μειζόνων pro περισσοτέρων Ca περισσότερον Cb || ἀπόλλωσι Cb ἀποβάλλονται Ce ἀπολοῦσιν Cf ἀπόλλουσι Ch.

Aliter.

Γυνή τις χήρα ὄρνιν εἶχε καθ' ἑκάστην ἡμέραν ᾠὸν αὐτῇ τίκτουσαν. Νομίσασα δὲ ὡς, εἰ πλείους τῇ ὄρνιθι κριθὰς παραβάλλοι, δὶς τέξεται τῆς ἡμέρας, τοῦτο πεποίηκεν. Ἡ δ' ὄρνις πιμελὴς γενομένη οὐδ' ἅπαξ τῆς ἡμέρας τεκεῖν ἠδύνατο. Ὁ μῦθος δηλοῖ ὅτι οἱ διὰ πλεονεξίαν τῶν πλειόνων ἐπιθυμοῦντες καὶ τὰ παρόντα ἀποβάλλουσι.

Codd. La 24 Lb 28 Lc 12 Ld 15 Le 28 Lf 24 Lg 12 Md 41 Me 35 Mf 32 Mi 76 Mj 33 Mk 38 Ml 37 Mm 46 Mn 15.

1 χήρα τις Lc Lf Me Mf Mj Ml Mm || 2 τίκτουσαν αὐτῇ Mk || νομίσα Lc || πλείους κριθὰς τῇ ὄρνιθι Mk || 3 παραβάλοι Me Mm καταβάλλοι Ld καταβάλοι Md Mi Mk Mn || τοῦτο δὲ Ld || 4 ἐκ τούτου ἐν πιμελῇ Mk || 6 Ὁ μῦθος ὅτι Mi || ὅτι πολλάκις οἱ τοῦ πλείονος ἐφιέμενοι Mk.

Digitized by Google

91

Γυνὴ μάγος.

Γυνὴ μάγος ἐπῳδὰς καὶ θείων καταθέσεις μηνιμάτων ἐπαγγελλομένη διετέλει πολλὰ τελοῦσα καὶ ἐκ τούτων οὐ μικρὰ βιοποριστοῦσα. Ἐπὶ τούτοις ἐγγραφόμενοί τινες αὐτὴν ὡς καινοτομοῦσαν περὶ τὰ θεῖα, εἰς δίκην ἀπήγαγον καὶ κατηγορήσαντες κατεδίκασαν αὐτὴν ἐπὶ θανάτῳ. Θεασάμενος δέ τις αὐτὴν ἀπαγομένην ἐκ τῶν δικαστηρίων ἔφη· « Ὦ αὕτη, ἡ τὰς δαιμόνων ὀργὰς ἀποτρέπειν ἐπαγγελλομένη, πῶς οὐδὲ ἀνθρώπους πεῖσαι ἠδυνήθης ; »

Τούτῳ τῷ λόγῳ χρήσαιτο ἄν τις πρὸς γυναῖκα πλάνον, ἥτις τὰ μείζονα κατεπαγγελλομένη τοῖς μετρίοις ἀδύνατος ἐλέγχεται.

Codd. Pa 56 (bis exstat in Pa, posterior autem non habet epim.) Pb 56 Pc 27 Pf 28 Pg 33 Ph 28 Me 40 Mf 35 Ca 45.

1 ἐπῳδὰς θείων μηνιμάτων Pb || ἐπῳδὰς καὶ καταθέσεις θείων μηνιμάτων ἀποτροπιασμοὺς Me Mf || καταθέσεις (καθέσεις Pg) θείων Pc Pf Pg Ph Ca || μηνυμάτων Pa Ca || **2** πολλὰ διετέλει ἐκ τούτων οὐ μικρὰ βιοπορουμένη Ph || πολλὰ ποιοῦσα Pb Me Mf || κἀκ τούτου Pb ἐκ τούτων Ca || **3** βιοπορισθεῖσα Pb -στεῖσα Pg βιοπορουμένη Pf Me Mf βίῳ πορίζουσα Ca || Ἐπὶ τοῦτο Pb || γραψάμενοι Pb Pc Ph Me Mf Ca || γὰρ ἀψάμενοί τινες αὐτῆς Pg || **4** καινοτομήσαντες Pb κενοτομοῦσαν Ca || περὶ nos ἐπὶ Pa Pb Pc Pg Ca om. ceteri || δίκας Pa || ὑπήγαγον Pb Pg Ph Me Mf Ca ἐπήγαγον Pc || **5** καὶ post κατηγορήσαντες transtulit Pb || κατηγορήσαντες om. Pf Ph Me Mf || αὐτὰς Pa || θανάτῳ sine ἐπὶ Pg Ca || **6** αὐτὰς ἀπαγομένας Pa || ἀπαγομένην om. Pb || ἐκ τῶν δικαστηρίων om. Pf Ph Me Mf || παραγενομένην ἐν τῷ δικαστηρίῳ Pc || **7** ἔφη πρὸς αὐτήν Pf Ph Me Mf ἔφη αὐτῇ ceteri || ἔφη· Ὦ αὕτη, ἡ nos || οὐ τὰς Pa Pc Pg Ca ὅτε Pf Ph Me Mf || πῶς δαιμόνων Pb || τῶν δαιμόνων Ca || τρέπειν Pa Pb Pg ἀποτρέπειν ceteri || ἐπαγγελλομένη Me Mf ἐπηγγέλλου ceteri || **8** πῶς νῦν οὐδὲ Pf Ph Me πῶς δὲ νῦν Mf || ἀνθρώποις Ca || ἀνθρώπων βουλὴν μεταπεῖσαι ἠδυνήθης; Me Mf || ἠδυνήθη Pb || **9** ἄν om. Pc || **10** ἀδυνάτως Pa || **11** ἀπελέγχεται Pb || **9-11** Πρὸς πλάνους τοὺς τὰ μέγιστα κατεπαγγελλομένους (ἐπαγ- Me), μετρίοις δὲ καὶ ἀδυνάτοις ἐλεγχομένους ὁ λόγος εὔκαιρος (εὔ- om. Ph) Pf Ph Me || Ὁ λόγος οὗτος (οὗτος om. Pg) πρὸς ἀπατεῶνας καὶ μεγάλα (μέγα Pg) ὑποσχομένους· εἶτα οὗτοι ἐπὶ (ἐν Ca) μικροῖς ἐλέγχονται Pg Ca || Ὁ μῦθος δηλοῖ ὅτι πολλοὶ μεγάλα ἐπαγγέλλονται μηδὲ μικρὰ ποιῆσαι δυνάμενοι Mf.

Digitized by Google

Aliter.

Γυνὴ μάγος καὶ θείων μηνιμάτων ἀποτροπιασμοὺς ἐπαγγελλομένη πολλὰ διετέλει ποιοῦσα καὶ κέρδος ἐντεῦθεν ἔχουσα. Γραψάμενοι δέ τινες αὐτὴν ἀσεβείας εἷλον καὶ καταδικασθεῖσαν ἀπῆγον εἰς θάνατον. Ἰδὼν δέ τις ἀπαγομένην αὐτήν, ἔφη· « Ἡ τὰς τῶν θεῶν ὀργὰς ἀποτρέπειν ἐπαγγελλομένη, πῶς οὐδὲ ἀνθρώπων βουλὴν μεταπεῖσαι ἠδυνήθης; »

Ὁ μῦθος δηλοῖ ὅτι πολλοὶ μεγάλα ἐπαγγέλλονται, μηδὲ μικρὰ ποιῆσαι δυνάμενοι.

Codd. La 84 Lb 33 Le 33 Lf 84 Md 137 Mg 42 Mi 111 Mj 38 Ml 41 Mm 51 Ce 36 Cf 40.

1 μηνυμάτων Md Mm μυημάτων Cf || ἐπαγγελομένη Ce || **2** διετέλει περιοῦσα Le || ἐντεῦθεν πορίζουσα Ce || **3** τινες om. Ml || τινες κατηγορίαν ἀσεβείας καὶ καταδικασθεῖσα ἀπίει πρὸς θάνατον Ce || ῆλον Cf || **4** ἐπήγων Cf || Ἰδών τις (τες Mi) δὲ Md Mi Mm || ἀπαγομένην om. Le || **5** ἐπιτρέπειν Ce Cf || **6** ἐπαγγελομένη Mg Mj Cf ἀπαγγελομένη Ce || μεταποιῆσαι Mj Ce Cf || **7** ἠδυνήθη Mj Cf || **8** Ὁ μῦθος ὅτι Mm Ὅτι πολλοὶ Md Mi || Ὅτι μεγάλα πολλοὶ ἐπαγγέλλονται ... Mg.

92

Δάμαλις καὶ βοῦς.

Δάμαλις βοῦν ὁρῶσα ἐργαζόμενον ἐταλάνιζεν αὐτὸν ἐπὶ τῷ κόπῳ. Ἐπειδὴ δὲ ἑορτὴ κατέλαβε, τὸν βοῦν ἀπολύσαντες, τὴν δάμαλιν ἐκράτησαν τοῦ σφάξαι. Ἰδὼν δὲ ὁ βοῦς ἐμει-

Codd. Ca 61 Cb 42 Cd 38 Ce 44 Cf 48 Ch 49 Ma 163 Md 47 Mh 42 Mi 82 Mk 45 Ml 53 Mm 59 Haec fabula primitus uersibus scripta esse uidetur.

1 ἐργαζομένην Cb || ἐταλάνιζεν ἐργαζόμενον Ma Md Mi Mh Mm || ἐταλάνισεν Cb Ce Cf Ch Mh Ml || αὐτὸν om. Cb Ce Cf Ch Md Mh Mi Ml Mm τοῦτον Mk || ἐπὶ τοῦ κόπου Cb Cd Cf Ch τοῦ κόπου Ce τοῦ κόπου χάριν Mk || **2** Ἐπεὶ δὲ ὁ γεωργὸς τὸν βοῦν ἀπολύσας τοῦ ζυγοῦ, τὴν δάμαλιν ἐκράτησε σφάξαι Mk || Ἑορτῆς δὲ καταλαβούσης Ml || δὲ om. Cb || ἀπολύσας Mh Ml || ἀπολύσαντα, τὴν δὲ Cf || **3** ἐκράτησεν Ma Mh Ml || ἐπίασαν σφάξαι Cd || ὁ βοῦς αὐτὴν Ml.

Digitized by Google

δίασε καὶ πρὸς αὐτὴν εἶπεν· « Ὦ δάμαλις, διὰ τοῦτο ἤργεις διότι ἔμελλες ἀρτίως τυθῆναι. »

Ὁ μῦθος δηλοῖ ὅτι τὸν ἀργοῦντα κίνδυνος μένει.

4 πρὸς αὐτόν Ce || εἶπε πρὸς αὐτήν Ma Md Mh Mi Mm || πρὸς αὐτήν om. Ml || διά τι τοῦτο Cf || **5** ἠρκέσθης Ce ἤγεις Md εἴργεις Mh ἤλγεις Mk || διὰ τὸ ἀρτίως σφαγῆναι (τιθῆναι Cb τυθηθῆναί σε Ch) Ce Cf Ch Ml || ὡς διὰ τὸ ἀρτίως θῦναί σε Cd διὰ τὸ ὅσον οὔπω μέλλειν σε τυθῆναι Mk ἵνα ἄρτι σφαγῇς (σφαλείς Mh) Ma Md Mh Mi Mm || **6** Ὁ μῦθος ὅτι Md Mi Ὅτι Cb || τῷ ἀργοῦντι Ca Ce Cf Mk Ml || περιμένει Ce μένοι Ma ἐπισυμβαίνει Mk || Παντὶ τῷ ἀργοῦντι κίνδυνος ἄρα περιμένει· ἴσον δ' ἐπὶ ψυχῆς καὶ σώματος τοῦτ' ἔστι Cd.

Aliter.

Δάμαλις ἀγύμναστος βοῦν ἀροτριῶντα ἐταλάνιζε τοῦ κόπου, λέγουσα· « Ὦ πόσα κάμνεις καὶ ταλαιπωρεῖς. » Ὁ βοῦς δὲ ἐσίγα καὶ τὴν αὔλακα ἔτεμνεν. Ἐπεὶ δὲ οἱ ἀγρόται τοῖς θεοῖς ἤθελον θύειν, ὁ μὲν γέρων βοῦς ἀποζευχθεὶς εἰς νομὴν ἀπελύθη· ὁ δὲ μόσχος σχοινίῳ εἵλκετο ἐπὶ τὸ τυθῆναι. Ὁ δὲ βοῦς εἶπεν αὐτῷ· « Εἰς τοῦτο μὴ κάμνων ἐτηρήθης καί σου τὸν τράχηλον μάχαιρα, οὐ ζυγὸς τρίψει. »

Ὅτι τῷ ἐργαζομένῳ καὶ πονοῦντι ἔπαινος πρόσεστι, τῷ δὲ ἀργῷ κίνδυνος καὶ μάστιγες.

Codd. Ba 24 Bb 15 Mg 48.

1 ἀροτριοῦντα Bb || **2** πόσον Bb || **3** Ὁ δὲ βοῦς Mg || οἱ γεωργοὶ Bb || **5** σχοινίῳ om. Bb || **7** καὶ οὐχὶ ζυγός Bb || **9** ἐργαζομένῳ καὶ om. Mg || τῶν ἐργαζομένων καὶ πονούντων Bb || καὶ μάστιγες om. Bb Mg.

Aliter.

Δάμαλις ἔτι ἀγύμναστος βοῦν ἀροτριῶντα διὰ τὸν κόπον ὠνείδιζε λέγουσα· « Ὦ πόσα κάμνεις καὶ ταλαιπωρεῖς. » Ὁ δὲ τοῦ οἰκείου ἔργου ἐχόμενος ἐσιώπα. Ἑορτὴν δὲ τῶν γηπόνων τοῖς θεοῖς ἐκτελούντων ποτέ, ὁ ἀρότης μὲν βοῦς τοῦ καμάτου ἀπολυθεὶς τοῖς χλοηφόροις ἐνετρύφα πεδίοις· ὁ δὲ μόσχος φραγελλωθεὶς τῷ βωμῷ τυθῆναι ἐσύρετο. Τότε οὖν ὁ βοῦς εἰρήκει αὐτῷ· « Οἶμαι ὅτι εἰς τοῦτο διετηρήθης ἀεργός, ἵνα ἐς ὕστερον ἀντὶ δουλείας ζυγοῦ τὴν μάχαιραν ὑπηρετήσῃς, τῇ χρονίᾳ ἀνέσει καλῶς ἐκτραφείς. »

Cod. Bc 19.

6 φραγγελωθεὶς cod. || **9** ὑπηρετήσεις cod.

Digitized by Google

Ὅτι τῷ ἐνεργοῦντι καὶ ἐργαζομένῳ ἔπαινοι, τῷ ἀεργῷ δὲ κίνδυνοι καὶ μάστιγες.

Aliter.

Ἀγύμναστος δάμαλις ἀροτριῶντα βοῦν ἐταλάνιζε, λέγουσα· « Ὦ ταλαίπωρε, πότε τῶν ἀπεράντων κόπων καὶ τῆς ταλαιπωρίας ταύτης ἐλευθερωθήσῃ; » Ὁ δὲ βοῦς ἐσίγα καὶ τὴν αὔλακα ἔτεμνε. Ἐπεὶ δὲ ὁ δεσπότης αὐτῶν θύειν τοῖς θεοῖς ἐβεβούλευτο, τὸν μὲν ἐργάτην βοῦν ἀπέλυσεν εἰς νομάς, τὴν δὲ δάμαλιν σχοινίοις δήσας πρὸς τὸν βωμὸν εἷλκεν ἄκουσαν. Ἐπιστραφεὶς δὲ ὁ βοῦς καὶ γελάσας εἶπεν· « Ὦ τάλαινα, ταῦτά σοι ἡ ἄνεσις προεξένησεν, κἀμοῦ μὲν ὁ ζυγός, σοῦ δὲ ἡ μάχαιρα τρίψει τὸν τράχηλον.

Cod. Bd 8.

7 γελάσα cod.

Aliter.

Δάμαλίς τις βοῦν ταλανίζουσα ἔφη·
« Ὦ πόσα κάμνεις καὶ ταλαιπωρεῖς λίαν. »
Ὁ δὲ βοῦς τοῦτο ἀκούων ἐσιώπα.
Ἐπεὶ δ' ἑορτὴ κατείληφεν, αὐτίκα
ἐλθόντες αὖθις ἀπέλυσαν τοὺς βόας·
ἡ δὲ δάμαλις κρατηθεῖσ' ἐδεσμεύθη
καὶ τῷ σχοινίῳ τοῖς κέρασι πλακέντι
εὐθὺς εἵλκετο αὐτίκα τοῦ τυθῆναι.
Οἱ βοῦς δ' ὡς εἶδον ταύτην ἀφελκομένην
ἐμειδίασαν καὶ πρὸς αὐτὴν ἐβόων·
« Διὰ τοῦτο οὐκ ἤργεις ἀδεὴς οὖσα·
ἀντὶ γὰρ ζυγοῦ τὸν τράχηλόν σου τρίψει
μάχαιρα, φημί, καὶ καταθύσει πάλιν. »

Ὅτι τῷ ἐργαζομένῳ ἔπαινος ἔσται, τῷ δὲ ἀργοῦντι κίνδυνος καὶ μάστιξ.

Cod. Mb 39 Huius fabulae uersus restitui.

6 κρατηθεῖσα δεσμείταν cod. || **8** τεθεῖναι cod. || **11** et **12** Διὰ τοῦτο συνήργεις ἀδεὴ σοῦ σα· ἀντὶ γὰρ ζυγύαν τὸν τράχηλον τρίψει.

Digitized by Google

93

Δειλὸς κυνηγὸς καὶ δρυτόμος.

Λέοντός τις κυνηγὸς ἴχνη ἐπεζήτει· δρυτόμον δὲ ἐρωτήσας εἰ εἶδεν ἴχνη λέοντος καὶ ποῦ κοιτάζει, ἔφη· « Καὶ αὐτὸν τὸν λέοντά σοι ἤδη δείξω. » Ὁ δὲ ὠχριάσας ἐκ τοῦ φόβου καὶ τοὺς ὀδόντας συγκρούων εἶπεν· « Ἴχνη μόνα ζητῶ, οὐχὶ αὐτὸν τὸν λέοντα. »

[Ὅτι] τοὺς θρασεῖς καὶ δειλοὺς ὁ μῦθος ἐλέγχει, τοὺς τολμηροὺς ἐν τοῖς λόγοις καὶ οὐκ ἐν τοῖς ἔργοις.

Codd. Ba 79 Bb 49 (cf. Babrium 12).

1 Λέοντός τινος ἴχνη ἐζήτει κυνηγός Bb || **2** οἶδεν Ba || **3** ἤδη σοι Bb || **6** λόγος Bb || **7** λόγοις μόνοις Bb.

94

Δέλφαξ καὶ πρόβατα.

Ἔν τινι ποίμνῃ προβάτων δέλφαξ εἰσελθὼν ἐνέμετο. Καὶ δή ποτε τοῦ ποιμένος συλλαμβάνοντος αὐτόν, ἐκεκράγει τε καὶ ἀντέτεινε. Τῶν δὲ προβάτων αἰτιωμένων αὐτὸν ἐπὶ τῷ βοᾶν καὶ λεγόντων· « Ἡμᾶς μὲν συνεχῶς συλλαμβάνει καὶ οὐ κράζομεν, » ἔφη πρὸς ταῦτα· « Ἀλλ' οὐχ ὁμοία γε τῇ ὑμετέρᾳ ἡ ἐμὴ σύλληψις· ὑμᾶς γὰρ ἢ διὰ τὰ ἔρια ἀγρεύει ἢ διὰ τὸ γάλα, ἐμὲ δὲ διὰ τὰ κρέα. »

Codd. Pa 82 Pb 86 Pc 44 Pe 50 Ma 65 Mb 50 Ca 72.

1 προβάτων om. Pb || **2** καταλαβόντος Pe συλλαβόντος Ma || **3** τε om. Pe Ma || ἀντέτεινε. Καὶ ὁ ποιμὴν ἀφεὶς τοῦτον, τῶν δὲ προβάτων Pe || αὐτὸν αἰτιωμένων Pb Pc Pe || αὐτὸν om. Ca || ἐπὶ τῷ βοᾶν om. Mb || **4** τὸ βοᾶν Pa Pe || λεγόντων αὐτῷ Pe || Ἡμᾶς μὲν Pb Ἡμᾶς γὰρ Pa Pc Ca || Ἆρα ἡμᾶς οὐ σινεχῶς λαμβάνει; ἀλλ' οὐ κραυγάζομεν (κράζομεν Ma) Pe Ma || οὐ συνεχῶς Pa || λαμβάνει Pc || **5** Ὁ δὲ ἔφη πρὸς αὐτά Pe || αὐτά Pa Pe ταῦτα ceteri || γε om. Pb Pc Pe || οὐχ ὁμοία μο deinde spatium uacuum τῇ ὑμετέρᾳ κέκτηται συλλήψει omisso ἡ ἐμὴ σύλληψις Pc || **6** τῇ ἡμετέρᾳ Pa Ma Mb || τῇ ὑμετέρᾳ συλλήψει Pe || ἡ ἡμῶν σύλληψις Ma || διὰ γάλα καὶ δι' ἔρια ἀγρεύει Pc ἢ διὰ τὸ γάλα ἢ διὰ τὰ ἔρια ἀγρεύει Ma διὰ τὰ ἔρια ἢ διὰ τὸ γάλα ἢ διὰ τοὺς ἄρνας ἀγρεύει Mb || **7** διὰ τοὺς ἄρνας pro διὰ τὸ γάλα Pa Pc Ca || δὲ om. Pe || τὰ κρέα Pa Mb τὰ κρέη Ma τὸ κρέας ceteri.

Digitized by Google

Ὁ λόγος δηλοῖ ὅτι εἰκότως ἐκεῖνοι ἀνοιμώζουσιν οἷς ὁ κίνδυνος οὐ περὶ χρημάτων ἐστίν, ἀλλα περὶ σωτηρίας.

8 Ὅλως δηλοῖ Ca || ὅτι om. Ma || ἂν ἐκεῖνοι οἰμώζουσιν Ma qui codex habet epim. in fine fabulae sequentis et desinit in χρημάτων || 9 ἐστιν om. Pa Pe || περὶ αὐτῆς σωτηρίας Pe.

Aliter.

Δέλφαξ καὶ ἀλώπηξ.

Ὄνῳ τις ἐπιθεὶς αἶγα καὶ πρόβατον καὶ δέλφακα ἤλαυνεν εἰς ἄστυ. Τοῦ δὲ δέλφακος παρ' ὅλην τὴν ὁδὸν κεκραγότος, ἀλώπηξ ἀκούσασα ἐπυνθάνετο αὐτοῦ τὴν αἰτίαν δι' ἥν, τῶν λοιπῶν μεθ' ἡσυχίας φερομένων, αὐτὸς μόνος βοᾷ. Ὁ δὲ ὑποτυχὼν εἶπεν· « Ἀλλ' ἔγωγε οὐ μάτην ὀδύρομαι· εὖ γὰρ οἶδα ὅτι τοῦ μὲν προβάτου ἔρια τε καὶ ἄρνας παρεχομένου ὁ δεσπότης ἀφέξεται· ὁμοίως δὲ καὶ τῆς αἰγὸς διὰ τοὺς τυροὺς καὶ τοὺς ἐρίφους· ἐμοὶ δὲ οὐκ ἔχων εἰς ἄλλο τι χρήσασθαι, πάντως θῦσαί με θέλει καὶ φαγεῖν. »

Οὕτω καὶ τῶν ἀνθρώπων οὐ μεμπτέοι εἰσὶν ὅσοι τὰς μελλούσας προορώμενοι συμφορὰς ἀποκλαίονται ἑαυτούς.

Codd. Pa 177 Pb 174 Pf 97 Mb 149 Me 124 Mf 104 Mj 114 Ca 131.

2 ἕως ἄστυ Pf Me Mf || δέλφακος δὲ Pf Me Mf Mj || παραλάττων pro παρ' ὅλην Pa || 3 παρ' αὐτοῦ Mb || τὴν αἰτίαν παρ' αὐτοῦ Ca || αὐτοῦ om. Pf Me Mf Mj || 4 μεθ' ἡσυχίαν Pb || ἡσυχαζόντων omisso φερομένων Mb Ca || μόνος αὐτὸς libri excepto Pa || 5 Ὁ δὲ om. Me Mf || Ὑποτυχὼν δὲ (δὲ om. Me Mf) Pf Me Mf Mj || ὑποτυχὼν om. Mb Ca || ἔφη Pb Mb Ca || 6 οἶδα γὰρ omisso εὖ Pf Me Mf Mj || 7 γάλα pro ἄρνας Pf Me Mf Mj || ἀπέχεται Pf Me Mf Mj || ἔριά τε καὶ γάλα ὁ δεσπότης λαμβάνων ἀνθέξεται Mb ἔριά τε καὶ γάλα τοῦ δεσπότου λαμβάνοντος ἀνθέξεται Ca || 8 ἐμὲ δὲ Pa Pb Mb || ἐμοῦ δὲ οὐκ ἔχοντος ἄλλο τι χρηστόν Ca || 9 ἄλλο (-λῳ Pf) τι χρήσεται (χρήσεσθαι Mj) Pf Me Mf Mj εἰς ὅ τι ἄλλο χρήσοιτο Mb || πάντως με θύσει (θύσειν βούλεται Ca) ceteris omissis Pb Mb Pf Me Mf Mj || 11 οἱ μεμπτέοι Pa || οὐ om. Mb Ca || εἰσὶν om. Pa || 12 ἀποκναίονται Pb ἀποκλειόνται Mb || ἑαυτούς om. Pb Mb Ca || 11-12 Ὁ μῦθος δηλοῖ ὅτι (hoc initium in solo Mj) οὐ μεμπτέοι εἰσὶν οἱ ἑαυτοὺς ἀποκλαίοντες προορώμενοι τὰς μελλούσας αὐτοῖς ἐπέρχεσθαι συμφοράς Pf Me Mf Mj.

Digitized by Google

95

Δελφῖνες καὶ φάλαιναι καὶ κωβιός.

Δελφῖνες καὶ φάλαιναι πρὸς ἀλλήλους ἐμάχοντο. Ἐπὶ πολὺ δὲ τῆς διαφορᾶς σφοδρυνομένης, κωβιὸς ἀνέδυ (ἐστὶ δὲ οὗτος μικρὸς ἰχθύς) καὶ ἐπειρᾶτο αὐτοὺς διαλύειν. Εἷς δέ τις τῶν δελφίνων ὑποτυχὼν ἔφη πρὸς αὐτόν· « Ἀλλ' ἡμῖν ἀνεκτότερόν ἐστι μαχομένους ὑπ' ἀλλήλων διαφθαρῆναι ἢ σοῦ διαλλακτοῦ τυχεῖν. »

Οὕτως ἔνιοι τῶν ἀνθρώπων οὐδενὸς ἄξιοι ὄντες, ὅταν ταραχῆς λάβωνται, δοκοῦσί τινες εἶναι.

Codd. Pa 60 Pb 72 Pc 29 Pg 39 Ca 53.

1 φάλεναι Pa || **2** τῆς μάχης Ca || σφοδρυνουμένης Pa σφοδρᾶς γενομένης Mb κορυφουμένης Ca || ἀνέβη Pb || μικρὸς δὲ οὗτος ἰχθύς omisso ἐστὶ Pa || ἐστὶ .. ἰχθύς om. Pb || **3** δὲ om. Pg || σμικρὸς Pg || ἐπειρᾶτο δὲ Pa Pc || καὶ αὐτὸς ἐπειρᾶτο διαλύειν Pb || αὐτὸς Pa || διαλλάττειν Ca || **4** ὑπολαβὼν Pg Mb Ca || **5** ἐστι om. Pa ἔσται Pg Mb || μαχομένοις Pg Mb Ca || **7** οὐδὲ ἑνός Pa || ὅταν τινὸς ἀρχῆς λάβονται, τινὲς δοκοῦσι Pg || εἶναι om. Pa || Post εἶναι Pb addit : καὶ ταῦτα μηδενὸς ἄξιοι ὄντες.

Aliter.

Δελφῖνες καὶ φάλαιναι καὶ καρίς.

Δελφῖνες καὶ φάλαιναι πρὸς ἀλλήλους ἐμάχοντο. Ἐπὶ πολὺ δὲ τῆς στάσεως αὐτῶν σφοδρυνομένης, καρὶς ἀναδῦσα ἐπειρᾶτο αὐτοὺς διαλύειν. Εἷς δέ τις τῶν δελφίνων ὑποτυχὼν ἔφη πρὸς αὐτήν· « Ἀλλ' ἡμῖν αἱρετώτερόν ἐστιν ὑπ' ἀλλήλων διαφθαρῆναι ἢ σοῦ διαλλακτοῦ τυχεῖν. »

Οὕτως ἔνιοι τῶν ἀνθρώπων οὐδενὸς ἄξιοι ὄντες, ἂν ταραχῆς λάβωνται, δοκοῦσί τινες εἶναι.

Codd. Pf 29 Ph 30 Mj 47.

4 πρὸς αὐτήν om. Ph || ἡμῖν om. Mj.

Digitized by Google

96

Δημάδης ὁ ῥήτωρ.

Δημάδης ὁ ῥήτωρ δημηγορῶν ποτε ἐν Ἀθήναις, ἐκείνων μὴ πάνυ τι αὐτῷ προσεχόντων, ἐδεήθη αὐτῶν ὅπως ἐπιτρέψωσιν αὐτῷ Αἰσώπειον μῦθον εἰπεῖν. Τῶν δὲ συγχωρησάντων αὐτῷ, ἀρξάμενος ἔλεγε· « Δήμητρα καὶ χελιδὼν καὶ ἔγχελυς τὴν αὐτὴν ὁδὸν ἐβάδιζον· γενομένων δὲ αὐτῶν κατά τινα ποταμόν, ἡ μὲν χελιδὼν ἔπτη, ἡ δὲ ἔγχελυς κατέδυ· » καὶ ταῦτα εἰπὼν ἐσιώπησεν. Ἐρομένων δὲ αὐτῶν· « Ἡ οὖν Δήμητρα τί ἔπαθεν; » ἔφη· « Κεχόλωται ὑμῖν, οἵτινες τὰ τῆς πόλεως πράγματα ἐάσαντες Αἰσωπείων μύθων ἀντέχεσθε. »

Οὕτω καὶ τῶν ἀνθρώπων ἀλόγιστοί εἰσιν ὅσοι τῶν μὲν ἀναγκαίων ὀλιγωροῦσι, τὰ δὲ πρὸς ἡδονὴν μᾶλλον αἱροῦνται.

Codd. Pa 61 Pb 63 Pc 30 Pg 40 Ma 44 Ca 54.

1 Δημώδης Ma || ἐκείνων δὲ μὴ πάνυ αὐτῶν προσεχόντων (δὲ αὐτὸν μὴ προσεχόντων Ca), μᾶλλον ἐπέκειτο (-κειντο Ca) Αἰσώπειον μῦθον εἰπεῖν καὶ ἀρξάμενος ἔλεγε Pg Ca || **2** οὐ Pb μὲν Ma || πάντη pro πάνυ τι Pb Ma πάνυ τε Pc || ἐπιτρέψωσιν αὐτὸν Pb || **3** Αἰσώπειον om. Ma || Τῶν δὲ προτρεψαμένων, αὐτὸς Pb Συγχωρησάντων δὲ αὐτῶν αὐτῷ Ma || **4** Δημητρία Pa || **5** ἐγχέλυς hic et infra Pa Ca || ἐβάδιζον ὁδόν Pb || ἐν ὁδῷ ἐβάδιζον, omisso τὴν αὐτὴν Ca || **6** ἀνέπτη Pb || **7** καὶ ταῦτα εἰπὼν ἐσιώπησεν om. Ca || **8** Τί οὖν ἡ Δήμητρα, τί (τί om. Pb) ἔπαθεν Pb Pg Ἡ δὲ Δήμητρα τί πέπονθεν Ma || Δημητρία Pa || τί ἔπαθεν, ἐρωτησάντων αὐτῶν, ἔφη Ca || κεχώλεται ἡμῖν Ma || Αἰσωπείων om. Ma || **9** πόλεως ὑμῶν Ma || Αἰσώπειον μῦθον ἀκούειν ἀνέχεσθε Pc || Αἰσώπειον μῦθον Ca || ἀντέχεσθε Pb ἀνέχεσθε (-σθαι Ma) ceteri || **11** In Ma ep. adhaeret fabulae sequenti || καὶ om. Pg || εἰσιν om. Pa || μὲν τῶν Pb || τῶν μὲν ἄλλων ἀναγκαίων Ca || **12** πρὸς ἡδονὰς Pa.

97

Διογένης καὶ φαλακρός.

Διογένης ὁ κυνικὸς φιλόσοφος λοιδορούμενος ὑπό τινος φαλακροῦ εἶπεν· « Ἐγὼ μὲν οὐ λοιδορῶ· μὴ γένοιτο· ἐπαινῶ δὲ τὰς τρίχας ὅτι κρανίου κακοῦ ἀπηλλάγησαν. »

Cod. Pe 38.

2 φαληκροῦ cod. || **3** κακῶς cod.

Digitized by Google

98

Διογένης ὁδοιπορῶν.

Διογένης ὁ κύων ὁδοιπορῶν, ὡς ἐγένετο κατά τινα ποταμὸν πλημμυροῦντα, εἱστήκει πρὸς τῇ βαλβῖδι ἀμηχανῶν. Εἷς δέ τις τῶν διαβιβάζειν εἰθισμένων θεασάμενος αὐτὸν διαποροῦντα, προσελθὼν καὶ ἀράμενος αὐτόν, σὺν φιλοφροσύνῃ διεπέρασεν αὐτόν. Ὁ δὲ εἱστήκει τὴν αὑτοῦ πενίαν μεμφόμενος, δι' ἣν ἀμείψασθαι τὸν εὐεργέτην οὐ δύναται. Ἔτι δὲ αὐτοῦ ταῦτα διανοουμένου, ἐκεῖνος θεασάμενος ἕτερον ὁδοιπόρον διελθεῖν μὴ δυνάμενον, προσδραμὼν καὶ αὐτὸν διεπέρασε. Καὶ ὁ Διογένης προσελθὼν αὐτῷ εἶπεν· « Ἀλλ' ἔγωγε οὐκέτι σοι χάριν ἔχω ἐπὶ τῷ γεγονότι· ὁρῶ γὰρ ὅτι οὐ κρίσει, ἀλλὰ νόσῳ αὐτὸ ποιεῖς. »

Ὁ μῦθος δηλοῖ ὅτι ⟨οἱ⟩ μετὰ τῶν σπουδαίων καὶ τοὺς ἀνεπιτηδείους εὐεργετοῦντες οὐκ εὐεργεσίας δόξαν, ἀλογιστίας δὲ μᾶλλον ὀφλισκάνουσι.

Codd. Pa 63 Ca 56.

1 ὁ κυνικὸς Ca || **2** πρὸς τῇ βαλβῖδι nos πρὸ τὰς σίλβας Pa om. Ca || **4** αὐτὸν om. Pa || ἐράμενος Pa || αὐτὸν σὺν φιλοφροσύνῃ Halm αὐτοῦ τὴν φιλοφροσύνην Pa Ca || **5** διεπέρασεν αὐτόν. Ὁ δὲ om. Pa || αὐτοῦ codd. || **12** οἱ om. Pa Ca || **13** ἀλογιστίαν Ca.

99

Δρύες καὶ Ζεύς.

Αἱ δρύες κατεμέμφοντο τὸν Δία ὅτι « ἐπεὶ κοπτόμεθα, τί ἡμᾶς μετὰ τῶν λοιπῶν φυτῶν ἐποίησας ; » Ὁ δὲ Ζεὺς εἶπεν· « Ὑμεῖς αὐταὶ αἴτιοι τῆς κοπῆς· εἰ μὴ γὰρ ὑμεῖς τὰ στελίδια ἐγεννᾶτε, οὐκ ἂν πέλεκυς ὑμᾶς ἐξέκοπτεν. »

Ὅτι αἴτιοι κακῶν ἑαυτοῖς τινες ὄντες τὴν μέμψιν ἀφρόνως τῷ θεῷ ἐπιτιθέασιν.

Cod. Ba 5.

4 στειλίδια cod.

Digitized by Google

Aliter.

Αἱ δρύες κατεμέμφοντο τοῦ Διὸς λέγουσαι ὅτι « μάτην παρήχθημεν ἐν τῷ βίῳ· ὑπὲρ πάντα γὰρ τὰ φυτὰ βιαίως τὴν τομὴν ὑφιστάμεθα. » Καὶ ὁ Ζεύς· « Ὑμεῖς αὐταὶ αἴτιοι τῆς τοιαύτης ἑαυταῖς καθεστήκατε συμφορᾶς· εἰ μὴ γὰρ τοὺς στειλειοὺς ἐγεννᾶτε, καὶ πρὸς τεκτονικὴν καὶ γεωργικὴν χρήσιμοι ἦτε, οὐκ ἂν πέλεκυς ὑμᾶς ἐξέκοπτεν. »

Αἴτιοί τινες ἑαυτοῖς τῶν κακῶν καταστάντες τὴν μέμψιν ἀφρόνως τιθέασι τῷ θεῷ.

Cod. Bc 5.

Aliter.

Αἱ δρύες ἐμέμφοντο τῷ Διὶ λέγουσαι· « Τίνος χάριν ἡμᾶς ἐποίησας, ἐπεὶ παρὰ τῶν ἀνθρώπων ἐμέλλομεν κόπτεσθαι; » Ὁ δὲ πρὸς αὐτὰς ἔφη ὅτι « τῆς τομῆς οὐκ ἐγώ, ἀλλ' ὑμεῖς αἴτιοι· ἂν γὰρ ὑμεῖς τοὺς στελέχους οὐκ ἐβλαστάνετε, οὐκ ἂν ὑμᾶς ἐξέκοπτε πέλεκυς. »

Cod. Bd 1.

100

Δρυοτόμοι καὶ δρῦς.

Δρυοτόμοι δρῦν ἔσχιζον· οἱ δὲ ἐξ αὐτῆς σφῆνας ποιήσαντες ἔσχιζον αὐτὴν ⟨εὐκόλως⟩. Ἡ δὲ ἔφη· « Οὐ τοσοῦτον τὸν κόψαντά με πέλεκυν μέμφομαι ὅσον τοὺς ἐξ ἐμοῦ φυέντας σφῆνας. »

Ὅτι δεινότερόν ἐστι λύπη, ὅταν τις ὑπὸ τῶν συγγενῶν πάθῃ τι ἢ παρὰ τῶν ἀλλοτρίων.

Cod. Ma 162.

2 εὐκόλως addidimus ex Ba 28 || **6** πάθῃ τι nos πάθοισι cod.

Aliter.

Δρῦς ὑπὸ δρυοτόμου ἐτέμνετο· μὴ εὐκόλως δὲ ταύτην ἰσχύοντος ἐκτεμεῖν, διὰ σφηνὸς αὐτὴν ἐκ τῶν ἑαυτῆς σχιδάκων διαιρεῖν ἐμηχανᾶτο. Ἡ δέ· « Οὐ τόσον κατὰ τῆς κοπτούσης ⟨ἀξίνης⟩, ἔφη, βαρυθυμῶ ὅσον δὴ καθ' ὑμῶν τῶν ἐξ ἐμοῦ γεννωμένων σφηνῶν. »

Ὅτι ἀπαισιώτερον τὸ ὑπὸ τῶν οἰκείων πάσχειν τι δεινὸν ἢ ὑπὸ ἀλλοτρίων.

Cod. Bc 22.

4 ἀξίνης addidimus || **6** ἀπαισιώτερον nos ἀπαιώτερον cod.

Digitized by Google

Aliter.

Δρυτόμοι καὶ πεύκη.

Δρυτόμοι ἔσχιζόν τινα πεύκην· σφῆνας δὲ ἐξ αὐτῆς πεποιηκότες εὐκόλως ἔσχιζον. Ἡ δὲ εἶπεν· « Οὐ τοσοῦτον τὸν κόψαντα πέλεκυν μέμφομαι ὅσον τοὺς ἐξ ἐμοῦ γεννηθέντας σφῆνας. »

Ὅτι οὐ τοσοῦτόν ἐστι δεινόν, ὅτε τις ὑπὸ ἀλλοτρίων ἀνθρώπων πάθῃ τι τῶν ἀπαισίων ὅσον ὑπὸ τῶν οἰκείων.

Codd. Ba 28 Bb 17 Mg 51.

1 Δρυοτόμοι Mg || **3** κόπτοντα Mg || **6** πάθῃ nos πάθοι codd.

Aliter.

Πεύκη δρυτόμον ἰδοῦσα σφῆνας ἐξ αὐτῆς πεποιημένον καὶ ταύτην σχίζοντα ῥᾳδίως ἔφη· « Οὐ τοσοῦτον τῷ πελέκει μέμφομαι ὅσον τοῖς ἐξ ἐμοῦ γενομένοις σφησί. »

Cod. Bd 11.

3 ταῖς ἐξ ἐμαῖς γενομέναις σφήναις cod.

Aliter.

Πρίσται καὶ πεύκη.

Πρίσται δέ ποτε κατέσχιζον τὴν πεύκην,
σφῆνας ἐξ αὐτῆς ποιούντων τῶν τεκτόνων,
οἷς καὶ ῥᾳδίως κατέσχιζον σανίδας.
Ἡ δὲ ἐθρήνει ὀλολύζουσα οὕτως·
« Οὐ τοσοῦτον νῦν μέμφομαι τὴν ἀξίνην
τὴν κόπτουσάν με ταῖς χερσὶ τῶν ἀνθρώπων
ὡς τοὺς ἐξ ἐμοῦ γεγενημένους σφῆνας. »

Ὅτι πολλοὶ τῶν ἀνθρώπων ἐν συμφοραῖς περιπίπτουσι.

Codd. Cg 37 Ch 112 Ca 174 Cb 92 Cd 106 Mb 197.

1 ρήσται Cg prima littera omissa || **2** σφίνας Ca || αὐτῆς οἱ τέκτονες ποιοῦντες libri excepto Cg || **3** οἷς Cg οἵ ceteri || σανίσιν Cg Cb Ch σανίδοις Cd || **5** οὖν pro νῦν Cb || νῦν λυποῦμαι τὸ τῆς ἀξίνης ἥτις κόπτει Cd || **7** τὰς ... γεγενημένας σφίνας Cg Cb Cd τὰς ... σφῆνας γεγενημένας Ca Mb.

Digitized by Google

παρὰ τῶν ξένων· ἐκ δὲ τῶν ἰδίων ἐάν τι συμβῇ μικρὸν αὐτοῖς λυπηρόν, χεῖρον καὶ βαρύτερον αὐτοῖς καταφαίνεται.

9 τι et μικρὸν om. Cb || μικρὸν συμβῇ Ch || **10** χοῖρον Cb || **9-10** Τοῦτο δ' οὕτως σημαίνει· ὅταν ὁ φίλος τῷ φίλῳ πταίσῃ, μικρόν τι· ὅταν δὲ ὁ οἰκῖος, μεγάλην λύπην ἔχει Cd Ὅτι οὐ τοσοῦτον δεινόν ἐστιν ὅτε τις πάθῃ ὑπ' ἀλλοτρίων ἀνθρώπων ὅσον ἐκ τῶν οἰκείων Mb.

Aliter.

Πρίσται κατέσχιζον πεύκην καὶ σφῆνας ἐξ αὐτῆς ἐποίουν κατασχίζοντες αὐτήν. Ἡ δὲ ἐθρήνει λέγουσα· « Οὐ τοσοῦτον τὸν πρίονα μέμφομαι ὅσον τοὺς ἐξ ἐμοῦ σφῆνας. »

Ὁ μῦθος δηλοῖ ὅτι λυπηρότεραι αἱ τῶν οἰκείων κακώσεις ὑπὲρ τῶν ξένων λίαν.

Codd. Ce 99 Cf 106.

3 τὴν ἀξίνην pro τὸν πρίονα Cf || **5** λυπηρώτεραι Ce -ρότερον Cf

101

Δρῦς καὶ κάλαμος.

Δρῦς καὶ κάλαμος ἤριζον περὶ ἰσχύος. Ἀνέμου δὲ σφοδροῦ γενομένου, ὁ μὲν κάλαμος σαλευόμενος καὶ συγκλινόμενος ταῖς τούτου πνοαῖς τὴν ἐκρίζωσιν ἐξέφυγεν, ἡ δὲ δρῦς ἀντιστᾶσα ἐκ ῥιζῶν ἔπεσεν.

Ὁ λόγος δηλοῖ ὅτι οὐ δεῖ τοῖς κρείττοσιν ἐρίζειν ἢ ἀνθίστασθαι.

Codd. Pb 70 Mb 38 Cd 39.

1 Βροῦς Cd || κάλαμοι Mb || περὶ ἰσχύος ἤριζον Mb Cd || **2** σφοδροτάτου ἐπιπνεύσαντος Cd || σαλευόμενος Cd ἀνακλώμενος Pb ἀναλαμβανόμενος Mb || **3** ταῖς πνοαῖς τῶν ἀνέμων Cd || ἔφυγεν Cd || **4** δι' ὅλου ἀντιστᾶσα ἑαυτὴν (ἑαυτὴν om. Mb) Mb Cd || κατηνέχθη pro ἔπεσεν Mb Cd || **5** οὐδεὶς pro οὐ δεῖ Cd || κρείττουσιν Cd || ἀντιπίπτειν pro ἐρίζειν καὶ ἀνθίστασθαι Mb Cd.

Digitized by Google

Aliter.

Δρῦς καὶ κάλαμος ἤρισαν περὶ ἰσχύος. Ἀνέμου δὲ σφοδροῦ γενομένου, ὁ μὲν κάλαμος σαλευόμενος ταῖς πνοαῖς ἐξέφυγεν· ἡ δρῦς δὲ ἀντιστᾶσα ἐκ ῥιζῶν ἀνεσπάσθη·
⟨Ὁ⟩ λόγος δηλοῖ ὅτι οὐ δεῖ τοῖς κρείττοσιν ἐρίζειν.

Cod. Pe 37.

1 ἤρησαν περὶ ἰσχνοῦ ἀνέμου καὶ σφοδροῦ γενομένου τοῦ ἀνέμου, ὁ μὲν κάλαμος ἀναλαβόμενος τὰς πνοὰς cod., quae ex praecedente fabula correxi || **4** Ὁ addidi.

Aliter.

Δρῦς καὶ κάλαμοι.

Δρῦν ἄνεμος ἐκριζώσας ἐν ποταμῷ ἔρριψεν. Ἡ δὲ φερομένη τοὺς καλάμους ἠρώτα· « Πῶς ὑμεῖς, ἀσθενεῖς ὄντες καὶ λεπτοί, ὑπὸ τῶν βιαίων ἀνέμων οὐκ ἐκριζοῦσθε; » Οἱ δὲ εἶπον· « Ὑμεῖς τοῖς ἀνέμοις μάχεσθε καὶ ἀνθίστασθε, καὶ διὰ τοῦτο ἐκριζοῦσθε· ἡμεῖς δὲ παντὶ ἀνέμῳ ὑποπίπτοντες ἀβλαβεῖς διαμένομειν. »
Ὅτι οὐ δεῖ ἀνθίστασθαι τοῖς κρατοῦσιν [ἐνδόξοις], ἀλλ' ὑποτάσσεσθαι καὶ ὑπείκειν.

Codd. Ba 29 Bb 18 Mg 52.

3 ἐκριζοῦσθαι Ba Mg || **7** ἐνδόξοις inclusi.

Aliter.

Δρῦν καταβαλὼν ἐν ποταμῷ ἔρριψεν ἄνεμος. Ἡ δὲ φερομένη τοὺς ποταμίους καλάμους ἠρώτα· « Πῶς ὑμεῖς ἀσθενεῖς ὄντες ὑπὸ τῶν ἀνέμων οὐ καταβάλλεσθε ; » Οἱ δὲ εἶπον· « Ἡμεῖς παντὶ ἀνέμῳ ὑποπίπτοντες ἀβλαβεῖς διαμένομεν· ὑμεῖς δὲ παντὶ ἀνθιστάμενοι ἀπὸ ῥιζῶν καταβάλλεσθε. »

Cod. Bd 12.

2 τοῖς ποταμίοις καλάμοις cod. || **4** Ἡμᾶς pro Ἡμεῖς cod. || διαμένωμεν cod.

Digitized by Google

Aliter.

Δένδρα καὶ κάλαμοι.

Τὰ δένδρα ποτὲ κατεασσόμενα ὑπὸ τῶν ἀνέμων, ὡς ἑώρα τοὺς καλάμους ἀβλαβεῖς διαμένοντας, ἐπυνθάνετο αὐτῶν πῶς αὐτὰ μὲν ἰσχυρὰ καὶ ἐμβριθῆ ὄντα οὕτως κατακλᾶται, οἱ δὲ λεπτοὶ καὶ ἀσθενεῖς ὄντες οὐδὲν πάσχουσι. Κἀκεῖνοι ἔφασαν ὅτι « ἡμεῖς συνειδότες ἑαυτοῖς ἀσθένειαν εἴκομεν τῇ τῶν ἀνέμων ἐμβολῇ καὶ οὕτω τὰς ὁρμὰς ἐκκλίνομεν· ὑμεῖς δὲ πεποιθότες τῇ ἰδίᾳ δυνάμει ἀντιτείνετε καὶ διὰ τοῦτο κατεάσσεσθε. »

Ὁ λόγοι δηλοῖ ὅτι πρὸς τὰ χαλεπὰ τῶν πραγμάτων τὸ εἴκειν τοῦ ἀνθίστασθαι ἀσφαλέστερον.

Codd. Pa 221 Pb 213 Ma 133 Ca 180 Ce 114 Cf 122.

1 Τὰ om. Ce || κατασσόμενα Pa ασόμενα cum signo lacunae Pb κατεαγόμενα Ce Cf || κατεασσόμενά ποτε Ca || **2** ἑώρων Pb ἑωράκασι Ma ἄρα Ce Cf || ἀσινεῖς Pb || διαμένοντας ἴδον Ce || ἐπυνθάνοντο Pb Ma Ce || **3** αὐτὰ pro αὐτῶν Ca παρ' αὐτῶν Ce || πῶς καὶ τίνι τρόπῳ Pb || πῶς om. Ma || αὐτοὶ pro αὐτὰ Cf || ἰσχυρὰ μὲν Ce || ἐμβηθῆ Cf || οὕτως om. Ce Cf || **4** κατακλᾶνται Ma -κλῶνται Ca Ce || πάσχουσιν οὐδέν Ca Ce Cf || **5** ἔφησαν Pb Ma Ca Ce || συνιδόντες τὴν (τὴν om. Ma) ἑαυτῶν ἀσθένειαν Pa Ma || τὴν ἑαυτοῖς (ἐμαυτοῖς Ce) ἀσθενείαν (-νίαν Ce) Ce Cf|| **6** ἤκομεν Ce Cf ἤκωμεν Ma || συμβολῇ Pb προσβολῇ Ca || οὕτω om. Pb || **7** πεποίθατε ... καὶ ἀντιτείνετε Pa || **8** ἀντιστῆναι πειρᾶσθε Pb || καὶ οὕτω κατεάγεσθε (κατάγεσθαι Ce) Ce Cf || κατασεύεσθε Pb κατέασθαι Ma || **9** Ὁ μῦθος δηλοῖ πρὸς Ce Cf Ὅλως δηλοῖ πρὸς Ca || πρὸς τὰ ἀσφελῆ τῶν π. Pb || **10** εἴκειν καὶ ὑποτάσσεσθαι ἀσ- Ca || τὸ εἴκειν (ἥκειν Ce) τοῦ ἀντιτάσσεσθαι (-τάσεσθαι Ce) Ce Cf || ἀντιτάσσεσθαι Pb ἀντίτασθαι Ma || ἀσφαλέστερόν ἐστιν Pb Ma.

Aliter.

Κάλαμος καὶ ἐλαία.

Διὰ καρτερίαν καὶ ἡσυχίαν καὶ ἰσχὺν κάλαμος καὶ ἐλαία ἤριζον. Τοῦ δὲ καλάμου ὀνειδιζομένου ὑπὸ τῆς ἐλαίας ὡς ἀδύνατός ἐστι καὶ ῥᾳδίως ὑποκλίνεται πᾶσι τοῖς

Codd. Ca 59 Cb 41 Ce 43 Cf 47 Ch 48 Ma 51.

1 καὶ ἡσυχίαν om. Ma || καὶ ἰσχὺν καὶ ἡσυχίαν Cb || κάλαμοι Cb || **3** ὡς ἀδυνάτου ὄντος (ὄντως Cb) καὶ ῥαδίως (ταχαίως Cb) ὑποκλινομένου Cb Ch ὡς ἀδύνατον εἶναι καὶ μὴ (μὴ om. Cf) ῥαδίως ὑποκλινόμενον Ce Cf ὡς ῥαδίως πᾶσιν ὑποκλίνειν ἄφνω ὡς προσέλαβεν ἄνεμος Ma.

ἀνέμοις, ὁ κάλαμος οὐδὲν ἐφθέγξατο. Καὶ μικρὸν ὑπομείνας, ἐπειδὴ, ἀνέμου ἰσχυροῦ γενομένου, ὁ μὲν κάλαμος σεισθεὶς καὶ ὑποκλιθεὶς τοῖς ἀνέμοις ῥᾳδίως διεσώθη· ἡ δὲ ἐλαία ῥιζωθεῖσα, ἐπειδὴ ἀντέτεινε τοῖς ἀνέμοις, τῇ βίᾳ κατεκλάσθη, ἤλεγξεν αὐτὴν ὅτι ματαίως καὶ μάτην ἐπαίρεται ἐπὶ τῇ οἰκείᾳ δυνάμει.

Ὁ μῦθος δηλοῖ ὅτι οὕτω καὶ οἱ πρὸς τὸν καιρὸν καὶ τοὺς κρείττονας αὐτῶν μὴ ἀνθιστάμενοι κρείττονές εἰσι τῶν πρὸς μείζονας φιλονεικούντων.

Secundum epimythium in solo Ca : Ἢ ὅτι οὐ δεῖ τοῖς κρείττοσιν ἀντιπίπτειν.

4 ὁ κάλαμος .... γενομένου om. Ma || ἐφθέγγετο Ce Cf || **5** Καὶ ὁ μὲν κάλαμος ῥᾳδίως ὑποσεισθεὶς διεσώθη Ma || μὲν om. Cb || **6** ὑποσεισθεὶς C excepto Ca || καὶ om. Cf || ὑποκλισθεὶς Ce || ἡ ἐλαία δὲ ῥιζωθὲν πᾶσα τῇ βίᾳ τοῦ ἀνέμου κατεκλάσθη Ma || **7** ἐκριζωθεῖσα Ce Cf || ἀντέστη Cb Ch || **8** In κατεκλάσθη desinunt libri excepto Ca || **10** Ep. deest in Ma || Ὅτι οἱ τοῖς καιροῖς καὶ τοῖς κρείττοσιν Cb || ὅτι οἱ πρὸς Cf || οἱ τῷ καιρῷ καὶ τοῖς κρείττοσιν Ch || **11** κρεῖττόν εἰσι Cf || **12** φιλονικούντων Cf || **10-12** Ὁ μῦθος δηλοῖ τὰ μεγάλα σώματα ἐν ταῖς συμφοραῖς ὧν ἄδρην ἀσθενίστεραι Ce.

Aliter.

Διὰ καρτερίαν καὶ ἰσχὺν καὶ ἡσυχίαν κάλαμος καὶ ἐλαία ἤριζον. Τοῦ δὲ καλάμου ὀνειδιζομένου ὑπὸ τῆς ἐλαίας ὡς ἀδυνάτου καὶ ῥᾳδίως ὑποκλινομένου πᾶσι τοῖς ἀνέμοις, ὁ κάλαμος σιωπῶν οὐκ ἐφθέγξατο. Καὶ μικρὸν ὑπομείνας, ἐπειδὴ ἄνεμος ἔπνευσεν ἰσχυρός, ὁ μὲν κάλαμος ὑποσεισθεὶς καὶ ὑποκλινθεὶς τοῖς ἀνέμοις ῥᾳδίως διεσώθη· ἡ δ' ἐλαία, ἐπειδὴ ἀντέτεινε τοῖς ἀνέμοις, κατεκλάσθη τῇ βίᾳ.

Ὁ μῦθος δηλοῖ ὅτι οἱ τῷ καιρῷ καὶ τοῖς κρείττοσιν αὐτῶν μὴ ἀνθιστάμενοι κρείττους εἰσὶ τῶν πρὸς μείζονας φιλονεικούντων.

Codd. La 147 Lc 59 Ld 19 Lg 59 Mc 39 Md 46 Mh 41 Mi 81 Mk 43 Ml 52 Mm 58 Mn 19.

1 καὶ ἡσυχίαν om. Ml || κάλαμοι Mi || **3** ἀδυνάτου ὄντος Ml || ὑποκλίνοντος Mk || ἀνέμοις, οἱ ἀκροώμενοι τῇ ἐλαίᾳ προσέκειντο· ὁ δὲ κάλαμος σιωπῶν οὐκ ἐφθέγγετο· ἐπειδὴ δὲ ἄνεμος ἔπνευσεν ἰσχυρός, ὁ μὲν διασεισθεὶς καὶ ὑποκλιθεὶς Mk || ὁ κάλαμος οὐδὲν ἐφθέγγετο Ml || **4** ὑπομείνας, ἀνέμου ἰσχυροῦ γενομένου Ml || **6** ὑποκλιθεὶς Lc Lg Mc Md Mh Ml Mn -κλισθεὶς Mi -κλιθεῖσι Mm || ἐσώθη Mn || ἐλαία ἐκριζωθεῖσα Ml || **7** ἀντέτεινε τῇ σφοδρᾷ τοῦ ἀνέμου πνοῇ Mk || τῇ βίᾳ om. Ml || **8** τὸν καιρὸν καὶ τοὺς κρείττονας Ml || **9** αὐτῶν om. Ml || κρείττονες Ml μείζους Mk || τοῖς .. φιλονεικοῦσι Ld Mc Md Mi Mm Mn τοῖς .. φιλονικῶσι Mh.

Digitized by Google

Aliter.

Κάλαμοι καὶ κυπάριττοι.

Κάλαμοι παρεπεφύτευντο κυπαρίττοις, καὶ αἱ κυπάριττοι, τὸ αὐτῶν ἀνεκρίζωτον διὰ τὸ εὖ κλίνειν ἀνέμοις ἐνορώμεναι, σφοδρῶς ἐπέκειντο τοῖς καλάμοις, « Πῶς ἡμεῖς, λέγουσαι, τὴν ἐκρίζωσιν ἀθρόαν δεινῶς ὑφιστάμεθα, ὑμεῖς δὲ καὶ ἅπασαι διαδρᾶναι τὸν κίνδυνον εὐκρινῶς μεμαθήκατε ; » Τί οὖν οἱ κάλαμοι ; « Ταῖς ὑπερτερούσαις ἡμῶν δυναστείαις μὴ ἀντιβαίνειν μεμαθηκυῖαι, ἀλλὰ ταύταις ῥᾳδίως τὸν τράχηλον ὑποκλίνουσαι, τὴν αἰτίαν τοῦ ἀφανισμοῦ διαδιδράσκομεν ἐκρίζωσιν. »

Ὅτι τοῖς κρατοῦσιν οὐ δεῖ ἀνθίστασθαι, ἀλλὰ μᾶλλον ὑπείκειν.

Cod. Bc 23.

1 παρεπεφύτευντο Coraës παρεφύτευντο cod. || καὶ τὸ αὐτῶν ἀνεκρίζωτον διὰ τὸ εὐκλίνειν ἐνορωμένοις ἀνέμοις. Κυπάριττοι δὲ σφοδρῶς ἐπέκειντο cod. ; correxit Coraës, praeterquam mutauit εὐκλίνειν in ὑποκλίνειν || 3 ταῖς καλάμοις cod. || 5 διαδρᾶναι nos διαδρᾶν cod. || 6 γοῦν in οὖν mutaui || αἱ κάλαμοι cod. || 9 διαδιδράσκομεν Coraës καταδρῶμεν cod.

102

Ἐλάτη καὶ βάτος.

Ἐλάτη καυχωμένη τῇ βάτῳ ἔλεγεν· « Ἐν οὐδενὶ οὐδὲν χρησιμεύεις, ὅτε ἐγὼ ἐν στέγεσί που χρησιμεύω καὶ οἴκοις. » Ἡ δὲ βάτος ἔφη· « Ὦ ἐλεεινή, εἰ μνησθείης τῶν πελέκεων καὶ πριόνων τῶν κοπτόντων σε, βάτος ἂν ἔχοις θελῆσαι γενέσθαι, οὐκ ἐλάτη. »

Κρείσσων πενία ἄφοβος ἢ πλουσιότης μετὰ ἀναγκῶν καὶ ἐπηρειῶν.

Cod. Ma 164.

2 χρησιμεύεις, ὅτε Neuelet -μεύει ὅτι cod. || που Neuelet σου cod. || 3 μνησθείης nos μνησθεὶς cod. || 4 ἂν ἔχοις θελῆσαι nos ἂν εἶχες θελήσειν cod. || 5 ἔλατος cod. || 6 Κρεῖσσο cod.

Digitized by Google

Aliter.

Ἤριζον πρὸς ἀλλήλας ἐλάτη καὶ βάτος. Ἡ δὲ ἐλάτη ἑαυτὴν ἐπαινοῦσα ἔφη ὅτι « καλή εἰμι καὶ εὐμήκης καὶ ὑψηλὴ καὶ χρησιμεύω εἰς ναῶν στέγη καὶ εἰς πλοῖα· καὶ πῶς ἐμοὶ συγκρίνῃ; » Ἡ δὲ βάτος εἶπεν· « Εἰ μνησθῇς τῶν πελέκεων καὶ τῶν πριόνων τῶν σε κοπτόντων, βάτος γενέσθαι καὶ σὺ μᾶλλον θελήσεις. »

Ὅτι οὐ δεῖ ἐν βίῳ ὄντας ἐπαίρεσθαι ἐν τῇ δόξῃ· τῶν γὰρ εὐτελῶν ἀκίνδυνός ἐστιν ὁ βίος.

Cod. Ba 48.

3 χρεσιμεύω cod. || **4** Ὁ δὲ βάτος cod. || **5** πελεκείων cod.

Aliter.

Ἤριζον πρὸς ἀλλήλας ἐλάτη καὶ βάτος. Ἐπαινοῦσα δὲ αὐτὴν ἡ ἐλάτη ἔλεγεν ὅτι « εὐμήκης εἰμὶ καὶ ὑψηλὴ καὶ εἰς τὰς κατασκευὰς τῶν νεῶν καὶ εἰς τὰ στέγη [καὶ] τῶν μεγάλων καὶ βασιλικῶν οἰκιῶν χρησιμεύω· σοῦ δέ, ὦ βάτε, οὐδὲν ὄφελος· ἄχρηστος γὰρ ὑπάρχεις παντάπασιν. » Ἡ δὲ βάτος εἶπεν· « Ὦ ἐλάτη, εἰ ἀναμνησθείης τῶν πελέκεων καὶ τῶν πριόνων τῶν σε κοπτόντων, τάχ᾽ ἂν καὶ σὺ βάτος γενέσθαι θελήσειας. »

Cod. Bd 25.

1 ἀλλήλους cod. || **2** αὐτὴν cod. || εὐμηκήκης cod. || **3** καὶ inclusi || **4** χρησιμεύων cod. || **8** θελήσεις cod.

103

Ἔλαφος ⟨ἐπὶ νάματος⟩ καὶ λέων.

Ἔλαφος δίψῃ συσχεθεῖσα παρεγένετο ἐπί τινα πηγήν· πιοῦσα δέ, ὡς ἐθεάσατο τὴν ἑαυτῆς σκιὰν ἐπὶ τοῦ ὕδατος, ἐπὶ μὲν τοῖς κέρασιν ἠγάλλετο, δρῶσα τὸ μέγεθος καὶ τὴν ποικιλίαν, ἐπὶ δὲ τοῖς ποσὶ πάνυ ἤχθετο ὡς λεπτοῖς οὖσι καὶ ἀσθενέσιν. Ἔτι δὲ αὐτῆς διανοουμένης,

Codd. Pa 71 Pb 75 Pe 41 Pg 48 Ma 54 Mb 42.

1 δίψει Pb Pe || συσχεθεὶς Pa || ἐπί τινι πηγῇ Pe || **2** ἐπὶ τοῦ ὕδατος Pa Pg Mb κατὰ τ- ὕ- ceteri || **3** ἐπὶ μὲν τοῖς κέρασιν hic omisit, sed pro ποικιλίαν scripsit κοιλίαν καὶ τοῖς κέρασι Pe || **4** ἐπὶ δὲ τοῖς ποσὶ μέγα ηὔχετο ὡς λεπτοῖς οὖσι, omisso καὶ ἀσθενέσι Pe || σφόδρα ἤχθετο Pb Pg M.

Digitized by Google

λέων ἐπιφανεὶς ἐδίωκεν αὐτήν· κἀκείνη εἰς φυγὴν τραπεῖσα κατὰ πολὺ αὐτοῦ προεῖχεν· ἀλκὴ γὰρ ἐλάφων μὲν ἐν τοῖς ποσί, λεόντων δὲ ἐν καρδίᾳ. Μέχρι μὲν οὖν ψιλὸν ἦν τὸ πεδίον, ἡ μὲν προθέουσα διεσῴζετο· ἐπειδὴ δὲ ἐγένετο κατά τινα ὑλώδη τόπον, τηνικαῦτα συνέβη, τῶν κεράτων αὐτῆς ἐμπλακέντων τοῖς κλάδοις, μὴ δυναμένην τρέχειν συλληφθῆναι. Μέλλουσα δὲ ἀναιρεῖσθαι ἔφη πρὸς ἑαυτήν· « Δειλαία ἔγωγε ἥτις ὑφ᾽ ὧν μὲν προδοθήσεσθαι ἔμελλον, ὑπὸ τούτων ἐσῳζόμην, οἷς δὲ καὶ σφόδρα ἐπεποίθειν, ὑπὸ τούτων ἀπόλλυμαι. »

Οὕτω πολλάκις ἐν κινδύνοις οἱ μὲν ὕποπτοι τῶν φίλων σωτῆρες ἐγένοντο, οἱ δὲ σφόδρα ἐμπιστευθέντες προδόται.

6 ἐκείνη δὲ Pe || εἰς τὸ φεύγειν Pe εἰς τὴν φυγὴν Ma || **7** κατὰ τὸ πολὺ Ma || κατὰ om. Mb || αὐτοῦ om. Pg || μὲν om. Pe || **8** δὲ om. Ma || ἀλκὴ ...καρδίᾳ om. Pb || οὖν ψιλὸν om. Pe || **9** παιδίον Pa Pe || προσθέουσα Pa || ἐσώζετο Pb Pg Mb || ἐπεὶ Pb Pe || **10** τινα om. Ma || συνέβη τηνικαῦτα Pg Mb || τηνικαῦτα om. Pe || **11** αὐτοῖς Pe || συμπλακέντων Mb || καὶ μὴ δύνασθαι τρέχειν συνελλήφθη ὑπὸ τοῦ λέοντος Pe || μὴ δύνασθαι τρέχειν κἀκεῖσε συλληφθῆναι Ma || **12** καὶ συλληφθῆναι Pa καὶ om. ceteri || συλληφθῆναι τῷ λέοντι Pb || καθ᾽ ἑαυτὴν Pe || **13** Δειλέα Pa Δειλὴ Pe || ἐγὼ Pb Pg Mb || μὲν om. Pa || ὑφ᾽ (ἐφ᾽ Ma) ὧν μὲν ᾠόμην (ᾤμην Ma ὄμην Mb) προδοθήσεσθαι Pb Pg Ma Mb ὑφ᾽ ὧν ἐμεμφόμην Pe || **14** ἐσωζόμην ὑπὸ τούτων Pb || καὶ σφόδρα Pa Pg σφόδρα ceteri || **15** ἀπόλλυμαι nos ex Ca ἀπωλλόμην Pa ἀπωλόμην Pb Pg Ma Mb ἀπολώλειν Pe || **17** γίνονται pro ἐγένοντο Ma qui habet ep. in fabula sequenti || **16-17** Δηλοῖ ὁ λόγος ὅτι οἱ ὕποπτοι τῶν φίλων πολλάκις ἐν κινδύνοις σωτῆρες ὑπάρχουσιν, οἱ δὲ σφόδρα ἐμπισθευθέντες προδόται γεγόνασι Pe.

Aliter.

Ἔλαφος δίψει συσχεθεῖσα παρεγένετο ἐπί τινα πηγὴν τοῦ πιεῖν. Ἐν ὅσῳ δὲ ἔπινεν, εἶδε τὴν ἑαυτῆς σκιὰν ἐπὶ τοῦ ὕδατος. Καὶ ἐπὶ μὲν τοῖς κέρασιν αὐτῆς ηὐφραίνετο, ὁρῶσα τὸ μέγεθος καὶ τὴν ποικιλίαν· ἐπὶ δὲ τοῖς ποσὶ

Codd. Ca 66 Cb 46 Cd 43 Ce 48 Cf 52 Ch 53 Mc 45 Md 51 Mh 46 Mi 86 Mk 49 Ml 69 Mm 64.

1 δίψῃ Cd Cf Mk Ml Mm || τινι πηγῇ Mc Mk || **2** ποιεῖν Ce || πιεῖν (ποιεῖν Cb) ὕδωρ Cb Cd Mc Mk || Πιοῦσα δὲ Cb Cd Ce Cf Mc Πίνουσα δὲ Ch Md Mh Mi Mk Ml Mm || ἴδεν Cb Ce || ἐπὶ correctum in ὑπὸ Md || ἐπὶ ὑπὲ τοῦ ὑ- Mi || **3** ἔχαιρεν Cd || **4** ποικιλίαν αὐτῶν Mh Mk || ποσὶν αὐτῆς libri, excepto Ca.

Digitized by Google

σφόδρα ἤχθετο καὶ ἐδυσφόρει, ὡς λεπτοῖς οὖσι καὶ ἀσθενέσιν. Ἔτι δὲ αὐτῆς διανοουμένης, λέων ἐπιφανεὶς ἤρξατο διώκειν αὐτήν, κἀκείνη εἰς φυγὴν τραπεῖσα κατὰ πολὺ αὐτοῦ προεῖχεν· ἀλκὴ γὰρ ἐλάφων ἐν τοῖς ποσί, λέοντος δὲ ἐν καρδίᾳ. Καὶ μέχρι μὲν ἐν πεδίῳ ἐδιώκετο, ἀκατάληπτος ἦν ἡ ἔλαφος, ἐπεὶ προέθεεν· ἐπεὶ δὲ κατά τινα δρυμὸν καὶ ὑλώδη τόπον παρεγένετο, συνέβη τοῖς κέρασιν αὐτῆς ἐμπλακῆναι τοῖς κλάδοις, καὶ μὴ δυναμένην τρέχειν συλληφθῆναι ὑπὸ τοῦ λέοντος· Μέλλουσα δὲ ἀναιρεῖσθαι ἔφη· « Δειλαία ἔγωγε ἥτις ὑφ' ὧν ᾠόμην προδοθήσεσθαι, ὑπὸ τούτων ἐσῳζόμην καὶ ἔχαιρον, οἷς δὲ σφόδρα ἐπεποίθειν, ὑπὸ τούτων ἀπόλλυμαι. »

Ὁ μῦθος δηλοῖ ὅτι ὁμοίως πολλάκις τινὲς δοκοῦντες

5 οἴχετο Cb ἤχητο Mc || ὡς ... ἀσθενέσι om. Mc Mk || ὡς λεπτὰ καὶ ἀσθενῆ ὄντα Ml C excepto Ca ὁρῶσα λεπτὰ καὶ ἀσθενῆ ὄντα Md Mh Mi Mm || **6** Ταῦτα δὲ αὐτῆς Md Mh Mi Mm || δὲ om. Cd Mk || ταῦτα pro αὐτῆς Mk || ταῦτα διανοουμένης Cd || διανοούσης Cb Ce Cf Mc || ἤρξατο ἐπεμβαίνειν αὐτῇ, ἡ δὲ εἰς φυγὴν ἐτράπετο καὶ κατὰ πολὺν αὐτῷ προεῖχεν Ce || **7** τραπεῖσα εἰς φυγὴν Md Mh Mi Mm || ἐτράπετο καὶ κατὰ πολὺ (-λὺν Cf) προεῖχεν αὐτοῦ Cf Ml || κατὰ om. Mc || πολὺ ἦν αὐτοῦ διεστῶσα Mk || **8** ἀρκεῖ (ἀλκεῖ Cb ἀλκὴ Cd ἱκανὴ Mk) γὰρ ἔλαφος ἐν τοῖς ποσί, καὶ λέων (λέοντος Cd) ἐν τῇ (τῇ om. Cd) δυνάμει Cb Cd Mc Mk γοργὸς γὰρ ἡ ἔλαφος ἐν τοῖς ποσὶ καὶ λέων ἐν τῇ καρδίᾳ Ce ἀρκεῖ γὰρ φησὶν (φησὶν om. Mh Mm) ἔλαφος (-ον Mh) ἐν τοῖς ποσὶ καὶ λέων ἐν καρδίᾳ Cf Mh Ml Mm ἀλκὴ γάρ, φησίν, ἐλάφῳ ἐν τοῖς ποσὶ καὶ λέοντι καρδία Ch ἀρκεῖ (-κῖ Mi) γὰρ ἔλαφος καὶ λέων ἐν καρδίᾳ Md Mi || **9** μέχρι μὲν Ch ἕως μὲν Mk μέχρις ἂν ceteri || ἐπὶ πεδίῳ Cb Cd Mc || τῷ πεδίῳ Mk || ἄληπτος Cb Cd Mc ἄληπτος πάντη Mk || **10** ἡ ἔλαφος om. Md Mh Mk Mm || ἐπεὶ προέθεεν om. Cb Cd Ch Mc Md Mh Mk Ml Mm || ἐπειδὴ δὲ Cd Mc Mk || **11** δρυμόνα Ce Mk || καὶ ὑλώδη τόπον Ca om. ceteri || ἐπισυνέβην Cd || αὐτὴν τοῖς κέρασιν Cb Cd Mc Mk τὰ κέρατα αὐτῆς Ch Md Mh Mi Mm || **12** καὶ μὴ δυναμένην τρέχειν Ca om. ceteri || **13** δὲ om. Ch || **14** Ἀθλία ἐγὼ (ὄντως ἐγὼ Md Mh Mi Mm) ἥτις ἐπὶ κέρασιν (τοῖς κέρασιν Ce Cf Ml κέρας Cb Cd) ἔχαιρον (χαίρουσα Ce Ch οἷς ἔχαιρον Ml), ἐξ αὐτῶν (ἐξ ὧν Md Mh Mi Mm ὑφ' ὧν Mk) συνελήφθην (συνελείφθην Cb) libri excepto Ca || **17** ὅτι τινὲς πολλάκις δοκοῦντες Ch || ὅτι ὅμοιόν ἐστίν τινων πολλάκις δοκούντων Mc || ὁμοίων Cf || **18** τὸ χρήσιμον Cf || λανθάνουσι καὶ ἐξ ἐκείνου (-νων Ch) βλάβος αὐτοῖς ἐγγίνεται (γίνεται Ch) Cf Ch || **17-19** Ὁ μῦθος δηλοῖ (hoc initium om. Cb) ὅτι ὅμοιόν ἐστιν· τινῶν πολλάκις δοκούντων ἔχειν τι χρήσιμον λανθάνουσι καὶ ἐξ ἐκείνου (-ον Cb) βλάβος (-βας Mc) αὐτοῖς γίγνεται (ἐγγίνεται Mc) Cb Mc Ὅμοιόν ἐστιν ἀνθρώποις· δοκοῦντες πολλάκις ἔχειν τι χρήσιμον λανθάνουσι καὶ ἐξ ἐκείνου βλάβος αὐτοῖς ἐγγίνεται Cd.

Digitized by Google

ἔχειν τι χρήσιμον, λανθάνουσιν ἑαυτοὺς βλαπτόμενοι δι' ἐκείνου.

Ἢ οὕτως· Πολλάκις ἐν κινδύνοις οἱ μὲν ὕποπτοι τῶν φίλων σωτῆρες γίνονται, οἱ δὲ σφόδρα ἐμπιστευθέντες προδόται.

Ὁ μῦθος δηλοῖ ὅτι δοκοῦσί τινες ἔχειν τὸ χρήσιμον καὶ λανθάνονται ἐξ ἐκείνου βλάβην οὐ τὴν τυχοῦσαν ἐπερχομένην ὀψέ ποτε Ce Ὁ μῦθος ὅτι πολλάκις ἔχοντές τι χρήσιμον, λανθάνουσι καὶ ἐξ ἐκείνου βλάβην αὐτοῖς ἐγγίνεσθαι οἴονται Md Mi Ὁ μῦθος δηλοῖ ὅτι πολλάκις ἔχοντές τι χρήσιμον (-μα Mh) λανθάνουσι καὶ ἐξ ἐκείνου βλάβην αὐτοῖς ἐγγίνεσθαι Mh Mm Ὁ μῦθος δηλοῖ ὅτι ἀνόητόν ἐστιν ἥδεσθαι ἐπί τισιν ὑφ' ὧν πολλάκις ἀχρησίμων ὄντων δεινοῖς περιπίπτομεν Mk. Ὁ μῦθος δηλοῖ ὅτι ὁμοίως πολλῶν δοκούντων ἔχειν τὸ χρήσιμον λανθάνουσιν οἱ κεκτημένοι καὶ ἐξ ἐκείνων βλάβος αὐτοῖς ἐγγίνεται Ml || Alterum ep. Ca solus.

Aliter.

Ἔλαφος διψήσας ἐπὶ πηγὴν ἦλθεν. Ἰδὼν δὲ τὴν ἑαυτοῦ σκιάν, τοὺς μὲν πόδας ἐμέμφετο, ὡς λεπτοὺς καὶ ἀσθενεῖς ὄντας, τὰ δὲ κέρατα αὐτοῦ ἐπῄνει, ὡς μέγιστα καὶ εὐμήκη. Μηδέπω δὲ πιών, κυνηγοῦ καταλαβόντος, ἔφευγεν. Ἐπὶ πολὺν δὲ τόπον δραμὼν καὶ εἰς ὕλην ἐμβὰς τοῖς κέρασιν ἐμπλακεὶς ἐθηρεύθη. Ἔφη δέ· « Ὦ μάταιος ἐγώ, ὃς ἐκ μὲν τῶν ποδῶν ἐσώθην οἷς ἐμεμφόμην, ἐκ δὲ τῶν κεράτων προεδόθην οἷς ἐκαυχώμην. »

Ὅτι περὶ πράγματός τινος, ἐὰν διακρίνῃς καλὸν εἶναι, μὴ ἔχῃς βέβαιον περὶ τούτου· πολλάκις γὰρ σφάλλουσιν αἱ ἐλπίδες εἰς ἃς ἐπερειδόμεθα.

Codd. Ba 34 Bb 23 Mg 60.

1 αὐτοῦ σκιὰν Mg || **3** εὐμήκει Ba || **4** δὲ post μηδέπω om. Mg || ἐπὶ πολὺ Ba Mg || **6** ἐγὼ ὡς Ba || **9** Ὅτι, ἐάν τι διακρίνῃς Mg || **10** σφάλουσιν Ba || **11** ὑπερειδόμεθα Bb.

Aliter.

Ἔλαφος ἐπὶ ὕδατος τὴν σκιὰν αὐτῆς κατιδοῦσα τῶν σκελῶν αὐτῆς ὡς ἀσθενῶν κατεμέμφετο, ἐπῄνει δὲ μᾶλλον τὰ ἐν τῷ μετώπῳ αὐτῆς κέρατα διὰ τὴν στερρότητα. Αἰφνίδιον δὲ κυνηγοῦ καταλαβόντος αὐτήν, καὶ πρὸς φυγὴν ὁρμήσασα, τὰ μὲν σκέλη διέσωσαν αὐτὴν ἐν κρησφυγέτῳ τινί. Ἡ δὲ τῶν κεράτων ἰσχὺς αὐτὴν προέδωκεν εἰς τὴν πυκνότητα τοῦ ἄλσους περιπλακέντων.

Cod. Bc 27.

3 ταύτης κέρατα cod. || **6** αὐτὴν προέδωκεν nos μᾶλλον παρέδωκεν cod. || Epim. legere non potiu.

Digitized by Google

104

Ἔλαφος καὶ ἄμπελος.

Ἔλαφος διωκομένη ὑπὸ κυνηγῶν ἐκρύπτετο ὑπό τινα ἄμπελον. Διελθόντων δὲ τῶν κυνηγῶν, στραφεῖσα κατήσθιε τὰ φύλλα τῆς ἀμπέλου. Εἷς δέ τις τῶν κυνηγῶν στραφεὶς καὶ θεασάμενος, ὃ εἶχεν ἀκόντιον βαλών, ἔτρωσεν αὐτήν. Ἡ δὲ μέλλουσα τελευτᾶν στενάξασα πρὸς ἑαυτὴν ἔφη· « Δίκαιά γε πάσχω, ὅτι τὴν σώσασάν με ἄμπελον ἠδίκησα. »

Οὗτος ὁ λόγος λεχθείη ἂν κατὰ ἀνδρῶν οἵτινες τοὺς εὐεργέτας ἀδικοῦντες ὑπὸ θεοῦ κολάζονται.

Codd. Pa 74 et 91 bis Pb 78 Pc 39 Pe 44 Pf 37 Pg 50 Ph 39 Ma 57 Mb 46 Ca 65.

1 ὑπὸ κυνηγῶν διωκομένη Ma || ὑπὸ κυνηγῶν om. Pc || ἐκρύβετο Pe Ca || ἐπὶ Ca || τὴν ἄμπελον Pc || **2** στραφεῖσα codd. λαθεῖν δόξασα ex La conicere licet || κατήσθιε τραφεῖσα Ca || τὰ φύλλα τ. ἀ. κατήσθιε Pb Pc Pe || **3** Ὡς δὲ πᾶσαν ἐψίλωσεν, εἷς τις τῶν κυνηγῶν Pg Mb || τις om. Pa 91 bis || **4** θεασάμενος αὐτὴν Pe Pf Ph Ma || ὃ εἶχεν ἀκόντιον Pa 91 bis ὡς (ᾧ Ca) εἶχεν, ἀκοντίῳ (ἀκοντία Pa 74 Pc) Pa 74 Pb Pc Pe Pf Pg Mb Ca || ἀποβαλὼν omisso ἀκόντιον Ma || ἀκοντίῳ omisso ὃ εἶχεν Ph || βάλλων Pe || κατέτρωσεν Ph || αὐτήν om. Ma || **5** στενάζουσα Ca στενάξασα πρὸς ἑαυτὴν om. Pa 91 bis || αὐτὸν Pe || **6** γε om. Pa 91 bis Pb Pf Pg Ph Mb Ca || Δίκαια ἐγὼ Pc || ἄμπελον om. Pa 91 bis Pe Ma || ἐγὼ ἠδίκησα Pa 91 bis Pe Ma || **7** Ὁ λόγος κατ' ἀνδρῶν Ph || λεχθείη ἂν om. Pf || λεχθήσεται Pa 91 bis || **8** θεῶν Pa 74 τοῦ θεοῦ Pa 91 bis || **7-8** Προσεκταῖον καὶ ἡμᾶς οἵ τους .. Pe || Ep. in Ma fabulae sequenti annexum est.

Aliter.

Ἔλαφος κυνηγοὺς φεύγουσα ὑπ' ἀμπέλῳ ἐκρύβη. Παρελθόντων δ' ὀλίγον ἐκείνων, ἡ ἔλαφος τελέως ἤδη λαθεῖν δόξασα, τῶν τῆς ἀμπέλου φύλλων ἐσθίειν ἤρξατο. Τούτων δὲ σειομένων, οἱ κυνηγοὶ ἐπιστραφέντες καί, ὅπερ ἦν ἀληθές, νομίσαντες τῶν ζῴων ὑπὸ τοῖς φύλλοις τι κρύπ-

Codd. La 65 Lb 45 Lc 33 Le 45 Lf 65 Lg 33 Md 117 Me 52 Mf 47 Mg 68 Mi 34 Mj 55 Ml 57 Mm 67.

1 ἐκρύβη ὑπό τινα ἄμπελον Me Mf || **2** ὀλίγων La Md ὀλίων Mi || τελείως Mj || **5** νομίζοντες τὸ ζῷον ὑπὸ τοῖς φύλλοις κρύπτεσθαι Lc Lg Md Mi Ml || τι om. Mm.

Digitized by Google

τεσθαι, βέλεσιν ἀνεῖλον τὴν ἔλαφον. Ἡ δὲ θνήσκουσα τοιαῦτ' ἔλεγε· « Δίκαια πέπονθα· οὐ γὰρ ἔδει τὴν σώσασάν με λυμαίνεσθαι. »

Ὁ μῦθος δηλοῖ ὅτι οἱ ἀδικοῦντες τοὺς εὐεργέτας ὑπὸ θεοῦ κολάζονται.

8 λυμήνασθαι Mj || 9 Ὁ μῦθος ὅτι Lb Mb || Ὅτι Mg.

105

Ἔλαφος καὶ λέων ⟨ἐν σπηλαίῳ⟩.

Ἔλαφος κυνηγοὺς φεύγουσα ἐγένετο κατά τι σπήλαιον, ἐν ᾧ λέων ἦν, καὶ ἐνταῦθα εἰσῄει κρυβησομένη. Συλληφθεῖσα δὲ ὑπὸ τοῦ λέοντος καὶ ἀναιρουμένη ἔφη· « Βαρυδαίμων ἔγωγε ἥτις ἀνθρώπους φεύγουσα ἐμαυτὴν θηρίῳ ἐνεχείρισα. »

Οὕτως ἔνιοι τῶν ἀνθρώπων διὰ φόβον ἐλάττονος εἰς κίνδυνον μείζονα ἑαυτοὺς ἐμβάλλουσιν.

Codd. Pa 73 Pb 77 Pc 38 Pf 36 Pg 49 Ph 38 Ma 56 Mb 45 Me 51 Mf 46 Ca 64.

1 τινα σπήλαιον ἐφ' ᾧ Ma || 2 ἦν λέων· ἐνταῦθα εἰσιοῦσα κρυβησομένη, συλληφθεῖσα δὲ Ca || καὶ om. Pa Pc Pf Pg Ph Me Mf || ἐν τούτῳ pro ἐνταῦθα Pg Mb || κρυπτομένη Pf Me Mf κρυβεὶς Ma || Ληφθεῖσα Ma || 3 εἶπε Pb Me Mf || Δυσδαίμων Pb Δειλαία Me || 4 ἐγὼ Pb Pc Pg Ph Mb Me Mf Ca || ἑαυτὴν Pa || θηρίον Mb || ἐνεχειρισάμην Ca || τῷ τῶν θηρίων ἀγριοτάτῳ ἐμαυτὴν ἐνεχείρισα Me Mf || 6 Ὁ λόγος (μῦθος Me) δηλοῖ ὅτι πολλοὶ Pf Me Mf Ὅτι πολλοὶ Ph || ἀνθρώπων om. Pb || ἔλαττον Pa || ἐλαττόνων κινδύνων Pc || ἐλαττόνων (-τονα Pb) κινδύνων ἑαυτοὺς εἰς μείζονα κακὰ εἰσιᾶσιν Pb Pg Mb Ca || ἐλάττονα εἰς μείζους κινδύνους ἑαυτοὺς περιβάλλουσι Pf Me Mf || καὶ ἐλαττόνων κινδύν ων ἑαυτοὺς εἰς μείζονα κακὰ ἐμβάλλουσι Ma cujus epim. est in fabula sequenti || εἰς μείζονα κίνδυνον Ph.

Aliter.

Ἔλαφος κυνηγοὺς φεύγουσα ἐγένετο κατά τι σπήλαιον, ἐφ' ᾧ λέων ἦν κατοικούμενος, καὶ ἐνταῦθα εἰσιοῦσα καὶ νομίζουσα κρυβῆναι συνελήφθη ὑπὸ τοῦ λέοντος καὶ ἀναιρουμένη πρὸς ἑαυτὴν ἔφη· « Δειλαία ἔγωγε ἥτις ἀνθρώπους φεύγουσα ἐμαυτὴν θηρίῳ παρέδωκα. »

Digitized by Google

Οὕτως οἱ τῶν ἀνθρώπων παῖδες διὰ φόβον ἐλάττονος κινδύνου ἑαυτοὺς εἰς μεῖζον κακὸν ἐμβάλλουσιν.

Cod. Pe 43.

7 κινδη pro κινδύνου cod.

Aliter.

Ἔλαφος κυνηγοὺς φεύγουσα εἰς ἄντρον εἰσέδυ· λέοντι δ' ἐκεῖ περιτυχοῦσα ὑπ' αὐτοῦ συνελήφθη· θνήσκουσα δ' ἔλεγεν· « Οἴμοι ὅτι ἀνθρώπους φεύγουσα τῷ τῶν θηρίων ἀγριωτάτῳ περιέπεσον. »

Ὁ μῦθος δηλοῖ ὅτι πολλοὶ τῶν ἀνθρώπων μικροὺς κινδύνους φεύγοντες μεγάλων ἐπειράθησαν.

Codd. La 64 Lb 44 Le 44 Lf 64 Md 119 Mg 67 Mi 35 Mj 53 Ml 56.

2 ἐκεῖσε Md Mi || καὶ θνήσκουσα ἔλεγεν Md Mi || 3 τοὺς ἀνθρώπους Lb Le || 4 περίετυχον Le || 5 Ὅτι Mg || πολλοὺς κινδύνους Md Mi.

106

Ἔλαφος πηρωθεῖσα.

Ἔλαφος πηρωθεῖσα τὸν ἕτερον τῶν ὀφθαλμῶν παρεγένετο εἴς τινα αἰγιαλὸν καὶ ἐνταῦθα ἐνέμετο, τὸν μὲν ὁλόκληρον πρὸς τὴν γῆν ἔχουσα καὶ τὴν τῶν κυνηγῶν ἔφοδον παρατηρουμένη, τὸν δὲ πεπηρωμένον πρὸς τὴν θάλασσαν· ἔνθεν γὰρ οὐδένα ὑφωρᾶτο κίνδυνον. Καὶ δή τινες παραπλέοντες ἐκεῖνον τὸν τόπον καὶ θεασάμενοι αὐτὴν κατηυστόχησαν. Καὶ ἐπειδὴ ἐλιποψύχει, εἶπε πρὸς

Codd. Pa 72 Pb 76 Pc 37 Pe 42 Pf 35 Ph 37 Ma 55 Mb 43 Me 50 Mf 45 Ca 63.

1 πειρωθεῖσα τῶν ἑτέρων Ma || τὸν ἕτερον ὀφθαλμὸν Pb || τὸν οὐδέτερον ὀφθαλμὸν Pe || 2 καὶ πρὸς αὐτὸν διεγένετο pro καὶ ἐνταῦθα ἐνέμετο Pe || τὸν μὲν ὑγιᾶ καὶ ὁλόκληρον τῶν ὀφθαλμῶν Me Mf τὸν ὁλόκληρον μὲν τῶν ὀφθαλμῶν Mb || 3 ὁλόκληρον ὀφθαλμόν (τῶν ὀφθαλμῶν Pf Ma) Pf Ph Ma Ca || πρὸς τὴν γῆν Pc Pe Ph Ma Ca πρὸς τῇ γῇ Pa Pf Mb Me Mf εἰς τὴν γῆν Pb || καὶ om. Pe || 4 τῶν δὲ πεπηρωμένων Ma || ἐν τῇ θαλάσσῃ omnes excepto Ca || 5 ἔνθα οὐδένα (οὐδὲν Pe) Pe Me Mf || κίνδυνον ὑφωρᾶτο Ca || ὑφωρᾶτο οὐδὲν κίνδυνον Ma || 6 πλέοντες Pb || ἐκεῖνον om. Pb || ποταμὸν Mb || καὶ om. Pe || 7 κατηυστοχήσαντο Pc κατεστοχάσαντο Pf κατευστοχήσαντο, ἤγουν κατετόξευσαν Ca κατετόξευσαν Me Mf || Ἐπεὶ δὲ Pb Ca Ἐπειδὴ δὲ Pf Ph || Μέλλων δὲ λειποψυχῆσαι Pe || Ἡ δ' ἑαυτὴν (δὲ αὐτὴν Me) ὠλοφύρετο ὡς ὑφ' ἧς μὲν ἐδεδοίκει μηδὲν παθοῦσα, ἣν δ' οὐκ ᾤετο κακὸν ἐπάξειν ὑπὸ ταύτης προδεδομένη Me Mf || ἐλειποψύχει Pb Ca.

αὐτήν· « Ἀλλ' ἐγὼ ἀθλία, ἥτις τὴν γῆν ὡς ἐπίβουλον φυλαττομένη πολὺ χαλεπωτέραν ἔσχον τὴν θάλασσαν ἐφ' ἣν κατέφυγον. »

Οὕτω πολλάκις παρὰ τὴν ἡμετέραν ὑπόληψιν τὰ μὲν χαλεπὰ τῶν πραγμάτων δοκοῦντα εἶναι ὠφέλιμα εὑρίσκεται, τὰ δὲ σωτήρια νομιζόμενα ἐπισφαλῆ.

8 αὐτήν Pa || ἔγωγε Pb Pc Ph Mb Ca || **9** ἐφυλαττόμην Pa Pc Mb Ca || καὶ πολὺ Pc Mb πολὺ δὲ Ca || χαλεπώτερον Ma || ἔχουσα Pb εὗρον Ph ἔχων Ma || τὴν θάλασσαν ἔσχον Ph || ὑφ' ἣν Pc || **8-9** Ἐγὼ ἡ ἀθλία τὴν γῆν ὡς ἐπίβουλον διεφυλαττόμην, νῦν δὲ πολλὰ χαλεπωτέραν τὴν θάλατταν σχοῦσα ἐφ' ἣν κατέφυγον Pe || **11** περὶ Ca || **12** εἶναι om. Pa || εὑρίσκονται Pb Pc Ca || **13** τὰ δὲ σωτήρια νομιζόμενα ἐπισφαλῆ Pc τὰ δὲ ἐπισφαλῆ νομιζόμενα σωτήρια Pa || νομιζόμενα σωτήρια Pb || νομιζόμενα om. Mb || ἐπιβλαβῆ Ca || **11-13** Οὕτως καὶ πρὸς ἡμᾶς τὰ μὲν ἀλλότρια τῶν πραγμάτων δοκοῦμεν πρὸς ἡμᾶς εἶναι ὠφέλιμα, τὰ δὲ ἀσφαλῆ ἐπίβουλα Pe Ὁ μῦθος δηλοῖ ὅτι (hoc initium om. Pf Ph) οὕτω πολλάκις τὰ χαλεπὰ τῶν πραγμάτων δοκεῖ ἡμῖν ὠφέλιμα εἶναι, τὰ δὲ ἐπισφαλῆ νομιζόμενα σωτήρια (-ριώδη Ph) εὑρίσκεται Pf Ph Me Mf || Ep. in Ma fabulae sequenti annexum est.

Aliter.

Ἔλαφος τὸν ἕτερον πεπηρωμένη τῶν ὀφθαλμῶν ἐπ' ἠιόνος ἐνέμετο, τὸν μὲν ὑγιᾶ τῶν ὀφθαλμῶν πρὸς τὴν ξηρὰν διὰ τοὺς κυνηγετοῦντας ἔχουσα, τὸν δὲ λοιπὸν πρὸς θάλατταν, ὅθεν οὐδὲν ὑπώπτευε. Παραπλέοντες δέ τινες καὶ τούτου στοχασάμενοι αὐτῆς κατετόξευσαν. Ἡ δ' ἑαυτὴν ὠλοφύρετο ὡς ὑφ' ἧς μὲν ἐδεδοίκει μηδὲν παθοῦσα, ἣν δ' οὐκ ᾤετο κακὸν ἐπάξειν, ὑπὸ ταύτης προδεδομένη.

Ὁ μῦθος δηλοῖ ὅτι πολλάκις ἡμῖν τὰ μὲν βλαβερὰ δοκοῦντα ὠφέλιμα γίνεται, τὰ δ' ὠφέλιμα βλαβερά.

Codd. La 63 Lb 43 Le 43 Lf 63 Md 118 Mg 66 Mi 33 Mj 52 Ml 58 Mm 66.

1 θάτερον Mg || **3** ἐπὶ θάλατταν Md Mi Mm || **4** τὴν θάλασσαν Lb Le Lj || οὐχ ὑπώπτευε Ml || **5** τοῦτο libri || τούτου στοχασόμενοι om. Mg || ταύτην κρατήσαντες κατετόξευσαν Mg || ῥαδίως αὐτῆς Md Mi Mm || **6** ἐδόκει Le ἐδεδείκει Mg ἐδεδόκει Mi || **7** ἣν δὲ οὐδὲν (μηδὲν Md Mi Mm) κακὸν (κακῶν Mi) omisso ᾤετο Le Md Mi Mj Mm || προσδεδομένη Le || **8** Ὁ μῦθος ὅτι Lb Le || Ὅτι Mg || οὕτως (οὕτω Md Mi Mm) πολλάκις Lb Le Md Mi Mm || μὲν om. La Lb Lf Mg.

Digitized by Google

107

Ἔριφος ⟨ἐπὶ δώματος ἑστὼς⟩ καὶ λύκος.

Ἔριφος ἐπί τινος δώματος ἑστὼς λύκον παριόντα ἐλοιδόρει. Ὁ δὲ ἔφη πρὸς αὐτόν· « Οὐ σύ με λοιδορεῖς, ἀλλ' ὁ τόπος. »

Ὁ λόγος δηλοῖ ὅτι οἱ καιροὶ διδόασι κατὰ τῶν ἀμεινόνων θάρσος.

Codd. Pg 62 Ma 71 Mb 57 et 242.

1 παρόντα Ma || 2 πρὸς αὐτήν Ma αὐτῷ uterque Mb || 4 ὅτι καιρὸς δίδωσι Ma || ἀμεί(ν)οντον τὸ θράσος Ma || Epim. om. Mb 57.

Aliter.

Ἔριφος ἐπί τινος δώματος ἑστώς, ἐπειδὴ λύκον παριόντα εἶδεν, ἐλοιδόρει καὶ ἔσκωπτεν αὐτόν. Ὁ δὲ λύκος ἔφη· « Ὦ οὗτος, οὐ σύ με λοιδορεῖς, ἀλλ' ὁ τόπος. »

Ὁ μῦθος δηλοῖ ὅτι πολλάκις καὶ ὁ τόπος καὶ ὁ καιρὸς δίδωσι τὸ θράσος κατὰ τῶν ἀμεινόνων.

Codd. La 143 Lc 52 Lg 52 Md 52 Mm 65 — Ca 75 Cb 48 Cd 45 Ce 50 Cf 54 Ch 55 Mc 47 Ml 70.

1 ἑστὼς ἐπί τινος δώματος Mc || δώματος ὑψηλοτάτου Ca || ἑστῶσα καὶ λύκον ἰδοῦσα παριόντα Ml || λύκον τινὰ Ca || εἶδε παριόντα Cb Ce Cf Ch Mc || παρόντα Lg || 2 καὶ ἔσκωπτεν om. C Mc Ml || 3 Ὦ σύ omisso οὗτος οὐ Cd || αὕτη Ml || με om. Cb Cd Mc Mh || τόπος ἐν ᾧ ἵστασαι Ca || 4 Ὅτι πολλάκις Cb Πολλάκις Cd || καὶ ὁ τόπος πολλάκις Mc || 5 τὸ om. Cd || κατὰ μειζόνων Ml || ἀμείνων Cb Mc ἀμηνόντων Cd μειζόνων Ce Cf || τὸ θράσος in fine C Mc Ml.

Aliter.

Ἔριφος ἑστὼς ἐπί τινος δώματος λύκον τινὰ παριόντα καὶ τὴν πορείαν ἐκεῖθεν ποιούμενον ἐλοιδόρει καὶ αἱμοβόρον ἐκάλει καὶ ὠμόφαγον. Ὁ δὲ ἔφη· « Οὐ σύ με λοιδορεῖς, ἀλλ' ὁ τόπος ἐν ᾧ ἵστασαι. »

Codd. Mk 51 Mh 47.

1 δώματος ἐπεινοτάτου καὶ ὑψιλωτάτου ἑστὼς Mh || 2 πορίαν Mh || ποιούμενος Mh || καὶ ὁμὸν ἀπεχάλει αὐτόν. Mh || 3 Ὁ δὲ λύκος ἔφη· Ὦ οὗτος Mh || με om. Mh || 4 ἔστικας Mh.

Digitized by Google

Ὁ μῦθος δηλοῖ ὅτι πολλάκις καὶ ὁ τόπος καὶ ὁ χρόνος δίδωσι τοῖς ἥττοσι θράσος κατὰ τῶν ἀμεινόνων.

5 καὶ ὁ τόπος πολλάκις Mk || 6 τοῖς ἥττοσι om. Mh || τὸ θράσος Mh.

Aliter.

Λύκος καὶ ἀρνός.

Λύκος διήρχετο ἔξω τοῦ τείχους, ἔνθα ἀρνὸς παρακύψας ὕβριζε πολλὰ τὸν λύκον. Κἀκεῖνος τοὺς ὀδόντας τρίζων εἶπεν· « Ὁ τόπος με λοιδορεῖ· σὺ μὴ καυχῶ. » Ὅτι καὶ καιροὶ φέρουσι καὶ τόπων διαστάσεις εὐτελίζεσθαι καὶ ἀτιμάζεσθαι παρὰ εὐτελῶν καὶ ἀγενῶν ἐνδόξους.

Codd. Ba 81 Bb 51.

1 ἔξωθεν τοίχους Ba || 2 Κἀκείνως ὀδόντας Ba || 5 ἔνδοξοι Ba ἐν δόξῃ Bb.

Aliter.

Λύκος δέ ποτε ἔξω τείχους ὑπῆρχεν·
ἀρνὸς δ' αὐτὸν ὕβριζεν ἄνω τυγχάνων.
Ὁ δὲ στενάξας ἐκ βάθους τῆς καρδίας
τρίζων ὀδόντας πρὸς τὸν ἄρνον ἐβόα·
« Αὐτὸς ὁ τόπος κατακρατεῖ με κάτω·
μὴ μάλα καυχῶ, ἀτυχέστατον ζῷον. »

Ὅτι καιροὶ φέρουσι καὶ τόπων διαστάσεις εὐτελίζεσθαι καὶ ἀτιμάζεσθαι παρὰ εὐτελῶν καὶ ἀγενῶν ἀνθρώπων.

Cod. Mb 106.

2 Cod. : ἄνω δὲ ἀρνὸς τυγχάνων ὕβριζεν αὐτόν : uocabula transposui pro necessitate uersus.

Aliter.

Ἀρνὸς καὶ λύκος.

Ἀρνὸς ἐφ' ὑψηλοῦ πύργου ἱστάμενος λύκον κάτωθεν παριόντα τὴν ὁδὸν ἔσκωπτε, καὶ θηρίον κακὸν ἀπεκάλει καὶ αἱμοβόρον. Ὁ δὲ λύκος στραφεὶς εἶπε πρὸς αὐτόν· « Οὐ σύ με λοιδορεῖς, ἀλλ' ὁ πύργος ἐν ᾧ ἵστασαι. »
Ὁ μῦθος πρὸς τοὺς ὑπομένοντας ὕβριν ἀπὸ ἀναξίων ἀνθρώπων διὰ φόβον ὑψηλοτέρων.

Codd. T 4.

1 τόπου ἢ πύργου cod. || 2 καλὸν pro κακὸν cod.

Digitized by Google

108

Ἔριφος καὶ λύκος ⟨αὐλῶν⟩.

Ἔριφος ὑστερήσας ἀπὸ ποίμνης ὑπὸ λύκου κατεδιώκετο· ἐπιστραφεὶς δὲ ὁ ἔριφος λέγει τῷ λύκῳ· « Πέπεισμαι, λύκε, ὅτι σὸν βρῶμά εἰμι· ἀλλ' ἵνα μὴ ἀδόξως ἀποθάνω, αὔλησον, ὅπως ὀρχήσωμαι. » Αὐλοῦντος δὲ τοῦ λύκου καὶ ὀρχουμένου τοῦ ἐρίφου, οἱ κύνες ἀκούσαντες καὶ ἐξελθόντες κατεδίωκον τὸν λύκον. Ἐπιστραφεὶς δὲ ὁ λύκος λέγει τῷ ἐρίφῳ· « Ταῦτα ἐμοὶ καλῶς γίνεται· ἔδει γάρ με μακελλάριον ὄντα αὐλητὴν μὴ μιμεῖσθαι. »

Οὕτως οἱ παρὰ γνώμην τοῦ καιροῦ τι πράττοντες καὶ ὧν ἐν χερσὶν ἔχουσιν ὑστεροῦνται.

Codd. Pa 92 Pb 98 Pe 58 Pg 59 Ma 70 Mb 56 Ca 74.

1 πλανηθεὶς pro ὑστερήσας Pe || ὑπὸ pro ἀπὸ Pa || ποίμνης ποτὲ Pg Mb Ca || λύκων Mb || διώκετο Pe || **2** Τοῦ δὲ ἐρίφου ἀτονήσαντος καὶ τοῦ λύκου καταλαβόντος, ἐπιστραφεὶς ὁ ἔριφος Mb || Ἀληθῶς πέπεισμαι Ca || **3** λύκε om. Pg Mb Ca || ἄδοξος Pe || **4** ὀρχήσομαι Pa Pb Ma || **5** τοῦ ἐρίφου ὀρχουμένου Pb Ma Ca || ἀκούσαντες οἱ κύνες Ca || ἐπακούσαντες Pg || καὶ (καὶ om. Pa) ἐξελθόντες Pa Pb om. ceteri || **6** τὸν λύκον ἐδίωκον Pb κατεδίωξαν τὸν λύκον. ceteri excepto Pa || Ὁ δὲ ἐπιστραφεὶς Pb || **7** τῷ ἐρίφῳ εἶπε Pe || Ταῦτα ἐμοὶ καὶ εὖ γε δὴ Pg Mb || Ταῦτα ἐμοί, ὦ ἔριφε, ὅτι μακελλάριον ὄντα με αὐλητὴν μιμεῖσθαι πεποίηκας Ca || με om. Pg || **8** κελάριον correctum in μακελάριον Pa μακελλάρην Pe || μὴ om. Pg || γίνεσθαι Pe || **9** Epim. om. Pe Mb Ca || Πρὸς τοὺς περὶ τὴν ἑαυτῶν τύχην τι πράττοντας Pg Ὁ λόγος δηλοῖ ὅτι καὶ οὔρου δραξάμενος πρὸς ὃ πέφυκεν ἔκτεινε Ma.

Aliter.

Ἔριφος πλανηθεῖσα τῆς ποίμνης ὑπὸ λύκου ἐδιώκετο. Τῆς δὲ ἐρίφου ἀτονησάσης καὶ τοῦ λύκου καταλαβόντος, στραφεῖσα ἡ ἔριφος πρὸς τὸν λύκον εἶπεν· « Ὅτι μὲν σὸν βρῶμά εἰμι ἀκριβῶς ἐπίσταμαι, ἀλλα ἵνα μὴ ἀδόξως ἀποθάνω, αὔλει μοι ὡς ὀρχῶμαι. » Τοῦ δὲ λύκου αὐλοῦντος

Codd. Pf 43 Ph 45 Me 60 Mf 54.

4 ἀποδόξως Mf || **5** ὡς ὀρχῶμαι nos καὶ ἂς ὀρχοῦμαι Pf καὶ ὀρχοῦμαι ceteri.

καὶ τῆς ἐρίφου ὀρχουμένης, οἱ κύνες τοῦ ποιμένος ἀκούσαντες τὸν λύκον κατέλαβον καὶ ἐδίωκον, κἀκεῖνος φεύγων ἐφώνει· « Ἀξίως πάσχω· ἔδει γάρ με ἀντ' αὐλητοῦ μακελλάριον εἶναι. »

Ὅτι καὶ τοῖς φύσει πονηροῖς ἡ διὰ λόγων ταπείνωσις οἶδε κατάνυξιν ἐμποιεῖν.

6 ποιμένος κατέλαβον· κἀκεῖνος ceteris omissis Pf Ph || **7** ἐκεῖνος δὲ Me Mf || **8** αὐλητῶν Ph || μακελάριον Pf || με μάγειρον ὄντα αὐλητὴν μὴ μιμεῖσθαι Me Mf || **11** κατὰ νύξιν Pf.

Aliter.

Ἔριφος ὑστερήσασα τῆς ποίμνης ὑπὸ λύκου κατεδιώκετο· ἐπιστραφεῖσα δὲ πρὸς αὐτὸν εἶπεν· « Ὦ λύκε, ἐπεὶ πέπεισμαι ὅτι σὸν βρῶμα γενήσομαι, ἵνα μὴ ἀηδῶς ἀποθάνω, αὔλησον πρῶτον, ὅπως ὀρχήσωμαι. » Τοῦ δὲ λύκου αὐλοῦντος καὶ τῆς ἐρίφου ὀρχουμένης, οἱ κύνες ἀκούσαντες τὸν λύκον ἐδίωκον. Ὁ δὲ ἐπιστραφεὶς τῇ ἐρίφῳ φησί· « Δικαίως ταῦτά μοι γίνεται· ἔδει γάρ με μάγειρον ὄντα αὐλητὴν μὴ μιμεῖσθαι. »

Ὁ μῦθος δηλοῖ ὅτι οἱ τῶν μὲν πρὸς ἃ πεφύκασι ἀμελοῦντες, τὰ δὲ ἑτέρων ἐπιτηδεύειν πειρώμενοι δυστυχίαις περιπίπτουσιν.

Codd. La 98 Lb 53 Le 53 Lf 98 Lh 20 Mg 76 Mi 87 Mj 63 Ml 64.

1 ὑστερήσας Mg || ἐδιώκετο Mj || **4** ὀρχήσομαι Lf Lh Mj || **9** Epim. om. Le Lf Lh Mg, addidit in margine Lb ; euanidum est in Ml ; idem atque Pf habet Mj.

109

Ἑρμῆς καὶ ἀγαλματοποιός.

Ἑρμῆς βουλόμενος γνῶναι ἐν τίνι τιμῇ παρὰ ἀνθρώποις ἐστίν, ἧκεν ἀφομοιωθεὶς ἀνθρώπῳ εἰς ἀγαλματοποιοῦ ἐργαστήριον. Καὶ θεασάμενος Διὸς ἄγαλμα ἐπυνθάνετο

Codd. Pa 85 Pb 89 Pc 46 Pe 53 Pg 56.

1 γνῶναι βουλόμενος Pb || τοῖς ἀνθρώποις Pg || **2** ἐστίν Pc Pe ἦ Pa ἐσθίειν Pb ἔσται Pg || ἧκεν εἰς ἀγαλματοποιίας ἐργαστήριον ἀφομοιωθεὶς ἀνθρώπῳ Pe || καὶ ὁρᾷ pro εἰς Pa Pc || **3** Θεασάμενος δὲ Pg || ἄγαλμα Διός Pe || ἐπύθετο Pb || ἐπυνθάνετο παρὰ τοῦ τεχνίτου πόσον ἐστὶν ἡ ὠνὴ καὶ ἡ ζύγησις Pe.

Digitized by Google

πόσου. Εἰπόντος δὲ αὐτοῦ ὅτι δραχμῆς, γελάσας ἠρώτα τὸ τῆς Ἥρας πόσου. Εἰπόντος δὲ ἔτι μείζονος, θεασάμενος καὶ αὐτοῦ ἄγαλμα ὑπέλαβεν ὅτι αὐτόν, ἐπειδὴ καὶ ἄγγελός ἐστι καὶ ἐπικερδής, περὶ πολλοῦ ποιοῦνται οἱ ἄνθρωποι. Διόπερ ἐπυνθάνετο ὁ Ἑρμῆς πόσου, καὶ ὁ ἀγαλματογλύφος ἔφη· « Ἀλλ' ἐὰν τούτους ἀγοράσῃς, τοῦτόν σοι προσθήκην δώσω. »

Πρὸς ἄνδρα κενόδοξον ἐν οὐδεμίᾳ μοίρᾳ παρὰ τοῖς ἄλλοις ὄντα ὁ λόγος ἁρμόζει.

4 Τοῦ δὲ εἰπόντος δραχμῆς Pb Pc Pe Pg || πάλιν ἠρώτα Pe || **5** καὶ τὸ Pe || τὸ om. Pa Pb || πόσου (πόσον Pe) ἐστί (ἔσται Pg) Pb Pe Pg || Τοῦ δὲ πάλιν εἰπόντος πλεῖον Pe || πλείονος Pc || καὶ θεασάμενος Pa Pc || ἐθεάσατο καὶ τὸ αὐτοῦ ἄγαλμα. Ὑπολαβὼν ὁ τεχνίτης, ἐπειδὴ ἄγγελός ἐστι καὶ ἐπικερδὴς περιποιεῖται, διόπερ ἐπυνθάνετο ὁ Ἑρμῆς, ἔφη πρὸς αὐτόν· « Ἐὰν τοῦτον ἀγοράσῃς, τοῦτό σοι προσθήκην δώσω Pe || **6** αὐτοῦ Pa Pc || **7** ἐστι om. Pa Pc || περὶ om. Pc || πόλου Pb || οἱ ἄνθρωποι ποιοῦνται Pb || τίθενται Pc || **8** Διὸ προσεπυνθάνετο Pb || πόσου om. Pa Pb Pg || **9** Ἀλλ' om. Pc || τοῦτο ἀγοράσῃς, τοῦτο Pg || **11** καινόδοξον Pa || περὶ Pb || **12** ἁρμόσει Pc || **11-12** Ὁ λόγος οὗτος ἁρμόζει πρὸς ἄνδρα κενόδοξον. οὐδεμία γὰρ μόφη περὶ τῆς ἄλλης οἴονται Pe.

Aliter.

Ἑρμῆς γνῶναι βουλόμενος ἐν τίνι τιμῇ παρ' ἀνθρώποις ἐστίν, ἧκεν εἰς ἀγαλματοποιοῦ, ἑαυτὸν εἰκάσας ἀνθρώπῳ, καὶ θεασάμενος ἄγαλμα τοῦ Διὸς ἠρώτα πόσου τις αὐτὸ πρίασθαι δύναται. Τοῦ δὲ εἰπόντος δραχμῆς, γελάσας πόσου τὸ τῆς Ἥρας ἔφη. Εἰπόντος δὲ πλείονος, ἰδὼν καὶ τὸ ἑαυτοῦ ἄγαλμα, καὶ νομίσας ὡς, ἐπειδὴ ἄγγελός ἐστι θεῶν καὶ κερδῷος, πολὺν αὐτοῦ παρὰ τοῖς ἀνθρώποις εἶναι τὸν λόγον, ἤρετο περὶ αὐτοῦ. Ὁ δ' ἀγαλματοποιὸς ἔφη· « Ἐὰν τούτους ὠνήσῃ, καὶ τοῦτον προσθήκην σοι δίδωμι. »

Codd. La 94 Lb 49 Le 49 Lf 94 Me 56 Mf 50 Mg 72 Mj 59 Ml 65.

2 ἧκεν om. Le || ἀγαλματοποιῶν Le || **3** πόσου τιμῆς Le || **4** δύναται πρίασθαι Ml || **5** ἠρώτα πόσου καὶ τὸ τῆς Ἥρας Lb Le M excepto Mg || ἔφη om. Lf || **6** καὶ ante νομίσας om. Ml || **7** τῶν θεῶν Mj || πολὺν αὐτοῦ παρὰ τοῖς ἀγαλματοποιοῖς ἔφη· Ἐὰν Mg una linea omissa || **8** τὸν ante λόγον om. Lb Le || καὶ περὶ Le Me Mf Mj Ml || δ' om. Le || **9** ὠνήσῃς Lb || δώσω Le.

Digitized by Google

Ὁ μῦθος πρὸς ἄνδρα κενόδοξον οὐδεμιᾷ παρ' ἄλλοις ὄντα τιμῇ.

10 Ὁ μῦθος δηλοῖ πρὸς Mf Πρὸς ἄνδρα Mg Πρὸς ἄνδρα δηλοῖ Mj || μηδεμιᾷ Mg || ἄλλους La τοὺς ἄλλους Le Mj τοῖς ἄλλοις Lb Le Mc Mf || 11 μορφῇ Lb Le M excepto Mg.

110

Ἑρμῆς καὶ γῆ.

Ζεὺς πλάσας ἄνδρα καὶ γυναῖκα ἐκέλευσεν Ἑρμῆν ἀγαγεῖν αὐτοὺς ἐπὶ τὴν Γῆν καὶ δεῖξαι ὅθεν ὀρύξαντες σπήλαιον ποιήσουσι. Τοῦ δὲ τὸ προσταχθὲν ποιήσαντος, ἡ Γῆ τὸ μὲν πρῶτον ἐκώλυεν. Ὡς δὲ Ἑρμῆς ἠνάγκαζε λέγων τὸν Δία προστεταχέναι, ἔφη· « Ἀλλ' ὀρυσσέτωσαν ὅσον βούλονται· στένοντες γὰρ αὐτὸ καὶ κλαίοντες ἀποδώσουσι. »

Πρὸς τοὺς ῥᾳδίως δανειζομένους, μετὰ λύπης δὲ ἀποδιδόντας ὁ λόγος εὔκαιρος.

Codd. Pa 95 Pb 102 Pc 52 Pf 51 Pg 66 Ma 74 Me 66 Mf 58 Mj 66.

1 ἐκάλευσεν Pa || Ἑρμῆν Pc Ἑρμῇ ceteri || 2 ὀρύξοντες Ma || ὀρύσσοντες πλέον οἰήσουσι (-σωσιν Pf) Pf Me Mf || πλέον οἴσονται Mj Forsan : ὀρύσσοντες τροφὴν ἑαυτοῖς πορίσουσι || 3 ποιήσουσι.. προσταχθὲν om. Ma || 4 τὸ πρῶτον Pf Me Mf || Ὁ δὲ Ἑρμῆς Pb Ma Ὁ Ἑρμῆς Me || 5 προστεταχθέναι Ma || ἔφη om. Pf || ὅσον Ma ὅσην ceteri || 6 κλέοντες γὰρ καὶ στένοντες ἀποδώσουσι Ma || αὐτὸ Furia αὐτὴν libri || κλέοντες παραδώσουσιν Pa || 8 ῥάδιον Pc -ίως μὲν Pf Me || καὶ μετὰ νίκης Pb || Ὁ μῦθος δηλοῖ ὅτι πρὸς τούς.... ὁ λόγος εὔκαιρος Mj || ὁ λόγος εὔκαιρος om. Pg.

111

Ἑρμῆς καὶ Τειρεσίας.

Ἑρμῆς βουλόμενος τὴν Τειρεσίου μαντικὴν πειρᾶσαι εἰ ἀληθής ἐστι, κλέψας αὐτοῦ τοὺς βόας ἐξ ἀγροῦ, ἧκε πρὸς

Codd. Pb 90 Pf 44 Ph 46.

2 ἤνεγκεν (ἤγαγεν Ph) αὐτοὺς εἰς ἄστυ Pf Ph.

Digitized by Google

αὐτὸν εἰς ἄστυ, ὁμοιωθεὶς ἀνθρώπῳ, καὶ ἐπεξενώθη παρ' αὐτῷ. Παραγγελθείσης δὲ τῷ Τειρεσίᾳ τῆς τοῦ ζεύγους ἀπωλείας, παραλαβὼν τὸν Ἑρμῆν, ἧκεν εἰς τὸ προαστεῖον, οἰωνόν τινα περὶ τῆς κλοπῆς σκεψόμενος, καὶ τούτῳ παρῄνει λέγειν ὅ τι ἂν θεάσηται ὄρνεον. Καὶ ὁ Ἑρμῆς τὸ μὲν πρῶτον θεασάμενος ἀετὸν ἐξ ἀριστερῶν ἐπὶ δεξιὰ παριπτάμενον, ἀπήγγειλεν αὐτῷ. Τοῦ δὲ εἰπόντος μὴ πρὸς αὐτοὺς τοῦτον εἶναι, ἐκ δευτέρου ἰδὼν κορώνην ἐπί τινος δένδρου καθημένην, καὶ ποτὲ μὲν ἄνω βλέπουσαν, ποτὲ δὲ εἰς γῆν κύπτουσαν, ἐδήλωσεν αὐτῷ. Ὁ δὲ ὑποτυχὼν ἔφη. « Ἀλλ' αὕτη γε ἡ κορώνη διόμνυται τόν τε Οὐρανὸν καὶ τὴν Γῆν ὅτι, ἂν σὺ θέλῃς, τοὺς ἐμαυτοῦ βόας ἀπολήψομαι. »

Τούτῳ τῷ λόγῳ χρήσαιτο ἄν τις πρὸς ἄνδρα κλέπτην.

3 ἐξενώθη Pf Ph || **4** Προαπελθούσης Pb Ἀγγελθείσης Ph || περὶ τῆς Pf Ph || ζεύγου Pb || **6** οἰονεῖν pro οἰωνὸν Ph || σκεπτόμενος Pb || τοῦτον παραινεῖ λέγων Pb || **7** παρῄνει ὡς, ἐὰν θεάσηται ὄρνεον, εἴπῃ αὐτῷ Ph || εἴ τι pro ὅ τι Pb || ὅτι ἐὰν Pf || **9** περιιπτάμενον Pf Ph || **10** τοῦτον Schneider τοῦτο libri || **12** εἶπεν Pf Ph || **13** γε om. Pb || ἡ om. Pf || **14** σὺ om. Pb || λήψομαι Pf Ph || **15** Ὅτι ἡ θεία πρόνοια βουλομένη πάντα φανερὰ καθίστησιν Pf Ph.

Aliter

Ἑρμῆς βουλόμενος τὴν Τειρεσίου μαντικὴν εἰ ἀληθής ἐστι γνῶναι, κλέψας τὰς αὐτοῦ βοῦς ἐξ ἀγροικίας, ἧκεν ὡς αὐτὸν εἰς ἄστυ, ὁμοιωθεὶς ἀνθρώπῳ, καὶ παρ' αὐτῷ κατήχθη. Τῆς δὲ τῶν βοῶν ἀπωλείας ἀγγελθείσης τῷ Τειρεσίᾳ, ἐκεῖνος παραλαβὼν τὸν Ἑρμῆν ἐξῆλθεν, οἰωνόν τινα περὶ τοῦ κλέπτου σκεψόμενος καὶ τούτῳ παρῄνει φράζειν αὐτῷ ὅντινα ἂν τῶν ὀρνίθων θεάσηται. Ὁ δὲ Ἑρμῆς τὸ μὲν πρῶτον θεασάμενος ἀετὸν ἐξ ἀριστερῶν ἐπὶ τὰ δεξιὰ διιπτάμενον, ἔφρασε. Τοῦ δὲ φήσαντος μὴ

Codd. La 95 Lb 50 Le 50 Lf 95 Me 57 Mf 51 Mg 73 Mj 60 Ml 66.

2 τὰς ἑαυτοῦ Lb || ἐξ ἀγροῦ Mj || **4** κατήχθη. Ὁ δὲ τοῦτον λαβὼν ἐξῆλθεν mediis omissis Mg || **5** ἐξῆλθεν εἰς τὸ πρόαστειον Me || **6** ἐπὶ τοῦ κλέπτου Me || τοῦτο παρῄνει Le || **7** αὐτῷ φράζειν Lb || **9** περιιπτάμενον Lb Me Mf || ἀπήγγειλεν αὐτῷ. Τοῦ δὲ εἰπόντος Me Mf.

Digitized by Google

πρὸς αὐτοὺς εἶναι τοῦτον, ἐκ δευτέρου κορώνην εἶδεν ἐπί τινος δένδρου καθημένην, καὶ ποτὲ μὲν ἄνω βλέπουσαν, ποτὲ δὲ πρὸς τὴν γῆν κατακύπτουσαν, καὶ τῷ μάντει φράζει. Καὶ ὃς ὑποτυχὼν εἶπεν· « Ἀλλ' αὕτη γε ἡ κορώνη διόμνυται τόν τε Οὐρανὸν καὶ τὴν Γῆν ὡς, ἐὰν σὺ θέλῃς, τὰς ἐμὰς ἀπολήψομαι βοῦς. »

Τούτῳ τῷ λόγῳ χρήσαιτο ἄν τις πρὸς ἄνδρα κλέπτην.

10 εἶναι τοῦτο Me Mf Mg || **12** κύπτουσαν Me Mf || **13** Καὶ om. Ml || Ὁ δὲ ὑποτυχὼν Me Mf. || Καὶ ὃς ὑπὸ τὸν οὐρανὸν omissis τυχὼν... διόμνυται Mg || γε om. Lb Le || **14** τε om. Ml || **15** τοὺς (τὰς Mf) ἐμαυτοῦ βόας ἀπολήψομαι Me Mf || **16** ἂν om. Mg || Ὅτι ἡ θεία πρόνοια βουλομένη πάντα φανερὰ καθίστησιν Me Mf.

112

Ἑρμῆς καὶ τεχνῖται.

Ζεὺς Ἑρμῇ προσέταξε πᾶσι τοῖς τεχνίταις ψεύδους φάρμακον χέαι. Ὁ δὲ τοῦτο τρίψας καὶ μέτρον ποιήσας ἴσον ἑκάστῳ ἐνέχει. Ἐπεὶ δέ, μόνου τοῦ σκυτέως ὑπολειφθέντος, πολὺ φάρμακον κατελείπετο, λαβὼν ὅλην τὴν χύσιν κατ' αὐτοῦ κατέχεεν. Ἐκ τούτου συνέβη τοὺς τεχνίτας πάντας ψεύδεσθαι, μάλιστα δὲ πάντων τοὺς σκυτέας.

Codd. Pa 96 et 101 Pf 52 Ph 53 Ma 75 Mb 58 Me 67 Mf 59 Mj 67 — La 107 Lb 55 Le 55 Lf 107 Lh 19 Ml 72.

1 Ὁ Ζεὺς Mf || Ἑρμῆν L Ml || τοῖς τε Lb || **2** χεῖν Pa 101 ἐκχέαι Ma ἐγχεῖν L || τρίτον ῥίψας pro τρίψας Pa 101 || **3** ὅσον pro ἴσον Mb || ἐγχεῖ Pa 96 ἐνέχεεν Me Mf Ml L excepto Lf ἔχεεν Ma ἀνέχεεν Lf || ἰατροῦ pro σκυτέως Pa 101 || ὑπολιπόντος Pa -λείποντος Ma -ληφθέντος Ml || **4** κατελείπτετο Pf κατέλειπε Ma κατελέλειπτο Mj || κατελέλειπτο (κατελείπετο Me Mf) φάρμακον L Me Mf Ml || λαβὼν οὖν Pa 101 Ma καὶ λαβὼν Pf Me Mf Mj || ὅλην λαβὼν τὴν θυείαν (θυΐαν Ml) ἐνέχεεν αὐτῷ L Ml || ὅλην om. Ma || **5** τρυγίαν pro χύσιν Pf Ph Mj τρύγα Me Mf θυείαν Mb θυίαν Pa 101 Ma Ml || κατ' αὐτοῦ om. Pf Ph Mj || κατέχεεν αὐτῷ Me Mf || Ἐκ τούτου οὖν Ma Κἀκ τούτου L Ml || **6** ἅπαντας L πάντας μὲν Pf Me Mf Mj || πάντας μὲν τοὺς τεχνίτας Ph || πάντων δὲ μάλιστα τοὺς σκυτεῖς Pf Me Mf Mj μάλιστα δὲ πάντων τοὺς σκυτεῖς Ph μάλιστα δὲ πάντων τοὺς ἰατρούς Pa 101 || δὲ om. Pa 96 || πάντων om. Pa 96 Ma Mb || σκυτεῖς Ma Mb.

Digitized by Google

Πρὸς ἄνδρα ψευδολόγον ὁ λόγος εὔκαιρος.

7 Ἔλεγχον μῦθος (ὁ μ- Me Mf) ἔχει πρὸς (Ἔλεγχος πρὸς Ph) τὸ ψεύδεσθαι μὲν τοὺς τεχνίτας, μάλιστα δὲ τοὺς σκυτοτόμους Pf Ph Me Mf Mj || Ὁ λόγος εὔκαιρος πρὸς ἄνδρα ψευδολόγον Pa 101 Ὁ λόγος δηλοῖ ρος πρὸς ἄνδρα ψευδολόγος Ma Ὁ λόγος πρὸς ἄνδρας ψευδολόγους Mb Ὁ μῦθος πρὸς ψευδολόγους τεχνίτας La Lf Πρὸς ψευδολόγους Lb Le Lh Ml.

113

Ἑρμοῦ ἅμαξα καὶ Ἄραβες.

Ἑρμῆς ποτε ἅμαξαν ψευσμάτων καὶ πανουργίας καὶ ἀπάτης μεστὴν διὰ πάσης ἤλαυνε γῆς, κατὰ χώραν μικρόν τι διανέμων τοῦ φόρτου. Ὡς δὲ εἰς τὴν τῶν Ἀράβων χώραν ἦλθε, λέγεται ἐξαίφνης συντριβῆναι τὴν ἅμαξαν. Οἱ δὲ ὥσπερ πολύτιμον φόρτον τὰ ἐξ αὐτῆς ἁρπάσαντες οὐκ ἀφῆκαν εἰς ἄλλους ἀνθρώπους προελθεῖν.

Ὅτι Ἄραβες ὑπὲρ πᾶν ἔθνος ψευσταὶ καὶ ἀπατεῶνες εἰσίν· ἐν γλώσσῃ γὰρ αὐτῶν οὐκ ἔστιν ἀλήθεια.

Cod. Ba 40.

Aliter.

Ἑρμῆς ποτε ψεύσματα καὶ πανουργίας θεὶς εἰς ἅμαξαν εἰς πᾶσαν γῆν ἀπήει. Ὡς δὲ Ἀράβων κατήντησε τὴν χώραν, συντρίβει τὴν ἅμαξαν κενὴν φορτίων· οἱ δὲ εἰς ἄλλους τόπους οὐκ εἴασαν ὁδεῦσαι.

Hic desinit folium u° 30; folium 31 incipit sic οὐδὲ τὰ κοινὰ τοῖς ἀνθρώποις ἐπιτελεῖν δυνάμενοι quae non pertinent ad nostram fabulam; primum folium quaternionis excidit.

Cod. Mb 52.

114

Εὔνουχος καὶ ἱερεύς.

Εὔνουχος προσῆλθε ἱερεῖ, θυσίαν ὑπὲρ αὐτοῦ ποιῆσαι παρακαλῶν εἰς τὸ γενέσθαι παίδων πατέρα. Ὁ δὲ ἱερεὺς ἔφη· « Ὅτε μὲν πρὸς τὴν θυσίαν ἀπίδω, πατέρα σε γενέσθαι παίδων παρακαλῶ· ὅτε δὲ τὴν σὴν ὄψιν ἴδω, οὐδ' ἀνὴρ φαίνῃ. »

Cod. Bd 19.

(Cf. Babrium 54 Εὔνουχος καὶ θύτης.)

Digitized by Google

115

Ἐχθροὶ δύο.

Δύο ἐχθροὶ ἐν μιᾷ νηὶ ἔπλεον· καὶ βουλόμενοι πολὺ ἀλλήλων διεζεῦχθαι ὥρμησαν ὁ μὲν ἐπὶ τὴν πρῶραν, ὁ δὲ ἐπὶ τὴν πρύμναν καὶ ἐνταῦθα ἔμενον. Χειμῶνος δὲ σφοδροῦ καταλαβόντος καὶ τῆς νηὸς περιτρεπομένης, ὁ ἐν τῇ πρύμνῃ ἐπυνθάνετο παρὰ τοῦ κυβερνήτου περὶ ποῖον μέρος καταδύεσθαι τὸ σκάφος πρῶτον κινδυνεύει. Τοῦ δὲ εἰπόντος· « Κατὰ τὴν πρῶραν, » ἔφη· « Ἀλλ' ἐμοίγε οὐκέτι λυπηρὸς ὁ θάνατός ἐστιν, εἴγε ὁρᾶν μέλλω τὸν ἐχθρόν μου ἀποπνιγόμενον πρῶτον. »

Οὕτως ἔνιοι τῶν ἀνθρώπων διὰ τὴν πρὸς τοὺς πέλας δυσμένειαν αἱροῦνται καὶ αὐτοί τι δεινὸν πάσχειν ὑπὲρ τοῦ κἀκείνους ὁρᾶν συνδυστυχοῦντας.

Codd. Pa 67 Pb 68 Pc 34 Pe 35 Pf 32 Pg 44 Ph 34 Ma 48.

1 Δύο ἐν ταὐτῷ ἐχθροὶ Ma || καὶ βουλόμενοι Pa Pc βουλόμενοι δὲ ceteri || πολὺ om. Pe πολλοὶ Ph || ἀλλήλων πολὺ Pb || βουλόμενοι δὲ ἄλλος ἀλλήλοις διαζευχθῆναι Ma || 2 διαζεῦχθαι Pa Pf διαζευχθῆναι Pe Ma διεξέχεσθαι Pc || ὥρμησαν om. Ma || πρῶραν καθεζόμενος Pe || ὁ μὲν ἐπὶ τὴν προίμνην, ὁ δὲ ἐπὶ τὴν πρῶραν Ma || 3 πρύμνην Pc Pe || καὶ.. ἔμενον om. Ph || Κινδύνου δὲ καταλαβόντος Pe || Χειμῶνος δὲ πολλοῦ Pg || 4 καὶ om. Ma || νεὼς Pc || περιτραπείσης Pf Ph || ὁ ἐν τῇ πρύμνῃ om. Pa Pc Pg || ἐν τῇ πρύμνῃ καθήμενος Pe || 5 τινος pro παρὰ τοῦ κυβερνήτου Pb || λέγων ποῖον μέρος τοῦ σκάφους καταδύεται πρῶτον Pe || πρὸς ποῖον Pc || ποῖον (περὶ omisso) μέρος πρῶτον τοῦ σκάφους κινδυνεύσει Ph || 6 καταδύεται τὸ σκάφος πρῶτον κινδυνεῦον Pb || πρῶτον τὸ σκάφος εἰ κινδυνεύσει Pf || πρῶτον τὸ σκάφος Ma || κινδυνεύειν Pa Pc || Τοῦ δὲ ναυκλήρου εἰπόντος· « Ἡ πρῶρα », ἐκεῖνος ἔφη Pe || 7 Τὸ τῆς πρώρας Ph || ἐμοὶ Pe || 8 λυπηρὸν Ph || ἐστιν om. Pa ἔσται Ph || εἴ γε μέλλω τὸν ἐχθρόν μου προαποπνιγόμενον ὁρᾶν Ph || 9 προαποπνιγόμενον Pb Pc προαγόμενον μοι Pe προαπαγόμενον Ma || πρῶτον om. libri excepto Pa || 10 Ma epim. in fabula sequenti habet || Οὕτως εἰσὶν οἱ τῶν ἀνθρώπων παῖδες· διὰ... Pe || τὰς... δυσμενείας Pa || τοὺς ἐχθροὺς Pb Pe Ma τὸν πέλας Ph || 11 αὐτοὶ om. Pf Ph || τὸ δεινὸν Pb δεινόν τι Pe καί τι δεινὸν Pf Ph δεινὰ Ma || ὑπ' αὐτοὺς pro ὑπὲρ τοῦ Pa χάριν τοῦ Pb δια τὸ Pe περὶ τοῦ Ma || 12 δυστυχοῦντας Pb Pc Pe Pg.

Digitized by Google

Aliter.

Δύο τινὲς πρὸς ἀλλήλους ἔχθραν ἔχοντες ἐν μιᾷ νηὶ ἔπλεον. Βουλόμενοι δὲ πολὺ ἀπ' ἀλλήλων διεζεῦχθαι, ὥρμησεν ὁ μὲν εἷς ἐπὶ τὴν πρῷραν, ὁ δὲ ἕτερος ἐπὶ τὴν πρύμναν, καὶ ἐνταῦθα ἔμενον. Χειμῶνος δὲ σφοδροῦ καταλαβόντος καὶ τῆς νηὸς καταποντίζεσθαι μελλούσης, ὁ ἐπὶ τῇ πρύμνῃ καθήμενος ἐπυνθάνετο, τῷ κυβερνήτῃ λέγων· « Ὦ οὗτος, ποῖον μέρος μέλλει πρότερον καταποντίζεσθαι τοῦ σκάφους; » Τοῦ δὲ εἰπόντος· « Ἡ πρῷρα, » ἔφη· « Ἀλλ' ἔμοιγε οὐκέτι λυπηρὸς ὁ θάνατος ἔσται, εἴγε ὁρᾶν μέλλω τὸν ἐχθρόν μου προαποπνιγόμενον. »

Ὁ μῦθος δηλοῖ ὅτι πολλοὶ τῶν ἀνθρώπων διὰ τὴν πρὸς τοὺς ἐχθροὺς μῆνιν αἱροῦνται τὸ πρῶτον ἰδεῖν αὐτοὺς ἐπὶ συμφορὰν διὰ τὴν δυσμένειαν· ἔπειτα καὶ αὐτοὶ μετὰ ταῦτα, ἐάν τι δεινὸν πάσχωσιν, ὑπομένουσι.

Codd. Ca 58 Cb 40 Cd 37 Ce 42 Cf 46 Ch 47 Mc 40 Mh 40 Mk 44.

1 ἔχθρας πρὸς ἀλλήλους Ch || ἔχθραν ἔχοντες πρὸς ἀλλήλους Ce || ἔχοντες ἔχθραν Mh || ἐν μηνίδι Mh ἐν νυκτὶ Mk pro ἐν μιᾷ νηΐ || **2** διέπλεον Cf || Καὶ δὴ βουλόμενος ὁ εἷς τῷ ἑτέρῳ μὴ πλησιάσαι Cb Cd Mc Mk Καὶ δὴ (δὴ om. Mh) μὴ βουλόμενοι (-νος Cf Ch) ὁ εἷς (ὁ μὲν Mh) τῷ ἑτέρῳ πλησιάσαι Ce Cf Ch Mh || **3** ὥρμησεν (ὅρμησαν Ce) ὁ εἷς (ὁ μὲν Ce ὁ μὲν εἷς Cf Ch Mh) ἐπὶ (εἰς Mh) τὴν πρύμνην (-ναν Ce Mh), ὁ δὲ (καὶ ὁ Cb Cd) ἕτερος ἐπὶ τὴν πρῷραν Cb Cd Ce Cf Ch Mc Mh || ὥρμησε καὶ ἀπῆλθεν ἐπὶ τὴν πρύμνην, ὁ δὲ ἕτερος ἐπὶ τὴν πρῷραν ἔμενεν Mk || **4** καὶ ἐνταῦθα ἔμενον om. Cb Cd Ce Cf Ch || Χειμῶνος δὲ πολλοῦ Cb Mc Mk || καταλαβόντος Ca γενομένου ceteri || **5** νεὼς Mk || ἤδη καταποντοῦσθαι μελλούσης Mh || ἤδη μελλούσης libri excepto Ca Mh || ὁ (ὁ om. Cb) ἐν τῇ πρύμνῃ (πρύμᾳ Mh) libri excepto Ca || **6** τοῦ κυβερνήτου Cb τοῦ -τείῳ Cd || ἠρώτα τὸν κυβερνήτην λέγων Mk || **7** μέρος om. Mh || πέφυκε (πέφυκε om. Cb) καταποντίζεσθαι πρότερον Cb Cd || **9** Ἀλλ' ἔμοιγε, ἔφη Mh || οὐκ ἔστι λυπηρὸς Ce Cf M || ἔσται om. Cd Ch || **10** μέλλω προθανατούμενον (hic θεάσασθαι addit Mh) τὸν ἐχθρόν μου (μου τὸν ἐχθρὸν Ch τὸν ἐμὸν ἐχθρὸν Ce Cf) libri excepto Ca || **11** Ὁ λόγος Cd Ὅτι πολλοὶ Cb || διὰ τὴν ὑπερβάλλουσαν ἔχθραν αὐτῶν αἱροῦνται Mk || **12** τοὺς om. Cd Mc || ἄμυναν pro μῆνιν Cb Cd Mc μῖνυν Ce || τὸ om. libri exceptis Ca Ch τοῦ Cf || αὐτοῖς Cb || αὐτοὺς ἰδεῖν Mh || ἰδεῖν τοὺς ἐχθροὺς αὐτῶν Mk || **13** συμφοραὶ Cb -ρᾷ Cd Cf Mc -ραῖς Ce Mk -ρᾶς Mh || διὰ τὴν δυσμένειαν om. Mh Mk διὰ τὴν ἀσθένειαν Cb Cd || ἔπειτα ἐὰν καὶ αὐτοῖς λυπηρὸν ἐπέλθῃ, πάσχοντες ὑπομένουσιν Mh ἔπειτα καὶ αὐτοὶ τὰ ὅμοια, εἰ δέοι, παθεῖν Mk || μετὰ ταῦτα om. Ce Mh Mk || **14** τε δεινὸν Mc δεινόν τι Ce || ὑπομένοντες Cb -νονται Cd.

Digitized by Google

Aliter.

Δύο τινὲς ἀλλήλοις ἐχθραίνοντες ἐπὶ τῆς αὐτῆς νεὼς ἔπλεον, ὧν ἅτερος μὲν ἐπὶ τῆς πρύμνης, ἅτερος δὲ ἐπὶ τῆς πρώρας ἐκάθητο. Χειμῶνος δὲ ἐπιγενομένου καὶ τῆς νεὼς μελλούσης ἤδη καταποντίζεσθαι, ὁ ἐπὶ τῆς πρύμνης τὸν κυβερνήτην ἤρετο πότερον τῶν μερῶν τοῦ πλοίου πρότερον μέλλει καταβαπτίζεσθαι. Τοῦ δὲ τὴν πρώραν εἰπόντος· « Ἀλλ' ἔμοιγε οὐκ ἔστι λυπηρόν, εἶπεν, ὁ θάνατος, εἴγε ὁρῶν μέλλω πρὸ ἐμοῦ τὸν ἐχθρὸν ἀποθνήσκοντα. »

Ὁ μῦθος δηλοῖ ὅτι πολλοὶ τῶν ἀνθρώπων οὐδὲν τῆς ἑαυτῶν βλάβης φροντίζουσιν, ἐὰν τοὺς ἐχθροὺς μόνον ἴδωσι πρὸ αὐτῶν κακουμένους.

Codd. La 27 Lb 38 Lc 15 Le 38 Lf 27 Lg 15 Md 45 Me 45 Mf 40 Mg 47 Mi 80 Mj 44 Ml 49 Mm 57.

1 νηὸς Mf || **2** μὲν ἐπὶ τῆς πρύμνης, ἅτερος δὲ om. Le Lg || δὲ om. Le Mj || **5** τῶν... μερνῶ πρότερον om. Mg || **6** πρότερον om. Lg Mi Mm || μέλλει καταποντίζεσθαι Lb Le Md Me Mf Mj Mm || Ὁ δὲ pro Τοῦ δὲ Mj || **7** λυπηρός Lb Me Mf Mj || **8** τὸν ἐχθρόν μου (μου om. Le) πρὸ ἐμοῦ Le Mj || **10** οὐδὲ Ml || **11** εἰ La Lf Lg || εἰ.. ἴδοιεν Lb Lc Le M excepto Mg || εἰ .... ἴδοισι Lg || **12** ἑαυτῶν Mg.

116

Ἔχις καὶ ἀλώπηξ.

Ἔχις ἐπὶ παλιούρων δέσμῃ ὑπὲρ ποταμὸν παρεφέρετο. Ἀλώπηξ δὲ παριοῦσα, ὡς ἐθεάσατο αὐτόν, εἶπεν· « Ἄξιος τῆς νηὸς ὁ ναύκληρος. »

Πρὸς ἄνδρα πονηρὸν μοχθηροῖς πράγμασιν ἐγχειρήσαντα.

Codd. Pa 91 Pb 97 Pc 49 Pe 57 Pg 58 Ma 69.

1 ὑπὸ Pa Pc || ἐπὶ δέσμῃ (-μους Pe -μην Pg -μίᾳ Ma) ἀκανθῶν εἴς τινα (τὸν Pe) ποταμὸν ἐφέρετο Pb Pe Pg Ma || ὑπὸ παλιούρων δεσμηθεὶς ὑπὸ ποταμῶν παρεγένετο Pc || **2** Ἀλώπηξ δὲ αὐτὴν (ταύτην Ma) θεασαμένη, ἔφη (εἶπεν Pg) Pe Pg Ma || **3** ὁ ναύκληρος τῆς νηός Pe || νεὼς Pb || **4** μοχθηρὸν πονηροῖς Pe || ἐγχειρήσαντα Pg ἐγκυρήσαντα Pa Pc ἐπιχειρήσαντα Pb ἐγκύρσαντα Pe ἐγχειρίσαντα Ma || ὁ λόγος ἁρμόσειεν addit Pb.

Digitized by Google

Aliter.

Ἔχις ἐπί τινος φραγμοῦ ἐκ παλιούρων εὐνάζετο, ὃς ἦν ἐπ' ἀμπέλῳ τοῦ ποταμοῦ πλησίον. Τοῦ δὲ ποταμοῦ ὑπὸ συνεχῶν ὄμβρων δεινῶς φυσηθέντος, ἤρθη ὁ φραγμὸς καὶ κάτωθεν ἀπῄει. Τοῖς δὲ παλιούροις ἡ ἔχις συνεπλάκη καὶ ἐφέρετο τοῦ ποταμοῦ εἰς μέσον καί τις κατιδοῦσα ἀλώπηξ σφόδρα γελάσασα ἔφη· « Κακὴ μὲν ἡ ναῦς, ἀξία δὲ τοῦ ναύτου καὶ ἄξιος τῆς νηὸς ὁ ναύκληρος. »

Ὅτι καὶ [ὡς] κακοὶ σὺν κακοῖς ἀπολοῦνται.

Cod. Mb 54.

1 εὐνέζετο cod. || **3** δεινῶν cod. || **4** Τῶν δὲ παλιούρων cod. || Videtur fabula uersibus esse scripta.

Aliter.

Δράκων ⟨ἐπὶ παλιούροις φερόμενος⟩.

Καί τις ἄμπελος τοῦ ποταμοῦ πλησίον
εἶχεν ἐπ' αὐτῇ τὸν φραγμὸν ἐκ παλούρων.
Τοῦ δὲ ποταμοῦ φυσηθέντος μεγάλως,
ἦρε τὸν φραγμὸν καὶ κατελθὼν ἀπῄει.
Τῷ δὲ παλούρῳ δράκων τις συνεπλάκη,
ὃς ἐφέρετο τοῦ ποταμοῦ εἰς μέσον.
Καί τις δὲ ἰδὼν μέγα γελάσας ἔφη·
« Ἡ μὲν ναῦς κακή, ἀξία δὲ τοῦ ναύτου. »

Ὁ μῦθος δηλοῖ ὅτι δικαίως οἱ κακοὶ ἐν κακοῖς ἀπολοῦνται.

Codd. Ch 65 Cd 56 Ma 171 Md 62 Mh 57 Mm 128.

1 Καί om. Mm || ἄμπελον Ma Mh || πλησίον εἶχε ποταμοῦ τὸν φραγμόν. Τοῦ δὲ ποταμοῦ ἐξ ὄμβρων φυσηθέντος ἦρε (ἀνῆρε Mm) τὸν φραγμὸν καὶ καθελὼν ἀπίῃ (ἀπίειν Mm) M || **2** ἐν αὐτῇ Cd || **3** μέγα φυσιωθέντος Cd || **4** ἀπίῃ Cd || **5** Τῇ (τὴν Mh) δὲ παλλίρῳ (παλλιούρῳ Ma) M || λέων τις Cd || **6** ἐν μέσῳ M || **7** Καί τις γὰρ ἰδὼν μεγάλα γελέσας ἔφη Cd Καί τις κατιδὼν ἔφη γελάσας μέγα M || **9** ἀπολλονται Ma Md ἀπόλονται Mh ἀπώλονται Mm || Ὁ κακὰ σωτα... ων κακίων εὑρίσκει reliqua legi non possunt in Cd.

Aliter.

Ποταμοῦ πλησίον ἄμπελος ἦν· φραγμὸς δὲ ἦν αὐτῇ

Codd. Ba 125 Bb 75.

1 αὐτῆς Bb.

Digitized by Google

παλίουροι. Πλημμύρας δὲ ὁ ποταμὸς ἐξέσυρε παλίουρον. Συνέβη δὲ δράκοντα ταῖς φολίσι συμπλακέντα τῇ παλιούρῳ φέρεσθαι. Εἶπε δέ τις ἰδών· « Κακὴ μὲν ἡ ναῦς, ἀξία δὲ τοῦ ναύτου. »

Ὅτι δικαίως κακοὶ σὺν κακοῖς ἀπόλλυνται.

2 παλλίουροι Ba || ὁ om. Bb || ἐξέσυρε παλιούρω Bb || 3 φωλίσι Ba || τῷ παλιούρῳ Bb || 5 ἐν κακοῖς Ba.

117

Ἔχις καὶ ῥίνη.

Ἔχις εἰσελθὼν εἰς χαλκουργοῦ ἐργαστήριον παρὰ τῶν σκευῶν ἔρανον ᾔτει· λαβὼν δὲ παρ᾽ αὐτῶν ἧκε πρὸς τὴν ῥίνην καὶ αὐτὴν παρεκάλει δοῦναί τι αὐτῷ. Ἡ δὲ ὑποτυχοῦσα εἶπεν· « Ἀλλ᾽ εὐηθὴς εἶ παρ᾽ ἐμοῦ τι ἀποίσεσθαι οἰόμενος, ἥτις οὐ διδόναι, ἀλλὰ λαμβάνειν παρὰ πάντων εἴωθα. »

Ὁ λόγος δηλοῖ ὅτι μάταιοί εἰσιν οἱ παρὰ φιλαργύρων τι κερδανεῖν προσδοκῶντες.

Codd. Pa 89 Pb 94 Pf 46 Ph 48 Mb 55 Me 64.

1 ἐλθὼν Pb || ἓν (ἐκ Vindob. 178) τῶν σκευῶν τῶν ὄντων ἐζήτει φαγεῖν. Ἦκεν οὖν πρὸς τὴν ῥίνην καὶ αὐτὴν παρεκάλει δοῦναι αὐτῷ τι Pf Ph Me Vindob. 178 || 2 ἦδε πρὸς τὴν ῥίνα καὶ ταύτην Pb || ἦκε καὶ πὶ τὴν ῥίνην Mb || 3 αὐτὴν om. Mb || ὑπολαβοῦσα Mb || 4 ὑποίσεταί τι Pb ἀπίσεσθαί τι Mb || 5 τῆς pro ἥτις Ph || 6 εἰωθείας Ph || 7 Ὅτι Ph || εἰσιν om. Pa || 8 κερδαίνειν libri excepto Pa κερδαίνειν τι Mb || προσδοκῶσι Pb.

118

Ἔχις καὶ ὕδρος.

Ἔχις φοιτῶν ἐπί τινα κρήνην ἔπινεν· Ὁ δὲ ἐνταῦθα οἰκῶν ὕδρος ἐκώλυεν αὐτόν, ἀγανακτῶν ὅτι μὴ ἀρκεῖται

Codd. Pa 86 Pb 91 Pf 45 Pg 57 Ph 47 Me 63 Mf 56 Mj 64.

1 Ἔχις ποτὸν ἐπί τινος κρήνης Pa || Ἡ δὲ ἐνταῦθα οἰκοῦσα ὕδρα .. ἀγανακτοῦσα Pb || 2 ἐκώλυσεν Pa || ὅτι Pa εἴγε ceteri.

Digitized by Google

τῇ ἰδίᾳ νομῇ, ἀλλὰ καὶ ἐπὶ τὴν αὐτοῦ δίαιταν ἀφικνεῖται. Ἀεὶ δὲ τῆς φιλονεικίας αὐξανομένης, συνέθεντο ὅπως εἰς μάχην ἀλλήλοις καταστῶσι καὶ τοῦ νικῶντος ἥ τε τοῦ ὕδατος καὶ τῆς γῆς νομὴ γίνηται. Ταξαμένων δὲ αὐτῶν προθεσμίαν, οἱ βάτραχοι διὰ μῖσος τοῦ ὕδρου παραγενόμενοι πρὸς τὸν ἔχιν παρεθάρσυνον αὐτόν, ἐπαγγελλόμενοι καὶ αὐτοὶ συμμαχήσειν αὐτῷ. Ἐνστάσης δὲ τῆς μάχης, ὁ μὲν ἔχις πρὸς τὸν ὕδρον ἐπολέμει, οἱ δὲ βάτραχοι μηδὲν περαιτέρω δρᾶν δυνάμενοι μεγάλα ἐκεκράγεισαν. Καὶ ὁ ἔχις νικήσας ᾐτιᾶτο αὐτοὺς ὅτι γε συμμαχήσειν αὐτῷ ὑποσχόμενοι παρὰ τὴν μάχην οὐ μόνον οὐκ ἐβοήθουν, ἀλλὰ καὶ ᾖδον. Οἱ δὲ ἔφασαν πρὸς αὐτόν· « Ἀλλ' εὖ γε ἴσθι, ὦ οὗτος, ὅτι ἡ ἡμετέρα συμμαχία οὐ διὰ χειρῶν, διὰ δὲ μόνης φωνῆς συνέστηκεν. »

Ὁ λόγος δηλοῖ ὅτι, ἔνθα χειρῶν χρεία ἐστίν, ἡ διὰ λόγων βοήθεια οὐδὲν λυσιτελεῖ.

3 ἐπὶ om. Pb || ἑαυτῆς Pb || **4** αὐξομένης Me Mf || **5** καχασταθῶσι Pg || τῷ νικῶντι Pa || τοῦ ὕδατος καὶ τῆς γῆς Pa τῆς γῆς καὶ τοῦ ὕδατος ceteri || **6** γίνηται Pa γέ- ceteri || Ταξάντων Pf Me Mf || **7** τὴν προθεσμίαν Pb || διὰ μῖσος .... οἱ δὲ βάτραχοι om. Pg || τῆς ὕδρας Pb || **8** παρεθάρσυνον Pf Ph Me Mf -ναν Pa παραθαρρύνουσιν Pb Mj || **9** Ἐστάσης Pa Ἐνσταθείσης Pb || ὁ μὲν ἔχις om. Pa || **10** τὴν ὕδραν Pb || παρ' ἑτέρῳ pro περαιτέρω Pa || **11** δυνάμενοι δρᾶν Pb Pg || ἐκεκράγεισαν Pb -γεσαν Pf M ἐκραύγασαν Pa ἐκεκράγευσαν Ph κεκράγεσαν Pg || **12** ᾐτιάσατο Pb || ὅτι γε Pa Pg ὅτι Pb εἴ γε ceteri || **13** περὶ Pg || αὐτῷ pro οὐχ Pa || οὐ παρεγένοντο omisso μόνον et ἀλλὰ καὶ ᾖδον Pf Ph M || **14** πρὸς αὐτούς Pg || εὖ γε Pa εὖ ceteri || **15** οὐ δεῖ χειρῶν Pf οὐ χειρῶν δεῖ Mf || ἀλλὰ διὰ μόνης φωνῆς καθέστηκεν Pb || **16** μόνης om. Pf Ph M || **17** Ὁ μῦθος Mf Mj || ἔνθον Ph || ἐστίν om. Pa || οὐδὲν ἡ διὰ λόγων βοήθεια λυσιτελεῖ Mf.

119

Ζεὺς καὶ αἰσχύνη.

Ζεὺς πλάσας ἀνθρώπους τὰς μὲν ἄλλας διαθέσεις εὐθὺς

Codd. Pb 108 Pc 55 Pg 69.

1 ἄλλας διανοίας Pb Pg || εὐθὺς om. Pg.

Digitized by Google

αὐτοῖς ἐνέθηκε, μόνης δὲ αἰσχύνης ἐπελάθετο. Διόπερ ἀμηχανῶν πόθεν αὐτὴν εἰσαγάγῃ, ἐκέλευσεν αὐτὴν διὰ τοῦ ἀρχοῦ εἰσελθεῖν. Ἡ δὲ τὸ μὲν πρῶτον ἀντέλεγε καὶ ἠναξιοπάθει. Ἐπεὶ δὲ σφόδρα αὐτῇ ἐπέκειτο, ἔφη· « Ἀλλ' ἔγωγε ἐπὶ ταύταις ταῖς ὁμολογίαις εἴσειμι ὡς, ἂν ἕτερόν μοι ἐπεισέλθῃ, εὐθέως ἐξελεύσομαι. » Ἀπὸ τούτου συνέβη πάντας τοὺς πόρνους ἀναισχύντους εἶναι.

Τούτῳ τῷ λόγῳ χρήσαιτο ἄν τις πρὸς ἄνδρα πόρνον.

3 μὴ ἔχων pro ἀμηχανῶν Pc || πόθεν ἄν Pb || διὰ τοῦ ἀρχοῦ Schneider διὰ τὰς ἀρχὰς Pb Pg δι' αὐτοῦ ἀνάρχου Pc || 5 ἀνεξιοπάθει Pc || αὐτῇ σφόδρα Pc || 6 τοιαύταις Pb || ταῖς om. Pg || 7 καὶ συνέβη Pc || 8 πονηροὺς ἀναισχυντῆσαι Pc || 9 ἄνδρα μάχλον Pc Pg.

Aliter.

Ζεὺς πλάσας τοὺς ἀνθρώπους τὰς μὲν ἄλλας διαθέσεις αὐτοῖς ἐνέθηκε, μόνην δ' ἐνθεῖναι τὴν αἰσχύνην ἐπελάθετο· Διὸ καὶ μὴ ἔχων πόθεν [ἂν] αὐτὴν εἰσαγάγῃ, διὰ τοῦ ἀρχοῦ αὐτὴν εἰσελθεῖν ἐκέλευσεν. Ἡ δὲ τὸ μὲν πρῶτον ἀντέλεγεν ἀναξιοπαθοῦσα. Ἐπεὶ δὲ σφόδρα αὐτῇ ἐνέκειτο, ἔφη· « Ἀλλ' ἔγωγε ἐπὶ ταύταις εἰσέρχομαι ταῖς ὁμολογίαις ὡς Ἔρως μὴ εἰσελεύσεται· ἂν δ' εἰσέλθῃ, αὐτὴ ἐξελεύσομαι παραυτίκα. » Ἀπὸ δὴ τούτου συνέβη πάντας τοὺς πόρνους ἀναισχύντους εἶναι.

Ὁ μῦθος δηλοῖ ὅτι τοὺς ὑπ' ἔρωτος κατεχομένους ἀναισχύντους εἶναι συμβαίνει.

Codd. La 108 Lb 56 Le 56 Lf 108 Me 70 Mf 62 Mg 78 Mj 70 Ml 73.

1 τοὺς om. Mf || διανοίας pro διαθέσεις Lb || 3 ἂν inclusi || τοῦ ἀρχοῦ nos τοῦ ὄχου Le αὐτοῦ ὄχλου Mj τοῦ ὄχλου ceteri || 5 ἀξιοπαθοῦσα Lf || αὐτῇ om. Le || 7 Ἔρως μὴ εἰσελεύσεται nos ἂν Ἔρως μὴ εἰσέλθῃ codd. ἕτερος pro Ἔρως Lf Me Mf Mj Ml || εἰ δ' εἰσέλθῃ (-θοι Ml) Lb Lf Me Mf Mj Ml || εὐθέως (ταχέως Le) αὐτὴ ἐξελεύσομαι. Lb Le Mj || 8 πόρους Le || 10 Epim. deest in Le Lf Me Mf Mj, additum est scriptura tenuissima in Lb || Me Mf Mj pro epimythio habent Ἀπὸ δὴ ... εἶναι || Ὅτι Mg || Ὁ μῦθος πρὸς τους πόρνους Ml.

120

Ζεὺς καὶ ἀλώπηξ.

Ζεὺς ἀγασάμενος ἀλώπεκος τὸ συνετὸν τῶν φρενῶν καὶ

Digitized by Google

τὸ ποικίλον τὸ βασίλειον αὐτῇ τῶν ἀλόγων ζῴων ἐνεχείρισε. Βουλόμενος δὲ γνῶναι εἰ τὴν τύχην μεταλλάξασα μετεβάλετο καὶ τὴν γλισχρότητα, φερομένης αὐτῆς ἐν φορείῳ κάνθαρον παρὰ τὴν ὄψιν ἀφῆκεν. Ἡ δὲ ἀντισχεῖν μὴ δυναμένη, ἐπειδὴ περιίπτατο τῷ φορείῳ, ἀναπηδήσασα ἀκόσμως συλλαβεῖν αὐτὸν ἐπειρᾶτο. Καὶ ὁ Ζεὺς ἀγανακτήσας κατ' αὐτῆς πάλιν αὐτὴν εἰς τὴν ἀρχαίαν τάξιν ἀποκατέστησεν.

Ὁ λόγος δηλοῖ ὅτι οἱ φαῦλοι τῶν ἀνθρώπων, κἂν τὰ προσχήματα λαμπρότερα ἀναλάβωσιν, τὴν γοῦν φύσιν οὐ μετατίθενται.

Codd. Pa 99 Pb 106 Pf 53 Ph 54 Mb 236 Me 68 Mf 60 Mj 68.

3 τὰς τύχας Pa τὴν ψυχὴν Me τὴν ζωὴν Mj || μεταλλάξας Mj || **4** μετεβάλλετο Ph Me Mf || τῆς γλισχρότητος Pa τὴν ἕξιν Pb || αὐτῆς om. Pb || **6** τῷ φορείῳ Pa τοῦ φορείου ceteri || ἀναποδίσασα Pb || **7** ἄκοσμος Pa -μον Ph || **8** ὄψιν pro τάξιν Pb Mf || **9** ἀπεκατέστησεν Pa || **10** Ὅτι οἱ φαῦλοι Mj Οἱ φαῦλοι Pf Mb Me Mf || **11** λάβωσι Ph || **12** οὐ μετατίθενται τὴν φύσιν Pf Ph M.

121

Ζεὺς καὶ ἄνθρωποι.

Ζεὺς πλάσας ἀνθρώπους ἐκέλευσεν Ἑρμῇ νοῦν αὐτοῖς ἐγχέαι. Κἀκεῖνος μέτρον ποιήσας ἴσον ἐνέχεεν ἑκάστῳ. Συνέβη δὲ τοὺς μὲν μικροφυεῖς πληρωθέντας τοῦ μέτρου φρονίμους γενέσθαι, τοὺς δὲ μακρούς, ἅτε μὴ ἐφικομένου

Codd. Pa 100 Pb 107 Pc 54 Pf 54 Pg 68 Ph 55 Mb 59 Me 69 Mf 61 Mj 69.

1 ἀνθρώπους πλάσας Pc || Ἑρμῆν Pg Mb || αὐτοὺς ἐπιστῆσαι Pg σὺν αὐτοῖς νοῦν ἐπιστῆσθαι Mb || **2** ἐκχέαι Pa χέαι Mf || ἴσον ποιήσας Pb Pc Ph Me Mf || ἑκάστῳ ἐνέχεε Pb Pc Pg Ph M || **3** Συνέβη οὖν Pb || Καὶ συνέβη τοὺς μὲν μεστοὺς τὴν ἡλικίαν φρονίμους γενέσθαι Ph || πληρωθέντος Pa Pf Pg Mb Me Mf || **4** ἐφικομένους Pa Pf ἀφ- Me ἀφικομένου Mf.

τοῦ ποτοῦ [μηδὲ μέχρι γονάτων,] εἰς πᾶν τὸ σῶμα ἀφρονεστέρους γενέσθαι.

Πρὸς ἄνδρα εὐμεγέθη μὲν σώματι, κατὰ ψυχὴν δὲ ἀλόγιστον ὁ λόγος εὔκαιρος.

5 μέχρι γονάτου εἰς πᾶν τὸ σῶμα Pc μηδὲ εἰς πᾶν τὸ σῶμα, μέχρι γονάτων Pb || μηδὲ μέχρι γονάτων ut glossema inclusi || 7 Ὁ μῦθος πρὸς Mj || μὲν om. Pb || 8 ὁ λόγος εὔκαιρος om. Pg Mb || καιρὸς εὔλογος Pa || 7-8 Πρὸς (Ὁ μῦθος πρὸς Mj) ἄνδρας εὐμήκεις μὲν τῷ σώματι, ἄφρονας δὲ τοῖς ἐπιτηδεύμασιν Pf Ph Me Mf Mj.

122

Ζεὺς καὶ Ἀπόλλων.

Ζεὺς καὶ Ἀπόλλων περὶ τοξικῆς ἤριζον. Τοῦ δὲ Ἀπόλλωνος ἐντείναντος τὸ τόξον καὶ τὸ βέλος ἀφέντος, Ζεὺς τοσοῦτον διέβη ὅσον Ἀπόλλων ἐτόξευσεν.

Οὕτως οἱ τοῖς κρείττοσιν ἀνθαμιλλώμενοι, πρὸς τῷ ἐκείνων μὴ ἐφικέσθαι, καὶ γέλωτα ὀφλισκάνουσιν.

Codd. Pa 97 Pb 103 Pc 53 Ma 76.

1 τοξίας Ma || 2 ἐκτείναντος Pb || τοῦ βέλους Ma || ὁ Ζεὺς Ma || 4 τοῖσι κρείττοσι Pb || ἁμιλλόμενοι Ma || ἀνθαμιλλώμενοι γέλωτος ἄξιοί εἰσιν ceteris omissis Pb. || πρὸς τὸ Pa Ma || 5 μὴ ἐκείνων ἐφικέσθαι, τὸ γέλωτα Pc || ἐκεῖνον Pa.

123

Ζεὺς καὶ ὄφις.

Τοῦ Διὸς γαμοῦντος, πάντα τὰ ζῷα ἀνήνεγκαν δῶρα. Ὄφις δὲ ἕρπων ῥόδον ἀναλαβὼν τῷ στόματι ἀνέβη. Ἰδὼν

Codd. Pb 218 Pd 39 Mb 34.

1 Τοῦ om. Mb || καλοῦντος Pd || ἀνήνεγκε Pd || δῶρα, ἕκαστον ὅ τι ἐδύνατο (ἠδ- Mb) Pd Mb || 2 ἔφερε pro ἀνέβη Pd.

Digitized by Google

δὲ αὐτὸν ὁ Ζεὺς ἔφη· « Τῶν ἄλλων ἁπάντων καὶ ἐκ ποδῶν δῶρα δέχομαι· ἀπὸ δὲ τοῦ σοῦ στόματος οὐ λαμβάνω. »

Ὁ λόγος δηλοῖ ὅτι πάντων τῶν πονηρῶν αἱ χάριτες φοβεραί.

3 εἶπεν Pd Mb || Τῶν μὲν ἄλλων τὰ δῶρα λαμβάνω Pd Τὰ τῶν ἄλλων δῶρα λαμβάνω Mb || 4 τοῦ σοῦ στόματος Schneider σου τοῦ στόματος Pb τοῦ στόματός σου reliqui. || 5 Οὕτω τῶν πονηρῶν αἱ χάριτες φοβεραί εἰσιν Pd.

Aliter.

Τοῦ Διὸς γάμους ποιοῦντος, πάντα τὰ ζῷα ἤνεγκαν δῶρα, ἕκαστον κατὰ τὴν οἰκείαν δύναμιν. Ὄφις δὲ ἕρπων ῥόδον λαβὼν ἐν τῷ στόματι ἀνέβη. Ἰδὼν δὲ αὐτὸν ὁ Ζεὺς ἔφη· « Τῶν ἄλλων πάντων τὰ δῶρα λαμβάνω, ἀπὸ δὲ τοῦ σοῦ στόματος λαμβάνω οὐδ' ὅλως. »

Ὁ μῦθος δηλοῖ ὅτι τῶν πονηρῶν αἱ χάριτες φοβεραί εἰσιν.

Codd. Ca 184 Cb 98 Cd 114 Ce 112 Cf 120 Ch 121 Mc 91 Ml 151bis (in margine).

1 γάμον Cd || γαμουποιοῦντος Mc || ἀνήνεγκαν Cb Ch || 2 ἰδίαν δύναμιν omnes excepto Ca || 3 ἐν om. Cd || ὁ Ζεὺς αὐτὸν Ce || 4 ἔφη Ca εἶπεν ceteri || τὸ μὲν ῥόδον δέχομαι Ce τὰ ῥόδα λαμβάνω Cf Ml || τοῦ στόματός σου Ce || τοῦ σοῦ σώματος οὐδὲ ῥόδον λαμβάνη Cd || 5 λαμβάνων, τὰ σὰ οὐ χρῄζω Mc | οὐ λαμβάνω, omisso οὐδ' ὅλως Ml C excepto Ca || 6 Ὅτι Cb || τῶν om. Cb || καὶ αἱ χάριτες Ce || αἱ χάριτες τῶν πονηρῶν Cf || πονηραί pro φοβεραὶ Mc || 7 εἰσιν om. Ce Cf || 6-7 Ὁ λόγος δηλοῖ ὅτι πονηρῶν ἀνθρώπων αἱ χάριτες φοβεραί εἰσιν ἤγουν βλαβεραί Cd Ὁ μῦθος πρὸς ἄνδρας κακοτρόπους καὶ ὑβριστὰς καὶ τὸν ἰὸν ὥσπερ ὄφις ἐμοῦντας, ὧν τοὺς ἐπαίνους ἐκφεύγειν δεῖ τοὺς ἐχέφρονας καὶ ἀπαναίνεσθαι ὥσπερ δὴ καὶ τὰς ὕβρεις Ml.

124

Ζεὺς καὶ πίθος ἀγαθῶν.

Ζεὺς ἐν πίθῳ τὰ ἀγαθὰ πάντα συγκλείσας ἀφῆκε παρὰ ἀνθρώπῳ τινί. Ὁ δὲ λίχνος ἄνθρωπος εἰδέναι θέλων τί ἐστιν ἐν αὐτῷ, τὸ πῶμα ἐκίνησε· πάντα δὲ ἐπετάσθησαν πρὸς τοὺς θεούς.

Cod. Ba 44.

Digitized by Google

Ὅτι τοῖς ἀνθρώποις ἐλπὶς μόνη σύνεστι τῶν πεφευγότων ἀγαθῶν ἐγγυωμένη δώσειν.

5 ἐγγυομένη cod. || δῶσιν cod.

Aliter.

Ζεὺς ἐν πίθῳ τὰ ἀγαθὰ πάντα ἐγκατακλείσας ἀφῆκεν παρὰ ἀνθρώπῳ τινί. Ὁ δὲ ἀκρατὴς ὢν εἰδέναι ἠθέλησεν τίνα εἰσὶν ἐν αὐτῷ, καὶ ἀφελὼν τὴν σφραγῖδα καὶ ἀποκαλύψας τὸ ἀγγεῖον, πάντα ὅσα ἦν ἔνδον ἐξέφυγεν· μόνη δὲ ἡ ἐλπὶς ὑπελείφθη καὶ διὰ τοῦτο τοῖς ἀνθρώποις ἐστὶ παραμόνιμος.

Cod. Bd 22.

1 ἐγκατακλείσας ἀφῆκεν nos ἐνσταϊτκλείσας ὑφῆκεν cod. || 2 ἀκρατὴς nos ἀκροατὴς cod. || 5 ὑπελήφθη cod.

125

Ζεὺς καὶ Προμηθεὺς καὶ Ἀθηνᾶ καὶ Μῶμος.

Ζεὺς καὶ Προμηθεὺς καὶ Ἀθηνᾶ κατασκευάσαντες, ὁ μὲν ταῦρον, Προμηθεὺς δὲ ἄνθρωπον, ἡ δὲ οἶκον, Μῶμον κριτὴν εἵλοντο. Ὁ δὲ φθονήσας τοῖς δημιουργήμασιν ἀρξάμενος ἔλεγε τὸν μὲν Δία ἡμαρτηκέναι, τοῦ ταύρου τοὺς ὀφθαλμοὺς ἐπὶ τοῖς κέρασιν μὴ θέντα, ἵνα βλέπῃ ποῦ τύπτει· τὸν δὲ Προμηθέα, διότι τοῦ ἀνθρώπου τὰς φρένας οὐκ ἔξωθεν ἀπεκρέμασεν, ἵνα μὴ λανθάνωσιν οἱ πονηροί, φανερὸν δὲ ᾖ τί ἕκαστος κατὰ νοῦν ἔχει, τρίτον δὲ ἔλεγεν ὡς ἔδει τὴν Ἀθηνᾶν τὸν οἶκον τροχοῖς ἐπιθεῖναι,

Codd. Pa 93 Pb 100 Pc 50 Ma 72.

1 κατεσκεύασαν Pa || Ζεὺς μὲν ταῦρον Ma || 2 ὁ Προμηθεύς, omisso δὲ Pb || Ἀθηνᾶ δὲ οἶκον Ma || Μῶμον ... ἔλεγε om. Pc || κριτὴν εἶλαν τὸν Μῶμον Ma || 4 αὐξανόμενος pro ἀρξάμενος Pa ἀχθόμενος Pb || τὸν Δία Ma || 5 ἐπὶ τὰ κέρατα θέντα Pc || μὴ om. Pa Pc || 6 τὸ τύπτειν Pa τοῦ τ- Pb ποῦ τ- Pc || διὰ τὴν pro διότι Pa || τοῦ om. Pb Pc || 7 οὐκ om. Ma || ἀπεκρέμα Pc κατεκρέμασεν Ma || 8 φανεροῦντες Pb φανερὸν δὲ Pc || εἴ τι Pa Pb Pc || φανερῶν δέ ἐστι ἕκαστον ὧν χρείαν εἶχε Ma || 9 τῷ οἴκῳ τροχοὺς ἐπιθεῖναι (ὑπο- Pe) Pb Pc ἐν τῷ οἴκῳ τροχοὺς ἀποθῆναι Ma || τροχοὺς Pa.

Digitized by Google

ἵνα, ἐὰν πονηρός τις παροικισθῇ γείτων, ῥᾳδίως μεταβαίνῃ. Καὶ ὁ Ζεὺς ἀγανακτήσας κατ' αὐτοῦ ἐπὶ τῇ βασκανίᾳ τοῦ Ὀλύμπου αὐτὸν ἐξέβαλεν.

Ὁ λόγος δηλοῖ ὅτι οὐδὲν οὕτως ἐστὶν ἐνάρετον ὃ μὴ πάντως περί τι ψόγον ἐπιδέχεται.

10 πονηρῷ τις παροικισθῇ γείτονι Pb Pc |Ma || παροικισθείη Pa || καταβαίνει Ma || 11 τοῦ βασκανίᾳ Ma || 13 ἐνάρετόν ἐστιν ὃ μὴ ψόγον ἐπιδέχεται Ma.

Aliter.

Ζεὺς καὶ Ποσειδῶν καὶ Ἀθηνᾶ καὶ Μῶμος.

Ζεὺς καὶ Ποσειδῶν καὶ Ἀθηνᾶ ἔριν ἐποιήσαντο· τίς κάλλιόν τι ποιήσει. Καὶ ὁ μὲν Ζεὺς ἄνθρωπον εὐπρεπέστατον ἐποίησεν, ὁ δὲ Ποσειδῶν ταῦρον, ἡ δὲ Ἀθηνᾶ οἶκον ἀνθρώποις. Κριτὴς δὲ ἦν ἐπὶ τούτοις ὁ Μῶμος. Καὶ πρῶτον μὲν ἔψεγε τὴν θέσιν τῶν κεράτων τοῦ ταύρου, κάτωθεν τῶν ὀμμάτων λέγων ὀφείλειν κεῖσθαι, ὡς ἂν βλέπῃ ποῦ τύπτει· τοῦ δέ γε τὰς φρένας ἀνθρώπου καὶ τὰς βουλὰς φανερὰς εἶναι καὶ ἔξωθεν, ἀλλὰ μὴ ἔνδον, ὡς ἂν διαγινώσκηται τί βουλεύεται ἕκαστος· τῆς δὲ οἰκίας· ὅτι μὴ τροχοὺς σιδηροῦς αὐτῇ ἐποίησεν, ἵνα καὶ τοῖς δεσπόταις συνεξεδήμει καὶ γείτονα πονηρὸν ἐξέφευγεν.

Ὅτι, ἐάν τις ἀγαθόν τι ποιήσῃ, τὸν φθόνον οὐκ ἐκφεύγει· οὐδὲν γὰρ ἀρεστὸν τῷ μώμῳ καθέστηκε.

Cod. Ba 43.

10 τρεῖς δεσπόταις συνεξεδήμη cod. || 12 Ὅτι εἴ τις ἐὰν cod.

Aliter.

Ζεὺς καὶ Ποσειδῶν καὶ Ἀθηνᾶ ἔριν περί τινος δημιουργίας πρὸς ἀλλήλους ἐστήσαντο. Ὁ μὲν οὖν Ζεὺς ἄνθρωπον ἐποίησεν εὐπρεπέστατον, ὁ δὲ Ποσειδῶν ταῦρον, Ἀθηνᾶ ἀνθρώποις εὐκατασκευαστὸν ⟨οἶκον⟩· κριτὴν δὲ τῶν ἔργων τὸν Μῶμον προὐβάλλοντο. Ὁ δὲ τοῦ μὲν ἀνθρώπου κατεμέμφετο τὴν τῶν φρενῶν εἰς τὸ ἔνδον ἀπόκρυψιν, δεῖν λέγων τὰς βουλὰς τῶν ἀνθρώπων ἔξωθεν εἶναι καὶ τὰ διανοήματα, ὡς ἂν ἕκαστος εἴδῃ τί ποτε ὁ ἕτερος βούλεται, καὶ οὕτω τὰς παρ' ἀλλήλων βλάβας ἐκφεύγωσιν ἢ καὶ τὰς χρείας ἐξ ἑτοίμου ἀποπληρῶσι· τοῦ δὲ ταύρου τὴν τῶν κεράτων θέσιν ἐκάκιζε, ὅτι ἄνω τῶν ὀμμάτων ἐμφύεται,

Cod. Bd 21.

4 οἶκον suppleui || 10 ἀποπληρῶσι nos ἀποπληροῦν cod.

Digitized by Google

ὀφείλειν εἶναι ταῦτα λέγων περὶ τὰ στέρνα, ἵνα βλέπῃ ποῦ τύπτει τὸν παροξύνοντα· τῆς οἰκίας δὲ κατεγίγνωσκε ὅτι μὴ τροχοὺς ἔχει καὶ μετακινεῖται ὅπου ἂν ὁ δεσπότης θελήσῃ, ἢ δι' ἀνάπαυσιν ἴσως, ἢ διὰ τὸ φυγεῖν πονηροὺς καὶ κακούργους γείτονας καὶ ἀγνώμονας.

12 ὀφείλειν nos ὤφειλεν cod. || βλέπει cod. || **14** ἔχῃ καὶ μετακινῆται cod. || ὅπου ἂν .. θελήσῃ nos ὅπου ... θελήσειε cod.

126

Ζεὺς καὶ χελώνη.

Ζεὺς γαμῶν πάντα τὰ ζῷα εἱστία. Μόνης δὲ χελώνης ὑστερησάσης, διαπορῶν τὴν αἰτίαν, τῇ ὑστεραίᾳ ἐπυνθάνετο αὐτῆς διὰ τί μόνη ἐπὶ τὸ δεῖπνον οὐκ ἦλθε. Τῆς δὲ εἰπούσης· « Οἶκος φίλος, οἶκος ἄριστος, » ἀγανακτήσας κατ' αὐτῆς παρεσκεύασεν αὐτὴν τὸν οἶκον αὐτὸν βαστάζουσαν περιφέρειν.

Οὕτω πολλοὶ τῶν ἀνθρώπων αἱροῦνται μᾶλλον λιτῶς οἰκεῖν ἢ παρ' ἄλλοις πολυτελῶς διαιτᾶσθαι.

Codd. Pa 98 Pb 105 Ma 77 Ca 79.

1 Ζεὺς καλῶν τὰ ζῷα ὅλαι, deinde spatium uacuum usque ad Μόνης Ma || συγκαλεσάμενος pro γαμῶν Pb || τὰ ζῷα πάντα Pb Ca || **2** διαπορῶν... αὐτῆς om. Ma || **3** ἦλθες Pb ἐκλήθη Ma || **4** Φίλος οἶκος, ἄριστος οἶκος Pb Οἶκος φίλος ἄριστος omisso οἶκος Ma || **5** τὸν οἶκον αὐτῆς Pa αὐτὸν τὸν οἶκον Ma Ca || **6** περιφέρειν om. Pa ἐπι- Ca || **7** μᾶλλον om. Pb || **8** ζῆν pro οἰκεῖν Ma || λιτῷ οἴκῳ μένειν ἢ παρ' ἄλλην Ca || παρ' ἄλλων Pa || πολυετῶς Pb.

Aliter.

Ζεὺς γάμους τελῶν πάντα τὰ ζῷα εἱστία· Μόνης δὲ τῆς χελώνης ὑστερησάσης, διαπορῶν τὴν αἰτίαν τῆς ὑστερήσεως, ἐπυνθάνετο αὐτῆς τίνος χάριν αὐτὴ ἐπὶ τὸ δεῖπνον οὐ παρεγένετο. Τῆς δὲ εἰπούσης· « Οἶκος φίλος, οἶκος ἄριστος », ἀγανακτήσας κατ' αὐτῆς κατεδίκασε τὸν οἶκον βαστάζουσαν περιφέρειν.

Codd. La 109 Lb 57 Le 57 Lf 109 Lh 21 Me 71 Mg 79 Mj 71 Ml 74.

5 ἀγανακτήσας δὲ Lh.

Digitized by Google

Ὁ μῦθος δηλοῖ ὅτι οἱ πολλοὶ τῶν ἀνθρώπων αἱροῦνται μᾶλλον λιτῶς παρ' ἑαυτοῖς ζῆν ἢ παρ' ἄλλοις πολυτελῶς.

7 Ὁ μῦθος ὅτι Lb Ὅτι Mg || Ὅτι πολλοὶ Lf Ml || 8 παρ' ἑαυτοῖς om. Le Lf Me Mj Ml || πολυτελῶς διαιτᾶσθαι Le Lf Lh Me Mj Ml.

127

Ζεὺς κριτής.

Ὁ Ζεὺς τὰς τῶν ἀνθρώπων ἁμαρτίας ἐν ὀστράκοις τὸν Ἑρμῆν ὥρισε γράφειν, καὶ εἰς κιβώτιον ἀποτιθέναι πλησίον αὐτοῦ, ὅπως ἑκάστου τὰς δίκας ἀναπράσσῃ. Συγκεχυμένων δὲ τῶν ὀστράκων ἐπ' ἀλλήλοις, τὸ μὲν βράδιον, τὸ δὲ τάχιον ἐμπίπτει εἰς τὰς τοῦ Διὸς χεῖρας, εἴποτε καλῶς κρίνοιτο.

Ὅτι οὐ χρὴ θαυμάζειν διὰ τοὺς ἀδίκους καὶ πονηροὺς ὅτι τάχιον οὐκ ἀπολαμβάνουσιν ὑπὲρ τῶν ἀδικιῶν αὐτῶν.

Cod. Ba 105.

7 ὅτι τάχειον cod.

Aliter.

⟨Ἐν⟩ ὀστράκῳ γράφοντα τὸν Ἑρμῆν ἁμαρτίας ἐκέλευσεν ὁ Ζεὺς εἰς κιβωτὸν ταύτας σωρεύειν, ἵν' ἐρανίσας ἑκάστου τὰς δίκας ἀναπράσσῃ. Τῶν ὀστράκων δὲ συγκεχυμένων ἀλλήλοις, τὸ μὲν βράδιον, τὸ δὲ τάχιον ἐμπίπτει εἰς τοῦ Διὸς τὰς χεῖρας, εἴποτ' εὐθύνοι.

Τῶν οὖν πονηρῶν οὐ προσήκει θαυμάζειν, ἂν θᾶσσον ἀδικῶν ὀψέ τις κακῶς πράσσῃ.

Cod. Mb 135.

1 Ἐν addidi || γράφοντι cod. || 3 ἀναπράσσει cod. || συγκεχυμένων Coraës κεχυ- cod. || 6 προσῆκε cod. || 7 πράσσει cod.

128

Ἥλιος καὶ βάτραχοι.

Γάμοι τοῦ Ἡλίου θέρους ἐγίγνοντο· πάντα δὲ τὰ ζῷα

Codd. Ba 21 Mg 38.

1 ἐγίνοντο Ba.

Digitized by Google

ἔχαιρον ἐπὶ τούτῳ, ἠγάλλοντο δὲ καὶ οἱ βάτραχοι. Εἷς δὲ τούτων εἶπεν· « Ὦ μῶροι, εἰς τί ἀγάλλεσθε ; εἰ γὰρ μόνος ὢν ὁ Ἥλιος πᾶσαν ἰλὺν ἀποξηραίνει, εἰ γήμας ὅμοιον αὐτῷ παιδίον γεννήσει, τί οὐ παθῶμεν κακόν ; »

Ὅτι πολλοὶ τῶν τὸ φρόνημα κουφότερον ἐχόντων χαίρουσιν ἐπὶ πράγμασιν τοῖς μὴ χαρὰν ἔχουσιν.

2 ἐπὶ τῷ τούτῳ Ba || οἱ om. Ba || 3 εἶπεν om. Ba || 4 ἰλὺν Eberhard ὕλην codd. || 5 τί om. Mg.

Aliter.

Ἡλίῳ ποτὲ γάμος θέρους ὑπῆρχε.
Οἱ δὲ βάτραχοι ἠγάλλοντο μεγάλως
ἐπὶ τῇ λαμπρᾷ τραπέζῃ τοῦ Ἡλίου.
Εἷς δὲ ἐξ αὐτῶν μέγα ἀναστενάξας
ἀνακέκραγε καὶ πρὸς αὐτοὺς ἐβόα·
« Ὦ ἀνόητοι καὶ βραδεῖς τῇ καρδίᾳ,
εἰς τί βοᾶτε μεγάλα κεκραγότες
ὡς ἐπ' ἀγάθῳ τινὶ προσδοκωμένῳ ;
Εἰ οὖν Ἥλιος μονώτατος ὑπάρχων
ὕλην ἅπασαν καὶ τὴν γῆν καταφλέγῃ,
εἰ γήμας παῖδα ἀνθόμοιον ποιήσει,
τί μὴ πάθωμεν ἡμεῖς κακόν, εἰπέ μοι. »

Ὅτι πολλοὶ τῶν τὸ φρόνημα κουφότερον ἐχόντων χαίρουσιν ἐπ' ἀδήλοις.

Cod. Mb 63.

1 γάμους cod. || 7 μὲ κεκραγότες cod. || 8 ἀγαθῇ cod. || 11 ποιήσι cod. || 12 τί μοι cod. || οἱμεῖς cod. || 13 ὑπάρχων pro ἐχόντων cod.

129

Ἡμίονος.

Ἡμίονός τις ἐκ κριθῆς παχυνθεῖσα ἀνεσκίρτησε καθ' ἑαυτὴν βοῶσα· « Πατήρ μού ἐστιν ἵππος ὁ ταχυδρόμος,

Codd. Ca 83 Cb 52 Cd 49 Ce 54 Cf 58 Ch 59 Ma 168 Mb 62 Mc 51 Md 56 Mh 51 Mi 91 Mm 72 Lc 56 Lg 56.

1 τις om. Ce τε Cf || παχυνθεὶς Md Mh Mi Mm Lc Lg || ἀνεσκίρτωσε Ce || καθ' ἑαυτὸν Cf εἰς ἑαυτὴν Cd || 2 βοῶσα καθ' ἑαυτόν Ce || βοῶν καὶ λέγων, omisso καθ' ἑαυτὸν Md Mh Mi Mm Lc Lg || Ὁ ἐμὸς πατὴρ ὁ ταχυδρόμος ἵππος ἐστίν Ce || Μήτηρ μέν ἐστιν Mb || ὀχυδρόμος Cd.

κἀγὼ δὲ αὐτῷ ὅλη ἀφωμοιώθην. » Καὶ δὴ ἐν μιᾷ ἀνάγκης ἐπελθούσης, ἠναγκάζετο ἡ ἡμίονος τρέχειν. Ὡς δὲ τοῦ δρόμου ἐπέπαυτο, σκυθρωπάζουσα πατρὸς τοῦ ὄνου εὐθὺς ἀνεμνήσθη.

Ὁ μῦθος δηλοῖ ὅτι δεῖ, κἂν ὁ χρόνος ἐνέγκῃ τινὰ εἰς δόξαν, τῆς ἑαυτοῦ ἀρχῆς μὴ ἐπιλαθέσθαι· ἀβέβαιος γάρ ἐστιν ὁ βίος οὗτος.

3 κἄγωγε Cd || κἀγὼ δὲ πάλιν ταύτῃ ἀφωμοιώθην Mb || δὲ om. Ce Cf Md Mh Mi Mm Lc Lg || αὐτοῦ Cb αὐτὸν Cf || ὅλος Cb Cd ὅλως Ce Cf Ch Lc M excepto Mb || ἐφομοιώθην αὐτῷ (αὐτῷ om. Cf) Ce Cf || αὐτὸν ἀφωμοιώθην Mc || Καὶ δὴ ... τρέχειν om. Mb || Καὶ δὴ καὶ Ma || ἐν μιᾷ τῶν ἡμερῶν ἐπελθούσης ἀνάγκης Ce || ἀνάγκη Cd || **4** ὁ ἡμίονος Ce M excepto Mc om. Lc Lg || τοῦ τρέχειν Mc C excepto Ca || Ὡς δὲ τὸν δρόμον μὴ δυνηθέντος διανύσαι, εὐθὺς ἐμνήσθη τοῦ πατρὸς αὐτοῦ ὄνου Ce || **5** πέπαυτο Cd Mb πέπαυται Cb Cf Ch Ma Md Mh Mi Mm Lc Lg πεπαύτει Mc || σκυθρωπάσας Cb Cf Mc -πουσα Cd σκυθρωπὴ οὖσα Mb om. Md Mh Mi Mm Lc Lg || τοῦ (τοῦ om. Lg) πατρὸς ὄνου Ma Md Mh Mi Mm Lc Lg || **6** ἐπανεμνήσθη Cb ὑπ- Cd Cf Ch M Lc Lg || **7** Ὅτι καὶ ὁ χρόνος ἐνέγκει Cb || Ὁ λόγος δηλοῖ ὅτι κἂν ὁ χρόνος αὐτὸς Cd Ὅτι κἂν χρόνος Mb || δεῖ om. Cb Cd Ce Cf Ma Mb Lc Lg || φέρῃ (-ρει Mh Lc) τινὰ Ma Md Mh Mi Mm Lc Lg || **8** τὴν ἑαυτοῦ (αὐτοῦ Ce) ἀρχὴν μὴ ἐπιλάθητο (-θετο Ce -θέτω Cf -θοιτο Mc) Cb Ce Cf Mc τὴν ἀρχὴν αὐτοῦ μὴ ἐπιλάθ' reliquis omissis Cd || μηδεὶς τὴν ἑαυτοῦ ἀρχὴν ἐπιλανθάνοιτο Mb || ἐμαυτοῦ Lc || ἐπιλάθοιτο Ch || ἐπιλάθηται ὅτι ἀβέβαιός ἐστιν (καὶ pro ἐστιν Lc) ὁ βίος οὗτος Ma Md Mh Mi Mm Lc Lg || οὗτος om. Ce Cf Mb.

Aliter.

Ἡμίονός τις ἐκ κριθῆς παχυνθεῖσα ἀνεσκίρτα τε καὶ ἐβόα καθ' ἑαυτήν· « Πατήρ μοι ὑπάρχει ἵππος ὁ ταχυδρόμος, ὃν ἐγὼ ὅλη διόλου ἀπεμιμήθην. » Καὶ δὴ ἐν μιᾷ ἠναγκάζετο τρέχειν ἡ ἡμίονος. Ὡς δὲ τοῦ δρόμου ἐπαύσατο, σκυθρωπάσασα τοῦ πατρὸς ὄνου αὐτῆς εὐθὺς ὑπανεμνήσθη.

Ὁ μῦθος δηλοῖ ὅτι, εἰ καὶ ὁ χρόνος ἐνέγκοι τινὰ εἰς δόξαν, οὐ δεῖ ἐπιλανθάνεσθαι τὴν τάξιν τοῦ οἰκείου γένους· ἀβέβαιος γάρ ἐστιν ὁ παρὼν βίος.

Cod. Mk 55.

Digitized by Google

Aliter.

Ἡμίονος ἐκ κριθῆς παχυνθεὶς ἀνεσκίρτησε βοῶν καὶ λέγων· « Πατήρ μού ἐστιν ἵππος ὁ ταχυδρόμος κἀγὼ αὐτῷ ὅλος ἀφωμοιώθην. » Καί ποτε ἀνάγκης ἐπελθούσης τρέχειν, ἐπειδὴ τοῦ δρόμου ἐπαύσατο, τοῦ πατρὸς ὄνου εὐθὺς ὑπεμνήσθη.

Ὁ μῦθος δηλοῖ ὅτι, κἂν ὁ χρόνος εἰς δόξαν φέρῃ τινά, τῆς ἑαυτοῦ γε μὴν τύχης μὴ ἐπιλανθανέσθω· ἀβέβαιος γάρ ἐστιν ὁ βίος οὗτος.

Codd. La 144 Mg 80.

6 Ὅτι Mg || **7** ἀβέβαιος ... οὗτος om. Mg.

Aliter.

Ἡμίονος ἐκ κριθῆς παχεῖα γενομένη ἔτρεχε σκιρτῶσα καὶ ἔλεγεν· « Ἵππος ἐστί μοι μήτηρ· ἐγὼ δὲ οὐδὲν αὐτῆς εἰς τὸν δρόμον ἐλάττων ⟨ὑπάρχω⟩ ». Ὅτε δὲ ἔπαυσε τοῦ δρόμου, ἐσκυθρώπασεν· ὄνου γὰρ εὐθὺς πατρὸς οὖσα ἀνεμνήσθη.

Ὅτι, κἂν ὁ χρόνος εἰς δόξαν ἐνέγκῃ τινά, μηδεὶς τὴν ἑαυτοῦ φύσιν ἀγνοείτω· ἀβέβαια γὰρ τὰ ἀγαθὰ τοῦ βίου.

Codd. Ba 46 Bb 30.

1 καὶ λέγουσα Bb || ἐλάττων < ὑπάρχω > nos ἐλάττω codd. || μηδ' εἰς τὴν ἑαυτοῦ φυὴν ἀνοεῖτο Bb.

Aliter.

Ἡμίονος ἐκ πολλῆς κριθῶν τροφῆς παχυνθεῖσα ἐν πεδίῳ σκιρτῶσα ἔλεγεν· « Ἵππος ἐστί μοι μήτηρ καὶ κατ' οὐδὲν ἐλάττων αὐτῆς κατὰ τὸν δρόμον ὑπάρχω. » Μόλις δὲ ἀπὸ τοῦ δρόμου κατάκοπος γενομένη ἡσύχασεν καὶ τότε πατρὸς οὖσα ὄνου ἀνεμνήσθη.

Cod. Bd 24.

3 ἔλαττον cod.

130

Ἡρακλῆς καὶ Ἀθηνᾶ.

Διὰ στενῆς ὁδοῦ ὥδευεν Ἡρακλῆς. Ἰδὼν δὲ ἐπὶ γῆς

Digitized by Google

μήλῳ ὅμοιόν τι ἐπειρᾶτο συντρῖψαι. Ὡς δὲ εἶδε διπλοῦν γενόμενον, ἔτι μᾶλλον ἐπέβαινεν, καὶ τῷ ῥοπάλῳ ἔπαιεν. Τὸ δὲ φυσηθὲν εἰς μέγεθος τὴν ὁδὸν ἀπέφραξεν. Ὁ δὲ ῥίψας τὸ ῥόπαλον ἵστατο θαυμάζων. Ἀθηνᾶ δὲ αὐτῷ ἐπιφανεῖσα εἶπε· « Πέπαυσο δέ, ἄδελφε, τοῦτό ἐστι φιλονεικία καὶ ἔρις· ἂν τις αὐτὸ καταλείπῃ ἀμάχητον, μένει οἷον ἦν πρῶτον· ἐν δὲ ταῖς μάχαις οὕτως οἰδεῖται. »

Ὅτι πᾶσι φανερὸν καθέστηκεν ὡς αἱ μάχαι καὶ ἔριδες αἰτίαι μεγάλης βλάβης ὑπάρχουσιν.

Codd. Ba 26 Mg 50.

3 ἐπέθετο pro ἐπέβαινεν Mg || 4 ἐπέφραξεν Mg || 7 καταλίπῃ Mg || 8 οἰδοῦται Ba Mg || 9 Ὅτι αἱ μάχαι .. Mg.

Aliter.

Διὰ στενῆς ὁδοῦ ὥδευεν Ἡρακλῆς. Μήλῳ δέ τι ὅμοιον κατὰ γῆς καθήμενον ἰδὼν ἐπειρᾶτο τῷ ῥοπάλῳ συντρίβειν. Τὸ δὲ [μᾶλλον] διπλοῦν ἀπὸ τῆς ψαύσεως τοῦ ῥοπάλου ἐγένετο. Ὁ δὲ μᾶλλον τῷ ῥοπάλῳ καὶ αὖθις ἔπαιε. Τὸ ⟨δ'⟩ εἰς μέγεθος ἀρθὲν τὴν ὁδὸν τούτῳ ἀπέφραξε. Ὁ δὲ ῥίψας τὸ ῥόπαλον ἵστατο ἐκπληττόμενος. Ἀθηνᾶ δὲ τοῦτον ἰδοῦσα ἔφη· « Ὦ Ἡράκλεις, παῦσαι θαυμάζων· τὸ γὰρ νῦν τὴν ἀπορίαν σοι προξενῆσαν ἡ φιλονεικία καὶ ἔρις ἐστίν. Ἂν οὖν τις ταύτην οἵαν εὗρεν ἀφήσῃ, ἐπὶ μικροῦ μένει· ἂν δὲ μάχεσθαι θέλῃ πρὸς ταύτην, οὕτως ἐκ μικροῦ οἰδεῖ καὶ εἰς μέγα προέρχεται. »

Cod. Bd 9.

4 δ' addidi || 10 θέλει cod.

131

Ἡρακλῆς καὶ Πλοῦτος.

Ἡρακλῆς ἰσοθεωθεὶς καὶ παρὰ Διὶ ἑστιώμενος ἕνα ἕκαστον τῶν θεῶν μετὰ πολλῆς φιλοφροσύνης ἠσπάζετο.

Codd. Pa 103 Pb 110 Pc 57 Pf 55 Pg 70 Ph 56 Ma 78 Me 72 Mf 63 Mj 72.

1 Ἡρακλῆς ὅτε ἰσοθεωθεὶς παρὰ τῷ Διὶ ἠτιᾶτο, ἕκαστον τῶν θεῶν μετὰ πολλῆς τῆς φιλοσοφίας ἀσύνης ἠσπάζετο Ma. || θεωθεὶς Mj ὁ θεωθεὶς Pf Ph Me Mf || καὶ om. Ph || τῷ Διὶ Pf Ph Me Mf.

Digitized by Google

Καὶ δὴ τελευταίου εἰσελθόντος τοῦ Πλούτου, κατὰ τοῦ ἐδάφους κύψας ἀπεστρέψατο αὐτόν. Ὁ δὲ Ζεὺς θαυμάσας τὸ γεγονὸς ἐπυνθάνετο αὐτοῦ τὴν αἰτίαν δι' ἣν πάντας τοὺς δαίμονας προσαγορεύσας ἀσμένως μόνον τὸν Πλοῦτον ὑποβλέπεται. Ὁ δὲ εἶπεν· « Ἀλλ' ἔγωγε διὰ τοῦτο αὐτὸν ὑποβλέπομαι ὅτι παρ' ὃν καιρὸν ἐν ἀνθρώποις ἤμην, ἑώρων αὐτὸν ὡς ἐπὶ τὸ πλεῖστον τοῖς πονηροῖς συνόντα. »

Ὁ λόγος λεχθείη ἂν ἐπ' ἀνδρὸς πλουσίου μὲν τὴν τύχην, πονηροῦ δὲ τὸν τρόπον.

3 τελευταῖον Pg Ma || εἰσιόντος Pb || **4** ἐδάφου κόψας Ma || κρύψας Pa Pc Pg || ἀπέστρεπτο Pa -εστρέφετο Ph || θεασάμενος τὸ γεγονὸς ἔφη δι' ἣν αἰτίαν τοὺς πάντας δαίμονας Ma || **5** αὐτοῦ om. Ph || δι' ἧς Pf Me Mf Mj || τοὺς δαίμονας om. Pb || **6** ἀσμένως προσαγορεύσας Pb Pg Ma Me Mf || ἀσμένως om. Ph || **7** ἀποβλέπεται Pb ἀπεβλέπετο Pc παραβλέπει Ma || φησὶν ὅτι Pg || δι' αὐτόν, omisso τοῦτο Ma || **8** ἀποβλέπομαι Pc || **9** δέ pro ἐπὶ Ma || τὸ om. Pc Pg || **10** Ἐπὶ ἀνδρὸς Ph || Ὁ μῦθος Mj || Ὁ λόγος ἐλέχθη πρὸς ἄνδρα πλούσιον μὲν τῇ τύχῃ, πονηρὸν δὲ πρός. sic desinit Ma || Pb Pf Mc Mf Mj epimythium fabulae sequentis (Ἥρως) habent.

132

Ἥρως.

Ἡρωά τις ἐπὶ τῆς οἰκίας ἔχων, τούτῳ πολυτελῶς ἔθυεν. Ἀεὶ δὲ αὐτοῦ ἀναλισκομένου καὶ πολλὰ εἰς θυσίας δαπανῶντος, ὁ ἥρως ἐπιστὰς αὐτῷ νύκτωρ ἔφη· « Ἀλλ', ὦ οὗτος, πέπαυσο τὴν οὐσίαν διαφθείρων· ἐὰν γὰρ πάντα ἀναλώσας πένης γένῃ, ἐμὲ αἰτιάσῃ. »

Οὕτω πολλοὶ διὰ τὴν ἑαυτῶν ἀβουλίαν δυστυχοῦντες τὴν αἰτίαν ἐπὶ τοὺς θεοὺς ἀναφέρουσιν.

Codd. Pa 102 Pb 109 Pc 56 Pg 71 Ph 57 Mb 61 Ca 80.

2 ἐξαναλισκομένου Pb Ph ἐξαλισκομένου Pc || τὰς θυσίας Ph θυσίαν Pg Mb Ca || **3** νυκτός Ph Mb || Ἀλλ' om. Ca || **4** τὰς οὐσίας Pa τὰς θυσίας Ph || τὴν θυσίαν διατρίβων τὴν οὐσίαν Pb || **5** ἀναλώσῃς (-σεις Mb) καὶ Pb Pg Mb Ca || **6** αὐτῶν Ca || **7** τὸν θεὸν Mb τὸ θεῖον Pf Ph Me Mf || τοῖς θεοῖς ἐπιγράφονται Ca.

Digitized by Google

133

Θύννος καὶ δελφίς.

Θύννος διωκόμενος ὑπὸ δελφῖνος καὶ πολλῷ τῷ ῥοίζῳ φερόμενος, ἐπειδὴ καταλαμβάνεσθαι ἔμελλεν, ἔλαθεν ὑπὸ σφοδρᾶς ὁρμῆς ἐκβρασθεὶς εἴς τινα ἠϊόνα. Ὑπὸ δὲ τῆς αὐτῆς φορᾶς ἐλαυνόμενος καὶ ὁ δελφὶς αὐτῷ συνεξώσθη. Καὶ ὁ θύννος, ὡς ἐθεάσατο ἐπιστραφεὶς αὐτὸν λιποθυμοῦντα ἔφη· « Ἀλλ' ἔμοιγε οὐκέτι λυπηρὸς ὁ θάνατος· ὁρῶ γὰρ καὶ τὸν αἴτιόν μοι θανάτου γενόμενον συναποθνήσκοντα. »

Ὁ λόγος δηλοῖ ὅτι ῥᾴδιον φέρουσι τὰς συμφορὰς οἱ ἄνθρωποι, ὅταν ἴδωσι καὶ τοὺς αἰτίους τούτων γεγονότας δυστυχοῦντας.

Codd. Pa 105 Pb 112 Pc 58 Pf 56 Pg 73 Ph 58 Mb 64 Me 73 Mf 64 Mj 73.

1 Θύνος Mj ubique || πολλῷ ῥοίζῳ Pb || ῥυζῳ Pa || **3** τῆς σφοδρᾶς Pb || ἐκβρασθῆναι Pa ἐκβραθεὶς Mj ἐκκρουσθεὶς Pb || τὴν ἠϊόνα Pc || ἠόνα Pb νῆσον Mf et in margine Me || τῆς αὐτοῦ φορᾶς Pb || τῆς αὐτῆς σφοδρᾶς ῥύμης (ὁρμῆς Mf) Me Mf || **4** δελφὶν Pb Pc Mj || συνεξώθει Pb συνεξώκειλεν Me Mf || Συνεξώσθη δὲ αὐτῷ καὶ ὁ δελφὶς ὑπὸ τῆς αὐτῆς φορᾶς ἐλαυνόμενος. Ph || **5** ὡς ἐθεάσατο om. Ph || πρὸς αὐτὸν Pa Pc καὶ αὐτὸν Pf || ἐπιστραφεὶς καὶ αὐτὸν λειποψυχοῦντα τὸν δελφῖνα (τὸν δ- om. Ph Mj) ἰδὼν (ἑωρακὼς Me Mf) Ph Me Mf Mj || λιποθυμοῦντα Pa λειποψυχοῦντα ceteri || **6** εἶπεν Me Mf || **7** καὶ om. Pc || μου τοῦ θανάτου Pb || θανάτῳ Pg τούτου pro θανάτου Ph || γινόμενον Pf Me Mf Mj, om. Ph || **8** σὺν ἐμοὶ ἀποθνήσκοντα Me Mf || **9** ῥαδίως Mb || τῶν ὁμοίων συμφορὰς Pa || **10** τὴν pro τοὺς Pc || συναποθνήσκοντας, omisso γεγονότας Pb || **9-11** Ὁ λόγος (μῦθος Mj) δηλοῖ ὅτι (hoc initium om. Pf Ph) ῥᾴδιον (-δίως Me Mf Mj) φέρουσι τὰς συμφορὰς ἄνθρωποι (οἱ ἀ- Mf), ὅταν ἴδωσι δυστυχοῦντας τοὺς τούτων αἰτίους γεγονότας (γεγονότας om. Ph) Pf Ph Me Mf Mj.

Aliter.

Θύννος διωκόμενος ὑπὸ δελφῖνος καὶ πολλῷ τῷ ῥοίζῳ

Codd. Ch 60 Ca 85 (mancus) Cb 53 Cd 51 Ce 56 Cf 60 Mh 52.

1 Χῦνα διωκομένη ... φερομένη Cd || Θύνος Cf ubique || ὑπὸ τοῦ δελφίνου Cb || πολὺ Ce πολλὰς Mh || τῷ ῥίζῳ Ce Cf.

φερόμενος, ἐπειδὴ καταλαμβάνεσθαι ἔμελλεν, ἔλαθεν ὑπὸ σφοδρᾶς ὁρμῆς ἐμπεσὼν εἴς τινα νῆσον. Ὑπὸ δὲ τῆς αὐτῆς φορᾶς ἐλαυνόμενος καὶ ὁ δελφὶς σὺν αὐτῷ εἰς τὴν νῆσον ἐξῆλθεν. Ἐπιστραφεὶς δὲ ὁ θύννος καὶ τὸν δελφῖνα λειποψυχοῦντα θεασάμενος ἔφη· « Ἀλλ' ἔμοιγε οὐκέτι λυπηρὸς ὁ θάνατος· ὁρῶ γὰρ καὶ τὸν αἴτιον τοῦ θανάτου μοι γεγονότα σὺν ἐμοὶ ἀποθνῄσκοντα. »

Ὁ μῦθος δηλοῖ ὅτι ῥᾳδίως φέρουσι τὰς συμφορὰς οἱ ἄνθρωποι, ὅταν ἴδωσι τοὺς αἰτίους τούτων δυστυχοῦντας.

2 ἤμελεν Mh || 3 ὁρμῆς εἴς τινα προσπεσεῖν γῆν Cd || τῆς σφοδρᾶς ὁρμῆς ἐνέπεσεν εἴς τινα νῆσον Mh || ἐμπεσεῖν Ca Cb || Ὑπὸ δὲ αὐτοῦ σφοδρῶς ἐλαυνόμενος καὶ ὁ δελφὶς σὺν αὐτῷ εἰς hic desinit fabula in Ca : sequentia τὴν καρδίαν ἁρπάσας κ. τ. λ. pertinent ad fabulam Κύων καὶ μάγειρος || Ὑπὸ δὲ ταύτης τῆς φορᾶς Cb || Σφοδρῶς δὲ διώκον αὐτὸν καὶ ὁ δελφὶν καὶ αὐτὸς σὺν αὐτῷ εἰς.. Mh || 4 καὶ om. Ch. || ὁ δελφῖνος Ce || δελφὶς αὐτῷ συνεξῶσθαι. Cd || 5 Καὶ ἡ θύνα, ὡς ἐθεάσατο, ἐπιστραφεῖσα πρὸς αὐτὸν λειποψυχοῦντα ἔφη Cd || Ἐπιστραφεὶς δὲ ὁ θήνη καὶ ἰδὼν τὸν δελφῖνα λιποθυμοῦντα· Ἀλλ' ἔμοιγε, ἔφη, οὐκ ἔστι Mh || τὸν δελφῖνον λιποψυχοῦντα Cb || 6 Ἀλλέ γέ μοι οἰκέτη Cb || οὐκ ἔστι Cf || 7 γάρ μοι καὶ τὸν αἴτιον θανάτου γενόμενον hic desinit Cd || ὁρῶν γὰρ τὸν αἴτιον τοῦ θανάτου γεγονότα Ce || ὁρῶ γὰρ τὸν αἴτιον γεγονότα καὶ σὺν ἐμοὶ ἀποθνήσκοντα Cf || 8 μου Cb Mj || γεγονότα om. Mh || συναποθνήσκοντά με Mh || 9 Ὅτι Cb || Ὁ λόγος Cd || ἀφορμὰς Cf || 10 ὁρῶντες καὶ τοὺς αἰτίους αὐτῶν ἀποθνήσκοντας δυστυχῶς Ce || καὶ τοὺς αἰτίους αὐτῶν Cd || τῶν αἰτίων Cf.

Aliter.

Θύννος διωκόμενος ὑπὸ δελφῖνος καὶ πολλῷ τῷ ῥοίζῳ φερόμενος, ἐπειδὴ καταλαμβάνεσθαι ἔμελλεν, ἔλαθεν ὑπὸ σφοδρᾶς ῥύμης ἐκπεσὼν εἴς τινα νῆσον. Ὑπὸ δὲ τῆς ὁμοίας ῥύμης καὶ ὁ δελφὶν αὐτῷ συνεξώκειλεν. Ὁ δὲ θύννος ἐπιστραφεὶς καὶ λειποψυχοῦντα τὸν δελφῖνα ἑωρακὼς εἶπεν· « Οὐκέτι μοι ὁ θάνατος λυπηρὸς ὁρῶντι τὸν αἴτιον γεγονότα μοι τούτου σὺν ἐμοὶ ἀποθνῄσκοντα. »

Codd. La 30 Lb 58 Ld 21 Le 58 Lf 30 Lh 22 Ma 77bis (in ima pagina alia manu) et 169 Mc 52 Md 57 Mg 81 Mi 92 Mk 56 Ml 76 Mm 73 Mn 21.

1 Θύνος Mg ubique || 2 φαινόμενος pro φερόμενος Mn || 3 ἐμπεσὼν Ld || τὴν νῆσον Ma 77bis || 4 καὶ ὁ om. Ma 77bis || αὐτὸν συνεξώκηλεν Mc || συνεξέπεσεν Mk || 5 ἐπιστραφεὶς καὶ om. Mk || Ὁ δὲ θύννος θεασάμενος τὸν δελφῖνα εἶπεν Mk || 6 οὐκ ἔστι Mm || λυπηρὸς ὁ θάνατος Mk || θάνατος sine ὁ Ld Mc Mn || ὁρῶν Ma uterque, Mm || 7 γενόμενον Ma 77bis || μοι om. Ld Mc || τούτου om. Mm.

Digitized by Google

Ὁ μῦθος δηλοῖ ὅτι ῥᾳδίως τὰς συμφορὰς οἱ ἄνθρωποι φέρουσι, τοὺς τούτων αἰτίους δυστυχοῦντας ὁρῶντες.

8 δηλοῖ om. Lb Lh || Ὅτι Ma 77bis || τῆς συμφορᾶς Mm || φέρουσι τὰς δυστυχίας Mk || 9 συνδυστυχοῦντας Mk.

134

Ἰατρὸς ⟨ἄτεχνος⟩.

Ἰατρὸς ἦν ἄτεχνος. Οὗτος ἀρρώστῳ παρακολουθῶν, πάντων ἰατρῶν λεγόντων αὐτὸν μὴ κινδυνεύειν, ἀλλὰ χρονίσειν ἐν τῇ νόσῳ, οὗτος μόνος ἔφη αὐτῷ πάντα τὰ αὐτοῦ ἑτοιμάσαι· « τὴν αὔριον γὰρ οὐκ ὑπερβήσῃ. » Ταῦτα εἰπὼν ὑπεχώρησε. Μετὰ χρόνον δέ τινα ἀναστὰς ὁ νοσῶν προῆλθεν, ὠχρὸς καὶ μόλις βαίνων. Ὁ δὲ ἰατρὸς συναντήσας αὐτῷ· « Χαῖρε, ἔφη· πῶς ἔχουσιν οἱ κάτω ; » Κἀκεῖνος εἶπεν· « Ἠρεμοῦσι πιόντες τὸ τῆς Λήθης ὕδωρ. Πρὸ ὀλίγου δὲ ὁ Θάνατος καὶ ὁ Ἅιδης δεινῶς ἠπείλουν τοὺς ἰατροὺς πάντας, ὅτι τοὺς νοσοῦντας οὐκ ἐῶσιν ἀποθνήσκειν, καὶ κατεγράφοντο πάντας. Ἔμελλον δὲ καὶ σὲ γράψαι, ἀλλ' ἐγὼ προσπεσὼν αὐτοῖς καὶ δυσωπήσας, ἐξωμοσάμην αὐτοῖς μὴ ἀληθῆ ἰατρὸν εἶναί σε, ἀλλὰ μάτην διεβλήθης. »

[Ὅτι] τοὺς ἀπαιδεύτους καὶ ἀμαθεῖς καὶ κομψολόγους ἰατροὺς ὁ παρὼν μῦθος στηλιτεύει.

Codd. Ba 53 Bb 33 Mb 70.

1 Ἰατρὸς ἄτεχνος ἀρρώστῳ παρακολουθῶν Mb || 2 αὐτὸν nos : αὐτῷ Ba Bb αὐτῶν Mb || κινδυνεύσειν Ba Mb || 3 χρονήσειν Bb || οὕτως pro οὗτος Mb || 4 ἑτοιμάσειν Ba ἑτοιμᾶσθαι Mb || οὐχ ὑπερβήσει γὰρ τὴν αὔριον καὶ ταῦτα Mb || ὑπερβήσει Bb || 6 ὠχθρὸς Bb || μόλις βαίνων nos μόλις ὢν (ὢ Bb) libri || ᾧ συναντήσας ὁ ἰατρός· χαῖρε, omisso εἶπεν Mb || ἰατρὸς ἐκεῖνος συναντίσας Bb || 7 αὐτῷ nos, αὐτόν Bb om. Ba || 9 δεινὸν Bb || τοῖς ἰατροῖς omisso πάντας Mb || 11 Post γράψαι desinit Mb || 15 ἐλέγχει καὶ στηλιτεύει Bb.

Aliter.

Ἰατρὸς ἄπειρος ἀρρώστῳ προσελθὼν πάντα πρὸς ταφὴν

εὐτρεπίσαι τοῖς πρὸς αὐτὸν ἐκέλευε· τὴν γὰρ αὔριον οὐχ ὑπερβήσεσθαι αὐτόν. Μετὰ δέ τινα χρόνον ὁ ἀρρωστῶν ἀναστὰς καὶ συναντήσας τῷ ἰατρῷ, ἀσπασίως ὁ ἰατρὸς προσηγόρευσε καὶ πῶς ἔχουσιν οἱ περὶ τὸν ῞Αιδην ἠρώτα. Ὁ δὲ εἶπεν· « Ἠρεμοῦσι πάντες, πλήν γε ὅτι ὁ Θάνατος καὶ ὁ ῞Αιδης ἠπείλουν πᾶσι τοῖς ἰατροῖς τὰ ἀνήκεστα, ὅτι τοὺς νοσοῦντας οὐκ ἐῶσιν ἀποθνῄσκειν· ἔγραφον δὲ αὐτῶν τὰ ὀνόματα ἐπὶ τιμωρίᾳ. Μελλόντων δὲ καὶ σὲ γράψαι, προσπεσὼν αὐτοῖς ἐγὼ καὶ δυσωπήσας ἐξωμοσάμην μὴ εἶναί σε ἀληθῆ ἰατρόν, ἀλλὰ μάτην διεβλήθης.

Cod. Bd 26.

3 ὑπερβήσεσθαι nos ὑπερβῆναι cod. || ἀρρωστὸν cod.

135

Ἰατρὸς καὶ νοσῶν.

Ἰατρὸς ἐκκομιζομένῳ τινὶ τῶν οἰκείων ἐπακολουθῶν ἔλεγε πρὸς τοὺς προπέμποντας ὡς οὗτος ὁ ἄνθρωπος, εἰ οἴνου ἀπείχετο καὶ κλυστῆρσιν ἐχρήσατο, οὐκ ἂν ἀπέθανε. Τούτων δέ τις ὑποτυχὼν ἔφη· « Ὦ οὗτος, ἀλλ' οὐ νῦν σε ἔδει ταῦτα λέγειν, ὅτε οὐδὲν ὄφελος, τότε δὲ παραινεῖν, ὅτε καὶ χρῆσθαι ἠδύνατο. »

Codd. Pa 106 Pb 113 Pc 59 Pf 57 Pg 76 Ph 59 Ma 79 Mb 67 Me 74 Mf 65 Mj 74.

1 Ἰατρός τινι τῶν οἰκείων ἐκφερομένων τῇ κηδίᾳ ἀκολουθῶν ἔλεγεν ὡς αὐτός, ἂν οἶνον ἀπέσχετο καὶ καυστηρίᾳ ἐχρήσατο Ma || Ἰατρὸς νοσοῦντα ἐθεράπευε. Τοῦ δὲ νοσοῦντος ἀποθανόντος καὶ ἐκκομιζομένου παρὰ τῶν οἰκείων, ἐπακολουθῶν ὁ ἰατρὸς πρὸς τοὺς προπέμποντας ἔλεγε Me Mf || ἐκκομιζομένων Pf || τῶν οἰκείων om. Pc || κατακολουθῶν Pg Mb, om. Pb || **2** συμπροπέμποντας Pb συμπομπεύοντας Pc πέμποντας Mj || ὦ pro ὡς οὗτος Mb || **3** κλυστῆρι Pa Pf Pg Ph Mb κλυστηρίῳ Pc || ἔχρητο Pg Me Mf ἐκέχρητο Mb || **4** Τοῦτον Pb Pc Οὕτω Pf Me Mf Mj || Ὑποτυχὼν δέ τις Ph Ma || ὑπολαβὼν Pg Mb || ἔφη πρὸς αὐτόν Pf Ph Ma Me Mf Mj || νῦν post ταῦτα Pb || οὐ δεῖ σε νῦν (νῦν σε Mb) τοῦτο Pg Mb || **5** ὄφελος Pa Pf Mf ὄφελός ἐστι ceteri || ἀλλὰ τότε Pc Mb || ἀλλ' ὅτε κεχρῆσθαι ἠδύνατο, reliquis omissis Ma || αὐτῷ παραινεῖν (-νεῖ Pf) ἔδει (ἔδει om. Pc Ph) Pc Pf Ph Me Mf Mj || **6** κεχρῆσθαι pro καὶ χρῆσθαι Pb Pg || αὐτὸ κεχρῆσθαι Mb.

Digitized by Google

Ὁ λόγος δηλοῖ ὅτι δεῖ τοῖς φίλοις παρὰ τὰς χρείας τὰς βοηθείας παρέχεσθαι, ἀλλὰ μὴ μετὰ τὴν τῶν πραγμάτων ἀπόγνωσιν κατειρωνεύεσθαι.

7 Ὅτι δεῖ Mb || χρὴ Pb || τοὺς φίλους Pb Me || πᾶσι τὰς χρείας Ma || **8** παρέσχεται Ma || μὴ om. Ma || ἀλλα μὴ ... κατειρωνεύεσθαι om. Pb || μετὰ τὰς... ἀπογνώσεις Pa || **7-9** Ὅτι δεῖ τοῖς φίλοις βοηθεῖν ἔργοις (ἔργῳ Ph) πρὸ τῆς τῶν πραγμάτων ἀπογνώσεως καὶ μὴ μετὰ ταῦτα (τοῦτο Ph) λόγοις κατειρωνεύεσθαι Pf Ph Ὁ μῦθος δηλοῖ ὅτι δεῖ τοὺς φίλους ἐν καιρῷ ἀνάγκης τὰς βοηθείας παρέχειν καὶ μὴ μετὰ τὴν τῶν πραγμάτων ἀπόγνωσιν λόγοις κατειρωνεύεσθαι Me Mf.

Aliter.

Ἰατρός τις ἐπισκεπτόμενος ἄρρωστον, συνέβη ἀποθανεῖν αὐτόν. Ὁ δὲ ἰατρὸς ἔλεγε πρὸς τοὺς ἐκκομίζοντας αὐτόν· « Οὗτος ὁ ἄνθρωπος, εἰ οἴνου ἀπείχετο καὶ κλυστῆρσιν ἔχρητο, οὐκ ἂν ἀπέθανε. » Τῶν δὲ παρόντων τις ὑπολαβὼν ἔφη αὐτῷ· « Ὦ οὗτος, οὐκ ἔδει σε νῦν τοῦτο λέγειν, ὅτε οὐδὲν ὄφελός ἐστιν, ἀλλα τότε παραινεῖν σε ἔδει, ὅτε καὶ χρῆσθαι ἠδύνατο. »

Ὁ μῦθος δηλοῖ ὅτι δεῖ τοῖς φίλοις ἐν καιρῷ ἀνάγκης τὰς βοηθείας παρέχειν καὶ μὴ μετὰ τὴν τῶν πραγμάτων ἀπόγνωσιν κατειρωνεύεσθαι.

Codd. Ch 61 Cb 54 Ce 57 Cf 61 Mc 53 Mh 53 Mk 57.

1 Ἰατρός τις ἦν ἐπισκεπτόμενος ἄρρωττον· ὃν ἀποθανόντα ἰδὼν ἔφησε πρὸς τοὺς αὐτὸν ἐκκομίζοντας Mh Ἰατρός τις ἐπισκεπτόμενος ἄρρωστον οὐκ ἠδυνήθη θεραπεῦσαι αὐτόν. Ὡς οὖν εἶδεν αὐτὸν νεκρὸν ἐκκομιζόμενον, ἔλεγε πρὸς τοὺς ἐκκομίζοντας Mk || τις om. Cb || **2** ἔλεγον Cb || ἐκκωμιάζοντας Cb κομίζοντας Ce || **3** ὡς εἰ οὗτος ὁ ἄνθρωπος οἴνου Cb || ἀπέσχετο Ce || κλυστῆρι Ch Mh κλυστῆρα Mc || **4** ἐχρᾶτο Ce Cf || ἀπέθνησκεν Mh || **5** ἔφη τῷ ἰατρῷ Mk || τούτω Cb τοῦ pro τοῦτο Mc Mh || τοῦτο νῦν Mk || ὅτι Mc || **6** οὐδέν ἐστιν Mh || ἐστιν om. Mk || σε ἔδει om. Mh Mk || ἔδει om. Cb Mc || ὅτε ἠδύνατό σου ἀκούειν Mk || **7** χρᾶσθαι Cb κεχρῆσθαι omisso καὶ Mc || ἐδύνατο (ἠδύνητο Cf) σοι Ce Cf || **8** Ὅτι δεῖ Cb || δεῖ τοὺς φίλους ἐν κ. ἀ. τὰς βοηθείας τοῖς φίλοις Mk || τοὺς φίλους Ce Cf || ἀνάγκης τὰς om. Mh || **9** καὶ μὴ μετὰ τὴν ἀπόδασιν τῶν λυπηρῶν καὶ ἀπόγνωσιν κατειρωνεύεσθαι Mk || τὴν om. Ch || πραγμάτων ἔκδασιν, ὅτε οὐδέν ἐστιν ὄφελος sic desinit Mh || ἀπόὃασιν Mc.

Aliter.

Ιατρὸς νοσοῦντα ἐθεράπευε. Τοῦ δὲ νοσοῦντος ἀπο-

θανόντος, ἐκεῖνος πρὸς τοὺς ἐκκομίζοντας ἔλεγεν· « Οὗτος ὁ ἄνθρωπος, εἰ οἴνου ἀπείχετο καὶ κλυστῆρσιν ἔχρητο, οὐκ ἂν ἐτεθνήκει. » Τῶν δὲ παρόντων ὑπολαβών τις ἔφη· « Ὦ βέλτιστε, οὐκ ἔδει σε ταῦτα νῦν λέγειν, ὅτε μηδὲν ὄφελός ἐστιν, ἀλλὰ τότε παραινεῖν, ὅτε τούτοις χρῆσθαι ἠδύνατο. »

Ὁ μῦθος δηλοῖ ὅτι δεῖ τοὺς φίλους ἐν καιρῷ ἀνάγκης τὰς βοηθείας παρέχειν καὶ μὴ μετὰ τῶν πραγμάτων ἀπόγνωσιν κατειρωνεύεσθαι.

Codd. La 31 Lb 59 Lc 24 Le 59 Lf 31 Lg 24 Lh 23 Md 58 Mg 82 Mi 93 Ml 77 Mm 74.

3 κλυστήροιν Mi || ἐχρήσατο Md Mm || **4** δὲ om. Md || τις ὑπολαβὼν Le || εἶπεν Lg || Ὦ om. La Le Lg Lh Mg Mm || **5** Post νῦν λέγειν ὃ desinit Mi || **7** Ὁ μῦθος ὅτι Lb Mm || τοὺς φίλους ὠφελεῖν καὶ τὰς βοηθείας ἐν καιρῷ ἀνάγκης παρέχειν Md Mm || **8** τὴν τῶν πραγμάτων ἀπόβασιν Md Mg Mm.

Aliter.

Ἰατρὸς ὁρῶν ἄρρωστον ὑπὸ νόσου
ἐπεμελεῖτο πρὸς ῥῶσιν τοῦ κειμένου.
Μετὰ μικρὸν δὲ τοῦτον θανεῖν συνέβη.
Ἀλλ' ἰατρὸς ἔλεγε πρὸς τοὺς παρόντας·
« Εἰ οἴνου ἀπείχετο, ψυχροῖς δ' ἐχρῆτο,
οὐκ ἄν γε ἀπέθανεν ὁ μακαρίτης. »
Ὑπολαβὼν δέ τις τῶν ἐκεῖ παρόντων·
« Ὦ οὗτός γε, ἔφησε τῷ ἰητῆρι,
Οὐ δεῖ ταῦτα λέγειν σε τούτου θανόντος·
Τί γὰρ ὠφελεῖ ψυχρὰ τῷ τεθνηκότι;
ἀλλ' ὅτε ἔζη, τότε χρῆν διαιτᾶσθαι. »

Ὁ λόγος δηλοῖ ὅτι τῶν φίλων οἱ ἄρρωστοι εἰς τὰς ἀνάγκας τὴν βοηθείαν φέρωσιν ὡς ἐπὶ τὸ πλεῖστον· οὐ γὰρ εἰρωνεύονται μετὰ τὴν τύχην.

Cod. Cd 52.

1 ὑπὸ τῆς νόσου cod. deleui τῆς || **5** ψυχροῖς δ' ἐχρῆτο nos : ψυχρὰ δὲ χρῆτο cod. || **7** ἐκεῖ nos ἐκεῖσε cod. || **11** ὅτε nos ὅτ' cod. || Epim. corruptum est.

136

Ἰκτῖνος καὶ ὄφις.

Ἰκτῖνος ὄφιν ἁρπάσας ἀπέπτατο. Ὁ δὲ ἐπιστραφεὶς καὶ

Cod. Ba 56.

1 Ἴκτινος cod. || ἁρπάσας nos ἁρπάσαντος cod. || ἀπέπτατο nos : ἐπέτατο cod.

Digitized by Google

δακὼν καὶ ἀμφότεροι ⟨ἐκ⟩ τοῦ ὕψους κατενεχθέντες, ὁ μὲν ἰκτῖνος ἐτεθνήκει· ὁ δὲ ὄφις ἔφη αὐτῷ· « Τί τοσοῦτον ἐμάνης, ὅτι τοὺς μηδὲν ἀδικοῦντας βλάπτειν ἠβούλου; ἀλλὰ δίκην ἔδωκας τῆς ἁρπαγῆς δικαίαν. »

Ὅτι πλεονεξίᾳ τις προσέχων καὶ τοὺς ἀσθενεστέρους ἀδικῶν, ἰσχυροτέρῳ προσπεσών, ὡς οὐκ ἐλπίζει, ἐκτίσει τότε καὶ ἃ πρότερον ἐποίησε κακά.

2 ἐκ addidi || 7 ἐλπίζει nos ἐλπίζειν cod.

Aliter.

Ἰκτῖνος ὄφιν ἄνω πετάσας φέρει.
Ὁ δ' ⟨ὄφις⟩ ἐπιστραφεὶς καὶ δακὼν τοῦτον,
εὐθὺς τέθνηκεν. Ὁ δ' ὄφις ἀνεβόα·
« Ἵνα τί ἄρα οὕτως αὐτὸς ἐμάνης
ὥστε τοὺς μηδὲν ὅλως ἠδικηκότας
βλάπτειν ἐβούλου καὶ θάνατον προσάγειν;
Ὅμως πέπονθας ὃ ἐβούλου μοι πρᾶξαι. »

Ὅτι πλεονεξίᾳ τις προσέχων καὶ τοὺς ἀσθενεῖς ἀδικῶν, ἰσχυροτέροις ἐμπεσών ποτε, καὶ μὴ ἐλπίζων, ἐκτίσει ἃ πρότερον πεποίηκε κακά.

Cod. Mb 72.

2 ὄφις addidi || 3 εὐθὺς nos αὖθις εὐθὺς cod.

Aliter.

Ἰκτῖνος ὄφιν ἁρπάσας εἰς ὕψος ἀπέπτη. Ὁ δὲ ὄφις ἐπιστραφεὶς καὶ πλήξας τοῦτον, ἀμφοτέρους εἰς γῆν ἀφ' ὕψους πεσεῖν συμβέβηκε. Τοῦ οὖν ἰκτίνου ἐκ τῆς πληγῆς τεθνηκότος, ὁ ὄφις πρὸς αὐτὸν ἔφη· « Τί τοσοῦτον ἐμεμήνεις, ταλαίπωρε, ὅτι τοὺς μηδὲν ἀδικοῦντας βλάπτειν ἐβούλου; Δικαίως οὖν ἔδωκας γνώμης δίκην ἀξίαν. »

Cod. Bd 28.

2 ἐπιστραφεὶς nos ἐπιστραφὼν cod. || 3 Τοῦ οὖν ἰκτῖνος cod.

Digitized by Google

137

Ἰκτῖνος χρεμετίζων.

Ἰκτῖνος φωνὴν εἶχεν ἄλλην ὀξεῖαν. Ἵππου δὲ ἀκούσας καλῶς χρεμετίζοντος, μιμούμενος τὸν ἵππον καὶ συνεχῶς τοῦτο ποιῶν καὶ ταύτην μὴ καλῶς ἐκμαθών, καὶ τῆς ἰδίας φωνῆς ἐστέρηται, καὶ οὔτε τὴν τοῦ ἵππου ἔσχεν οὔτε τὴν πρώτην.

Ὅτι οἱ εὐτελεῖς καὶ φθονεροὶ ζηλοῦντες τοῦ παρὰ τὴν ἑαυτῶν φύσιν καὶ τῶν κατὰ φύσιν στεροῦνται.

Cod. Ba 55.

1 Ἴκτινος cod. || 4 ταύτην pro τὴν cod. || 6 ζηλοῦνται cod.

Aliter.

Ἰκτῖνος φωνὴν εἶχεν ἄλλην ὀξεῖαν.
Ἀκούσας δὲ ⟨εὖ⟩ χρεμετίζοντος ἵππου,
εὐθὺς αὐτίκα φωνὴν αὐτοῦ μιμεῖται,
ὅστις συνεχῶς τὴν φωνὴν ταύτην λέγων
οὐκ ἠδυνήθη τοῦ μαθεῖν ταύτην ὅλως·
χρεμετίζων γὰρ ὅμως οὐκ ἐδυνήθη
τὴν φωνὴν ⟨τὴν⟩ τοῦ ἵππου καταλαβέσθαι,
καὶ τῆς ἰδίας φωνῆς ἀπεστερήθη.

Ὅτι οἱ φθονεροὶ ζητοῦντες τὰ παρὰ τὴν φύσιν ὑστεροῦνται καὶ τῶν κατὰ φύσιν.

Cod. Mb 71.

1 εἶχε, ἀλλ' ἦν ὀξεῖαν cod. || 2 εὖ addidi || 6 ὅμως οὐκ ἠδυνήθη nos κοὐ μὴ δυνηθεὶς cod. || 7 τὴν addidi || 9 ὑστέρονται cod.

138

Ἰξευτὴς καὶ ἀσπίς.

Ἰξευτὴς ἀναλαβὼν ἰξὸν καὶ τοὺς καλάμους ἐξῆλθεν ἐπ'

Codd. Pa 107 Pb 114 Pc 60 Pf 58 Pg 75 Ph 60 Ma 80 Me 75 Mf 66 Mj 75.

1 Ἰξευτὴς ἰξὸν ἀναλαβὼν καὶ καλάμους πρὸς ἄγραν ἐξῆλθεν Me Mf ἰξὰν Ma || τοὺς om. Pg || εἰς ἄγραν Ma.

Digitized by Google

ἄγραν. Θεασάμενος δὲ κίχλαν ἐπί τινος ὑψηλοῦ δένδρου καθημένην, ταύτην συλλαβεῖν ἠβουλήθη. Καὶ δὴ συνάψας εἰς μῆκος τοὺς καλάμους ἀτενὲς ἔβλεπεν, ὅλος ὢν πρὸς τῷ ἀέρι τὸν νοῦν. Τοῦτον δὲ τὸν τρόπον ἄνω νεύων ἔλαθεν ἀσπίδα πρὸ τῶν ἑαυτοῦ ποδῶν κοιμωμένην πατήσας· ἥτις ἐπιστραφεῖσα δῆξιν εἰς αὐτὸν ἀνῆκεν. Ὁ δὲ λιποψυχῶν ἔφη πρὸς ἑαυτόν· « Ἄθλιος ἔγωγε, ὃς ἕτερον θηρεῦσαι βουλόμενος ἔλαθον αὐτὸς ἀγρευθεὶς εἰς θάνατον. »

Οὕτως οἱ τοῖς πέλας ἐπιβουλὰς ῥάπτοντες φθάνουσιν αὐτοὶ συμφοραῖς περιπίπτοντες.

3 καθημένην om. Ph || ἠδυνήθη pro ἠβουλήθη Pb || ἀνάψας Pb || 4 ὅλος πρὸς τῷ ἀέρι τὸν νοῦν ἔχων Ph ὅλως πρὸς τὸν ἀέριον τὸν νοῦν ἔχον Ma || πρὸς τὸν ἀέρα Pc Pg || 5 Τούτῳ δὲ τῷ τρόπῳ Pf Ph Me Mf Mj || Τοῦτον ... ἔλαθεν om. Ma || 6 Ἀσπὶς δὲ πρὸς τοὺς ἑαυτοῦ πόδας κοιμωμένη, ταύτην πατήσας, ἐπιστραφεῖσα Ma || τῶν ποδῶν αὐτοῦ Pg Me Mf || αὐτοῦ Pf Mj || κοιμώμενον Pa || πατῆσαι Pa Pb || 7 δῆξιν εἰς αὐτὸν ἀνῆκεν Pg δήξει αὐτὸν ἀν- Pa δάξ εἰς αὐτὸν ἀν- Pc ἔπληξεν αὐτόν Pb τοῦτον ἔδακεν Pf Ph M || λειποψύχῶν Pb Pc || λειποθυμήσας πρὸς ἑαυτὸν ἔλεγεν Pf Ph Me Mf Mj λυποθυμὸν ἔλεγεν Ma || 8 ἐγὼ Pf Ph Me Mf Mj || ὡς Pa Pg || ἕτερον om. Pg || βουλόμενος θηρεῦσαι Ph || 9 βουλόμενος αὐτὸς ἠγρεύθην εἰς θάνατον Pg || βουληθεὶς αὐτὸς εἰς θάνατον ἤγρωμαι Ma || ἀγρευθῆναι Pa || ὑφ' ἑτέρου πρὸς θάνατον Me Mf || 10 Ὁ μῦθος δηλοῖ ὅτι οὕτως Mj || τοῖς ἐχθροῖς Ma || τοῖς πέλας ἐπιβουλεύοντες φθάνουσι τούτοις αὐτοὶ περιπίπτοντες Pg || βουλὰς (ἐπιβουλὰς Ph) τεκταίνοντες (-νουσι Mj) Pf Ph Me Mf Mj || 11 αὐτοῖς Pf.

Aliter.

Ἰξευτὴς ἀναλαβὼν ἰξὸν καὶ τοὺς καλάμους ἐξῆλθε πρὸς ἄγραν. Θεασάμενος δὲ κίχλαν ἐπί τινος δένδρου ὑψηλοῦ καθημένην, ταύτην συλλαβεῖν ἠβουλήθη. Καὶ δὴ συνάψας εἰς μῆκος τοὺς καλάμους ἀτενὲς ἔβλεπεν πρὸς τὸν ἀέρα. Καὶ δὴ πρὸς τοὺς πόδας αὐτοῦ ἀσπὶς κοιμωμένη εὑρεθεῖσα, ἐπάτησεν αὐτήν. Ἡ δὲ στραφεῖσα ἔδακεν αὐτόν. Ὁ δὲ

Codd. Ch 62 Cb 55 Ce 58 Cf 62 Mh 54.

1 ἰξὸν ἀναλαβὼν Cb || εἰς ἄγραν Ce Mh || 2 δὲ om. Cb || ὑψηλοῦ καθημένην om. Ce || 3 δὴ ante συνάψας om. libri excepto Cb || 4 ἀτενίσας Cb -νίζων Ce Cf Mh || 5 ἀσπὶν κοιμωμένην Ch || εὑρεθὲν ἀσπὶς κοιμωμένη ἤ τι ἐξέφνης ἔδηξεν αὐτόν Mh || 6 ἔδωκεν Cb.

Digitized by Google

λιποψυχῶν ἔφη μετὰ στεναγμοῦ· « Ἄθλιος ἐγώ, ὃς ἕτερον θηρεῦσαι βουλόμενος αὐτὸς ἠγρεύθην εἰς θάνατον. »

Ὁ μῦθος δηλοῖ ὅτι οἱ τοῖς πέλας ἐπιβουλεύοντες λανθάνουσι πολλάκις καὶ μεταστρέφεται ἐπ' αὐτοὺς ἡ κακία αὐτῶν.

7 λυποψυχήσας Cb || Λυποψυχήσας δὲ ἀπὸ τοῦ δήγματος Mh || Ὁ ἄθλιος ἐγὼ ὡς Cf || ὄντος ἐγώ Mh || ὡς Cb Ce || **8** αὐτὸς om. Ce || ἠγρεύθη Cb || **9** Epi. corruptum || Ὅτι Cb || τοὺς πέλας Ch Cb Ce Cf || **10** καὶ ἡ κακία εἰς αὐτοὺς ἐπιστρέφει Ce || ἐπ' αὐτῶν Cb Cf || κακία τούτων Cb || **11** αὐτῶν om. Cf || **9-11** Ὁ μῦθος δηλοῖ ὅτι τοῖς πλησίον ἐπιβουλεύοντες λανθάνοντες εἰς ἑαυτοὺς ἡ κακία αὐτῶν μεταστρέφεται, οἷον ὡς τὸ ἐπέστρεψ' ὁ πὸ αὐτοῦ Mh.

Aliter.

Ἰξὸν λαβὼν ἰξευτὴς καὶ τοὺς καλάμους
κίχλαν τε εἶδεν ἐν φύτῳ καθημένην,
καὶ τήνδ' ἀγρεῦσαι βουληθεὶς ὁ τεχνίτης
τοὺς καλάμους συνῆψεν εἰς μῆκος ἄρας
καὶ τὸν ἰξὸν ἔπεμπεν ἄνω πρὸς κίχλαν,
καὶ πρὸς ὕψος ἔβλεπεν ἀγρεύων κίχλαν.
Ἀλλ' ἐπὶ ποδῶν ἀσπὶς ἦν κοιμωμένη·
τὴν δ' οὐ προιδὼν πεπάτηκεν εἰς κάραν.
Ἡ δὲ στραφεῖσα δάκνει τὸν πόδα τούτου,
καὶ λιποψυχῶν ἐν στεναγμῷ ἐβόα·
« Θηρεῦσαι θέλων ἄλλον αὐτὸς ἠγρεύθην. »

[Ὁ λόγος οὗτος δηλοῖ ὅτι]

βόθρον ἄλλῳ ὀρύσσων αὐτὸς ἐμπέσῃ.

Cod. Cd 53.

1 Ὀξὼν pro Ἰξὸν cod. || **4** εἰς μῆκος ἄρας nos : εἰ ὁ μῆκος ἆραι cod. || **8** προσειδὼν πέπαχεν cod. || **13** ὁ βόθρον cod. || ἐμπέσει cod.

Aliter.

Ἰξευτὴς καὶ ἔχις.

Ἰξευτὴς ἰξὸν ἀναλαβὼν καὶ καλάμους πρὸς ἄγραν ἐξῆλθεν. Ἰδὼν δὲ κίχλαν ἐφ' ὑψηλοῦ δένδρου καθεζομένην καὶ τοὺς καλάμους ἀλλήλοις ἐπὶ μῆκος συνάψας, ἄνω πρὸς αὐτὴν συλλαβεῖν βουλόμενος ἐφεώρα. Καὶ δὴ λαθὼν ἔχιν

Codd. La 32 Lb 60 Lc 60 Ld 22 Le 60 Lf 32 Lg 60 Lh 24 Mc 54 Md 59 Mg 83 Ml 78 Mm 75 Mn 22.

1 εἰς ἄγραν Lc Ld Lf Lg Mc Mm Mn || **4** ἐρεώρα La Lb Lc Mc Mg ἀφ- ceteri || ἔχων pro ἔχιν Lb.

Digitized by Google

κοιμωμένην ὑπὸ πόδας ἐπάτησε. Τῆς δ' ὀργισθείσης καὶ δακούσης αὐτόν, ἐκεῖνος ἤδη λειποψυχῶν ἔλεγε· « Δύστηνος ἐγώ· ἕτερον γὰρ θηρεῦσαι βουλόμενος, αὐτὸς ὑφ' ἑτέρου ἠγρεύθην εἰς θάνατον. »

Ὁ μῦθος δηλοῖ ὅτι οἱ τοῖς πέλας ἐπιβουλεύοντες λανθάνουσι πολλάκις ὑφ' ἑτέρων τοῦτ' αὐτὸ πάσχοντες.

5 κοιμημένην Lh κοιμένην Mn || τοὺς πόδας Lc Ld Mc Mm Mn || **6** ἤδει λιποψυχῶν Mc || ἤδη om. Lc || **7** ἐγώ· ἄλλους θηρεῦσαι Mc || **9** Ὁ μῦθος ὅτι Lh Ὅτι Mg || ὅτι οἱ om. Lc || τοὺς πέλας Ld Mc || **10** ταὐτὸ πάσχοντες Ld.

139

Ἵππος γέρων.

Γέρων ἵππος ἐπράθη πρὸς τὸ ἀλήθειν. Ζευχθεὶς δὲ ἐν τῷ μυλῶνι στενάζων εἶπεν· « Ἐκ ποίων δρόμων εἰς οἵους καμπτῆρας ἦλθον. »

Ὅτι μὴ λίαν ἐπαιρέσθω τις πρὸς τὸ τῆς ἀκμῆς ἢ τῆς δόξης δυνατόν· πολλοῖς γὰρ τὸ γῆρας ἐν κόποις ἀνηλώθη.

Codd. Ba 22 Bb 14.

4 ἐπαίρεσθαι codd.

Aliter.

Γέροντι ἵππῳ πολλὰ κεκμηκότι ταῖς στρατηγίαις τε καὶ ἱππηλασίαις ἡ τοῦ μυλῶνος ἀτέλεστος καὶ σφαιροειδὴς διεδέξατο χώρα, πολλὴν ἔχουσα τὴν δυσπάθειαν. Ὁ δὲ στενάζων εἶπεν· « Οἴμοι ἐγώ· ἐκ ποίας ταχυδρόμου ὁρμῆς ἐν ποίῳ μεθηρμόσθην καμπτῆρι πολυμόχθῳ. »

Ὅτι οὐ δίκαιον τὸ ἐπαίρεσθαι ἐπί τινι εὐημερίᾳ ἢ γενναιότητι.

Cod. Bc 17.

Aliter.

Ἵππος παλαιὸς ἐπράθη ἐν τῷ μύλῳ,
ὅστις καὶ ζευχθεὶς στενάζων οὕτως ἔφη·
« Ὢ τῆς συμφορᾶς· τί τῷ τάλᾳ συνέβη·
ἐκ γὰρ μεγέθους καὶ ἀνδρείας μεγάλης
καὶ εὐκλείας γε ἧς εἶχον ὁ πανώλης,
νῦν δὲ προσδοῦμαι τοῖς ξυλίνοις καμπτῆρσιν.

Cod. Pd 43.

6 προσδοῦμαι nos πρόσδεμαι cod.

Digitized by Google

Ὅτι οὐ δεῖ τινα ἐπαίρεσθαι ἐν δόξῃ· πολλοὶ γὰρ ἐν γήρᾳ ἀνηλώθησαν κόπῳ.

140

Ἵππος καὶ βοῦς καὶ κύων καὶ ἄνθρωπος.

Ζεὺς ἄνθρωπον ποιήσας ὀλιγοχρόνιον αὐτὸν ἐποίησεν. Ὁ δὲ τῇ ἑαυτοῦ συνέσει χρώμενος, ὅτε ἐνίστατο ὁ χειμών, οἶκον ἑαυτῷ κατεσκεύαζε καὶ ἐνταῦθα διέτριβε. Καὶ δή ποτε σφοδροῦ κρύους γενομένου, καὶ τοῦ Διὸς ὕοντος, ἵππος ἀντέχειν μὴ δυνάμενος ἧκε δρομαῖος πρὸς τὸν ἄνθρωπον, καὶ τούτου ἐδεήθη ὅπως σκέπῃ αὐτόν. Ὁ δ' οὐκ ἄλλως ἔφη τοῦτο ποιήσειν, ἐὰν μὴ τῶν οἰκείων ἐτῶν μέρος αὐτῷ δῷ. Τοῦ δὲ ἀσμένως παραχωρήσαντος, παρεγένετο μετ' οὐ πολὺ καὶ βοῦς, οὐδ' αὐτὸς δυνάμενος ὑπομένειν τὸν χειμῶνα. Ὁμοίως δὲ τοῦ ἀνθρώπου μὴ πρότερον ὑποδέξεσθαι φάσκοντος, ἐὰν μὴ τῶν ἰδίων ἐτῶν ἀριθμόν τινα παράσχῃ, καὶ αὐτὸς μέρος δοὺς ὑπεδέχθη. Τὸ δὲ τελευταῖον κύων ψύχει διαφθειρόμενος ἧκε, καὶ τοῦ ἰδίου χρόνου μέρος ἀπονείμας σκέπης ἔτυχε. Οὕτω τε συνέβη τοὺς ἀνθρώπους, ὅταν μὲν ἐν τῷ τοῦ Διὸς χρόνῳ γένωνται, ἀκεραίους τε καὶ ἀγαθοὺς εἶναι· ὅταν δὲ εἰς τὰ τοῦ ἵππου ἔτη γένωνται, ἀλαζόνας τε καὶ ὑψαύχενας εἶναι· ἀφικνουμένους δὲ εἰς τὰ τοῦ βοὸς ἔτη, ἀρχικοὺς ὑπάρχειν· τοὺς δὲ τὸν τοῦ κυνὸς χρόνον ἀνύοντας ὀργίλους καὶ ὑλακτικοὺς γίνεσθαι.

Τούτῳ τῷ λόγῳ χρήσαιτο ἄν τις πρὸς πρεσβύτην θυμώδη καὶ δύστροπον.

Codd. Pb 104 Pg 67.

4 γινομένου Pg || **5** δρομαίως Pg || **7** ἐὰν μὴ τῶν ἰδίων Pg || εἰ Pb || **9** καὶ ὁ βοῦς Pg || **14** αὐτῷ ἀπονείμας Pg || Οὕτω γὰρ συμβαίνει Pg || **18** ἐπὶ δὲ τὸν τοῦ κυνὸς χρόνον διανύοντας, ὀλίγους Pg || **21** Οὗτος ὁ λόγος ἁρμόττει πρὸς Pg.

Digitized by Google

Aliter.

Ἵππος καὶ βοῦς καὶ κύων ὑπὸ ψύχους στενούμενοι ἦλθον εἰς ἀνθρώπου τινὸς οἰκίαν. Ὁ δὲ δεξάμενος αὐτοὺς καὶ πῦρ ἀνάψας ἔθαλψεν. Καὶ τῷ μὲν ἵππῳ κριθὰς παρετίθει, τῷ δὲ ταύρῳ ἄχυρα· τῷ δὲ κυνὶ τὰ ἀπὸ τῆς τραπέζης ἐδίδου. Διὰ δὲ τὴν τοιαύτην φιλοξενίαν ἀντημείψαντο αὐτῷ χάριτας, μερίσαντες αὐτῷ καὶ χαρισάμενοι τῶν ἐτῶν ἐφ' ὧν ἔζων· ὁ μὲν ἵππος εὐθὺς τοὺς πρώτους χρόνους· διὰ τοῦτο ἕκαστος θερμὸς καὶ γαυρός ἐστι τῇ γνώμῃ· ὁ δὲ βοῦς μετ' αὐτὸν τοὺς μέσους χρόνους· διὰ τοῦτο μοχθηρὸς καὶ φιλεργός ἐστι πλοῦτον ἀθροίζων· τρίτος δὲ ὁ κύων τοὺς τελευταίους χρόνους· διὰ τοῦτο πᾶς γηράσκων δύσκολός ἐστι τῇ γνώμῃ, καὶ τὸν διδόντα μόνον τροφὴν ἀγαπᾷ καὶ σαίνει καὶ ἐπιχαίρει, τοῖς δὲ μὴ διδοῦσι καθυλακτεῖ καὶ καθάπτεται.

Ὅτι τινὲς τῶν ἀνθρώπων φαῦλοι ὄντες καὶ κακοὶ [ἐκείνους] εἰώθασι μόνους φιλεῖν τοὺς διατρέφοντας αὐτούς.

Codd. Ba 58 Bb 35 Mb 68.

4 ἐπὶ τῆς τραπέζης Bb Mb || **6** μερίσαντες καὶ χαρισάμενοι αὐτῷ Bb || **7** καὶ ὁ μὲν ἵππος Bb || **8** τὴν γνώμην Mb || **10** ἀθροῖσθαι Mb || **12** τῇ γνώμῃ om. Ba Mb || καὶ ante τὸν διδόντα om. Mb || **15** ἐκείνοις Bb || **16** μόνους om. Bb.

141

Ἵππος καὶ ἱπποκόμος.

Κριθὴν τὴν τοῦ ἵππου ὁ ἱπποκόμος κλέπτων καὶ πωλῶν τὸν ἵππον ἔτριβεν, ἐκτένιζεν πᾶσαν ἡμέραν. Ἔφη δὲ ὁ ἵππος· « Εἰ θέλεις ἀληθῶς καλὸν εἶναί με, τὴν κριθὴν τὴν τρέφουσάν με μὴ πώλει. »

Ὅτι οἱ πλεονέκται τοῖς πιθανοῖς λόγοις καὶ ταῖς κολακείαις τοὺς πένητας δελεάζοντες ἀποστεροῦσιν αὐτοὺς καὶ τῆς ἀναγκαίας χρείας.

Codd. Ba 67 Bb 43.

1 ὁ ἱπποκόπος Bb || **2** ἔτριβε καὶ ἐκτένιζε πάσας ἡμέρας Bb || **4** με om. Bb || **6** τοῦ πένητος Ba || δελεάζονται καὶ ἀποστεροῦσιν Bb.

Digitized by Google

Aliter.

Κριθὰς τοῦ ἵππου ὁ ἱπποκόμος κλέπτων διεπώλει, τὸν δὲ ἵππον ψήκτραις διέτριβε. Ὁ δὲ εἶπεν· « Εἰ θέλεις ὡραῖον εἶναί με, τὰς κριθὰς ἃς ἐσθίω μὴ κλέπτε. »

Cod. Bd 33.

1 ψήκτραις nos ψυκτῆρσι cod.

142

Ἵππος καὶ ὄνος.

Ἄνθρωπός τις εἶχεν ἵππον καὶ ὄνον. Ὁδευόντων δέ, ἐν τῇ ὁδῷ εἶπεν ὁ ὄνος τῷ ἵππῳ· « Ἆρον ἐκ τοῦ ἐμοῦ βάρους, εἰ θέλεις εἶναί με σῶν. » Ὁ δὲ οὐκ ἐπείσθη· ὁ δὲ ὄνος πεσὼν ἐκ τοῦ κόπου ἐτελεύτησε. Τοῦ δὲ δεσπότου πάντα ἐπιθέντος αὐτῷ καὶ αὐτὴν τὴν τοῦ ὄνου δοράν, θρηνῶν ὁ ἵππος ἐβόα· « Οἴμοι τῷ παναθλίῳ, τί μοι συνέβη τῷ ταλαιπώρῳ; μὴ θελήσας γὰρ μικρὸν βάρος λαβεῖν, ἰδοὺ ἅπαντα βαστάζω, καὶ τὸ δέρμα. »

Ὁ μῦθος δηλοῖ ὅτι τοῖς μικροῖς οἱ μεγάλοι συγκοινωνοῦντες οἱ ἀμφότεροι σωθήσονται ἐν βίῳ.

Codd. La 129 Ld 9 Lf 129 Ma 153 Mc 16 Md 23 Me 27 Mf 26 Mh 16 Mi 58 Mk 17 Mm 23 Mn 9.

2 εἶπεν ὁ ἵππος τῷ ὄνῳ Mk || τοῦ ἵππου pro τῷ ἵππῳ Mn || Ἆρον μικρὸν Mm || Ἆρον ἀπ' ἐμοῦ ἐκ τοῦ βάρους Mc || 3 με om. Ld Lf Me Mk Mn σε Mh || σῶον Ld M excepto Mc || Ὁ δὲ ὄνος ... ἐτελεύτησε om. Ma || 4 ἐκ τοῦ κόπου αὐτοῦ Mh || Ὁ δὲ δεσπότης πάντα ἐπιθεὶς καὶ Ld Lf M (sed Mh inseruit τῷ ἵππῳ ante πάντα, Mc post ἐπιθεὶς || Ὁ δὲ δεσπότης τῷ ἵππῳ πάντα ἐπιθεὶς θρηνεῖν τὸν ἵππον ἐποίησε, καὶ ἐβόα· « Πάντα βαστάζω καὶ αὐτὴν τὴν τοῦ ὄνου δοράν Mk || 5 τοῦ ante ὄνου om. La Ld Me Mf || 6 στενάζων καθ' ἑαυτὸν ὁ ἵππος ἔλεγεν· « Τί μοι συνέβη Mc || 7 μὴ θελήσας σύ γει μικρὸν λαβεῖν τοῦ βάρους καὶ τὸ δέρμα ἔλαβων Mh || 9 Ὅτι καὶ τοῖς μικροῖς Lf || ὅτι καὶ Me || 10 ἐν βίῳ σωθήσονται Mm σωθήσονται τῷ βίῳ Mh || 9-10 ... εἰ οἱ μεγάλοι τοῖς μικροῖς συγκοινωνοῖεν, ἀμφότεροι ἐν τῷ βίῳ σωθήσονται ἐν τῷ βίῳ Mk.

Aliter.

Ἄνθρωπος πάλαι ἵππον εἶχε καὶ ὄνον.
Οἱ δὲ ὥδευον μετὰ πολλοῦ τοῦ βάρους.
Καὶ δὴ ἡ ὄνος πρὸς τὸν ἵππον ἐβόα·
« Λάβε τοῦ βάρους καὶ κούφισον ὀλίγον·
οὐ γὰρ δύναμαι ταῦτα πάντα βαστάζειν,
καί, εἰ μὲν βούλει, ζήσομεν ἐν τῷ βίῳ·
εἰ δ' οὐ πεισθῇς μοι, ὄψει με τεθνηκυῖαν. »
Ὁ δ' οὐκ ἐπείσθη ἐλεῆσαι τὴν ὄνον,
καὶ παραχρῆμα θανοῦσα ἐπεπτώκει.
Τοῦ δὲ κυρίου θέντος πάντα τῷ ἵππῳ,
θρηνῶν ἐβόα· « Οἴμοι τῷ παναθλίῳ,
τί μοι συνέβη ἄρτι τῷ ταλαιπώρῳ ;
μὴ θελήσας γὰρ μικρὸν λαβεῖν τοῦ βάρους,
ἰδοῦ ἅπαντα βαστάζω καὶ τὸ σάγμα. »
[Ὁ μῦθος δηλοῖ ὅτι]
τοῖς μικροῖς οἱ μεγάλοι συγκοινωνοῦντες
ἀμφότεροι σωθήσονται ἐν τῷ βίῳ.

Codd. Ch 18 Ca 24 Cc 15.

1 πάλιν Ch Ca || **1-3** Ἵππον τις ἔχων καὶ ὄνον, τὴν ὄνον ὁδεύων ἐπεφόρτισε. Ἡ δὲ βαρυνομένη πρὸς τὸν ἵππον ἐβόα Cc || **2 et 3** Ἐπεφόρτισε δὲ πλείω τὴν ὄνον, ἥτις δὴ καὶ ὁδεύσασα μετὰ πολλοῦ τοῦ βάρους πρὸς τὸν ἵππον ἐβόα Ca || **4** Λάβε ἀπὸ Ca Cc || κούφισόν με Ca || **5** om. Cc || **7** εἰ δ' οὖν ὄψει omisso πεισθῇς μοι Cc || **8 et 9** Τοῦ δὲ μὴ πεισθέντος, ἡ ὄνος ἐπεπτώκει καὶ ἀπέθανε Cc || **11** οὕτως (οὗτος Cc) θρηνῶν Ca Cc || οἴμοι τῷ παναθλίῳ om. Cc || Οὐαὶ οἴμοι Ca || **13** λαβεῖν om. Ch || τοῦ βάρους om. Cc || ἐκ τοῦ βάρους Ca || **14** ἰδοῦ σὺν τῷ σάκκῳ πάντα βαστάζω Cc || ἅπαντα βαστάζω σὺν τῷ σάκκῳ Ca || **15** Ὁ λόγος ὑποτίθησιν ὅτι Cc || **16** σμικροῖς Ca || **17** οἱ ἀμφότεροι Ca.

Aliter.

Ἄνθρωπος εἶχεν ὄνον τε καὶ ἵππον. Ὁδευόντων δέ, εἶπεν ὁ ὄνος τῷ ἵππῳ· « Ἆρον ἐκ τοῦ βάρους τοῦ ἐμοῦ, εἰ θέλεις εἶναί με σῶον· εἰ δὲ μή, θνήσκω. » Ὁ δὲ οὐκ ἐπείσθη. Ὁ δὲ ὄνος ἐκ τοῦ κόπου πεσὼν ἀπέθανεν. Τοῦ δὲ δεσπότου τῷ ἵππῳ ἅπαντα ἐπιθέντος, ἀλλὰ καὶ αὐτὴν τὴν τοῦ ὄνου δοράν, ὁ ἵππος εἶπεν· « Οἴμοι, μικρὸν οὐκ ἤθελον βάρος τοῦ ὄνου ἆραι, ἡ δὲ χρεία τὸ πᾶν μοι ἐπέθηκεν. »

Ὅτι τοῖς μικροῖς οἱ μεγάλοι κοινωνοῦντες καὶ συμπονοῦντες ἐν τῷ βίῳ ἀμφότεροι περισῴζονται.

Codd. Ba 12 Bb 7.

5 πάντα Bb || **6** τοῦ om. Bb.

Digitized by Google

Aliter.

Ἀνήρ τις ὄνου τε καὶ ἵππου κύριος ἦν. Μακρὰν οὖν στελλομένων πορείαν, ὁ ὄνος ἦν βιαίως ἀχθηφορῶν· διὸ ἔφησε πρὸς τὸν ἵππον· « Συγκάμφθητί μοι, καὶ ἆρον μικρόν τι ἐκ τοῦ φόρτου μου, εἰ μὴ θανεῖν με βούλει παρὰ καιρόν. » Τοῦ ἵππου δὲ μὴ πεισθέντος, ἡ προφήτεια τοῦ ὄνου εἰς ἔργον ἀπέβη, καὶ ἐθανατώθη ὁ ὄνος κατάκοπος γεγονώς. Ἅπαν τοίνυν τὸ βάρος μετὰ καὶ τῆς τοῦ τεθνηκότος δορᾶς ὁ ἵππος ἦρε καὶ μὴ βουλόμενος· ὅθεν καὶ ἀπεκλαίετο λέγων· « Οἴμοι ὁ ἄθλιος, τί πέπονθα ; μικρᾶς γάρ τινος βοηθείας τὸν ὄνον μὴ ἀξιώσας, ἑαυτῷ μεγάλης ἀχθηφορίας παραίτιος γέγονα· πείσομαι δή ποτε καὶ αὐτὸς τὸ τοῦ ὄνου καὶ ἄωρος ἐξ ἀμετρίας στερηθησόμενος τῆς ζωῆς. »

Ὅτι οἱ ἔνδοξοι τοῖς ταπεινοῖς κοινωνοῦντες ἐν βίῳ σῴζουσί τε καὶ σῴζονται.

Cod. Bc 10.

Aliter.

Ανθρώπου τινὸς ὄνον καὶ ἵππον ἐλόντος, συνέβη κατὰ τὴν ὁδὸν τὸν ὄνον ἐκ τοῦ βάρους τοῦ φορτίου ἀποκαμεῖν, καὶ τὸν ἵππον παρεκάλει ὀλίγον ἐκ τοῦ βάρους αὐτοῦ ἀφελεῖν. Ὁ δὲ οὐκ ἐπείθετο. Τοῦ δὲ ὄνου μηκέτι δυναμένου, ἀλλ' ὑπὸ τοῦ κόπου ἀποθανόντος, ὁ τοῦ ἵππου δεσπότης οὐ μόνον ἅπερ ὁ ὄνος ἐβάσταζεν, ἀλλὰ καὶ αὐτὴν ⟨τὴν⟩ τοῦ ὄνου δορὰν τῷ ἵππῳ ἐπέθετο. Στενάξας δὲ ὁ ἵππος ἔφη· « Οἴμοι, ὅτι μικρὸν βάρος μὴ θελήσας βαστάσαι, αὐτὰ τοῦ ὄνου πάντα καὶ αὐτὸν τὸν ὄνον ἀναγκάζομαι βαστάζειν.

Cod. Bd 2.

7 τὴν addidi.

Aliter.

Ὄνος καὶ ἡμίονος.

Ὀνηλάτης ἐπιθεὶς ὄνῳ καὶ ἡμιόνῳ γόμους ἤλαυνεν. Ὁ δὲ ὄνος, μέχρι μὲν πεδίον ἦν, ἀντεῖχε πρὸς τὸ βάρος. Ὡς δὲ ἐγένοντο κατά τι ὄρος, ὑποφέρειν μὴ δυνάμενος

Codd. Pa 180 Pb 177 Mb 153 Ca 133.

1 τοὺς γόμους Mb || **2** Ὅς δὲ ὄνος Mb || μέχρι μὲν λεῖος τόπος ἦν Pb || **3** ἐγένοντο Ca ἐγένετο ceteri || κατάπορος pro κατά τι ὄρος Pa κατά τινα κρημνό, Pb || μὴ δυνάμενος ὑποφέρειν Pb Mb Ca.

Digitized by Google

παρεκάλει τὴν ἡμίονον μέρος τι τοῦ γόμου αὐτοῦ προσδέξασθαι, ἵνα τὸ λοιπὸν αὐτὸς διακομίσαι δυνήσηται. Τῆς δὲ παρ' οὐδὲν θεμένης αὐτοῦ τοὺς λόγους, ὁ μὲν κατακρημνισθεὶς διερράγη. Ὁ δὲ ὀνηλάτης ἀπορῶν ὅ τι ποιήσει, οὐ μόνον τοῦ ὄνου τὸν γόμον τῇ ἡμιόνῳ προσέθηκεν, ἀλλὰ καὶ αὐτὸν τὸν ὄνον ἐκδείρας ἐπεσώρευσε. Καὶ ἡ οὐ μετρίως καταπονηθεῖσα ἔφη πρὸς αὐτήν· « Δίκαια πέπονθα· εἰ γὰρ παρακαλοῦντι τῷ ὄνῳ μικρὰ κουφίσαι ἐπείσθην, οὐκ ἂν νῦν μετὰ τῶν φορτίων αὐτοῦ καὶ αὐτὸν ἔφερον. »

Οὕτω καὶ τῶν δανειστῶν ἔνιοι διὰ φιλαργυρίαν, ἵνα μικρὰ τοῖς χρεώσταις μὴ παράσχωσι, πολλάκις καὶ αὐτὸ τὸ κεφάλαιον ἀπολλῦσιν.

4 τὸν ἡμίονον Mb || 5 δυνήσεται Pa δυνηθῇ Mb Ca || διακομίσηται, omisso δυνηθῇ Pb || 7 τί ποιήσει Mb τὸ τί ποιήσῃ Ca || 8 τὸν γόμον τοῦ ὄνου Pb || τῷ ἡμιόνῳ Pb || ἀλλὰ τὴν βύρσαν τῇ ἡμιόνῳ ἐπέστρωσεν Mb ἀλλὰ καὶ τὴν βύρσαν τοῦ ὄνου ἐπεσώρευσεν Ca || 9 ἐκδείρας ἐπέθηκεν αὐτῇ Pb || Ἡ δὲ pro Καὶ ἡ Pb Mb Ca || 10 πρὸς αὐτὴν Pa om. Mb Ca || 11 τῷ ὄνῳ om. Pa Ca || μικρὸν Mb Ca || κουφίσασθαι Ca || 12 μετα τῶν φορτίων αὐτοῦ nos μετ' αὐτῶν φορτίον αὐτοῦ Pa || τῶν αὐτοῦ φορτίων Pb τοῦ αὐτοῦ φορτίου Ca τοῦ φορτίου αὐτοῦ Mb || 13 ἵνα μικρὰ ἐπιτόκια λάβωσι, πολλάκις Mb Ca || 15 ἀπολλύουσιν Pb προσαπόλλουσι Ca.

143

Ἵππος καὶ στρατιώτης.

Ἵππον τὸν ἑαυτοῦ στρατιώτης, ἕως μὲν καιρὸς τοῦ πολέμου ἦν, ἐκρίθιζεν, ἔχων συνεργὸν ἐν ταῖς ἀνάγκαις. Ὅτε δὲ ὁ πόλεμος κατέπαυσεν, εἰς δουλείας τινὰς καὶ φόρτους βαρεῖς ὁ ἵππος ὑπούργει, ἀχύρῳ μόνῳ τρεφόμενος. Ὡς δὲ πάλιν πόλεμος ἠκούσθη καὶ ἡ σάλπιγξ ἐφώνει, τὸν ἵππον χαλινώσας ὁ δεσπότης καὶ αὐτὸς καθοπλισθεὶς ἐπέβη. Ὁ δὲ συνεχῶς κατέπιπτε μηδὲν ἰσχύων· ἔφη δὲ τῷ δεσπότῃ· « Ἄπελθε μετὰ τῶν πεζῶν [τῶν] ὁπλιτῶν ἄρτι· σὺ γὰρ ἀφ' ἵππου εἰς ὄνον με μετεποίησας, καὶ πῶς πάλιν ἐξ ὄνου ἵππον θέλεις ἔχειν; »

Cod. Ba 57.

1 τῶν inclusi.

Digitized by Google

῞Οτι ἐν καιρῷ ἀδείας καὶ ἀνέσεως τῶν συμφορῶν οὐ δεῖ ἐπιλανθάνεσθαι.

Aliter.

Ἔτρεφε τὸν ἑαυτοῦ ἵππον στρατιώτης, ἕως καιρὸς πολέμου ἦν. Παυσαμένου δὲ τοῦ πολέμου, ἀχύροις καὶ μόνοις ἔτρεφε, φορτίοις μεγάλοις καταβαρύνων. Ὡς δὲ πάλιν καιρὸς πολέμου ἐπέστη, ὁπλισάμενος τὸν ἵππον ἀναβὰς ἔτρεχε. Τοῦ δὲ ἵππου συνεχῶς καταπίπτοντος, ἐδυσχέραινε. Ὁ δὲ ἵππος αὐτῷ ἔφη· « Ἄπελθε, ὦ δέσποτα, πεζὸς πολεμήσων· σὺ γὰρ ἀφ' ἵππου ὄνον με πεποίηκας, χυδαίαις ἐργασίαις καταβαρύνων, καὶ πῶς πάλιν ἐξ ὄνου ἵππον με θέλεις ἔχειν ;

Cod. Bd 29.

1 Ἔτρεφε cod. uix rectum, fortasse Ἐκρίθιζε uel Ἔτρεφε κριθῇ.

144

Ἵππος καὶ σῦς ἄγριος.

Οὔπω χαλινὸν ἵππος ᾔδει, οὐδὲ νῶτον ἀνθρώπῳ παρεῖχε πρὸς καθέδραν. Σῦς δὲ αὐτὸν ἄγριος ἔβλαπτε, τὴν χλόην ἣν ἐνέμετο κόπτων καὶ κατορύσσων καὶ τὸ ὕδωρ ταράσσων ἔνθα ἔπινε. Διὰ τοῦτο ὁ μωρὸς ἵππος πρὸς ἄμυναν τοῦ ἠδικηκότος συὸς διεγερθεὶς φιλίαν ἐσπείσατο μετὰ ἀνδρὸς ποικίλου, βοηθεῖν δὲ ἔλεγεν αὐτῷ καὶ ἐκδικεῖν κατὰ τοῦ βλάπτοντος ἐχθροῦ. Ὁ δὲ εἶπεν· « Ὅρκῳ πίστωσόν με ὃ λέγω σοι ποιήσειν. » Ὁ δὲ ἵππος ἐπείσθη. Ὁ δὲ εἶπεν· « Οὐ δυνατόν με πεζὸν ὄντα καταπολεμῆσαι τοῦτον· ἀλλ' ἐὰν χαλινὸν δέξῃ καὶ ⟨με⟩ τοῖς νώτοις σου βαστάσῃς καὶ δῷς ὅπως σε κάμπτω καὶ τρέχοντα κωλύω, ἐλπίζω τότε τὸν σῦν εὐκόλως ἀναιρήσειν. » Ὁ δὲ ἵππος ὑπὸ ὀργῆς τὰς

Cod. Ba 117.

3 κατωρρύσσων cod. || 6 ἐκδικεῖν nos -κήσειν cod. || 10 με addidit Hartel.

Digitized by Google

φρένας τυφλωθεὶς παρέδωκεν ἑαυτὸν καὶ ὕπο τοῦ δοκοῦντος ὠφελεῖν ἐχειρώθη.

Ὅτι θυμὸς οἶδεν δουλῶσαι καὶ ταπεινῶσαι ἄνδρα γενναῖον καὶ πρὸς ἄμυναν [γενέσθαι] τοῦ ἀδικηκότος ⟨ὡρμημένον⟩.

16 γενέσθαι **inclusi et** ὡρμημένον **addidi.**

Digitized by Google

SOCIÉTÉ D'ÉDITION « LES BELLES-LETTRES »
95, Boulevard Raspail, PARIS
R. C. 17.053.

OUVRAGES DÉJA PUBLIÉS

1° COLLECTION DES UNIVERSITÉS DE FRANCE

L'Odyssée, 6 vol. (texte-traduction et Introduction), par M. V. Bérard.
Pindare, 4 vol., par M. A. Puech.
Eschyle, 2 vol., par M. P. Mazon.
Sophocle, 2 vol., par M. P. Masqueray.
Euripide, tomes III et IV, par MM. H. Grégoire et L. Parmentier.
Aristophane, tomes I et II, par MM. V. Coulon et H. Van Daële.
Antiphon, par M. L. Gernet.
Lysias, tome I, par MM. L. Gernet et M. Bizos.
Isée, par M. P. Roussel.
Platon, tome I, par M. M. Croiset.
Platon, tomes II et III, par M. A. Croiset.
Platon, tome VIII 1-2-3, par M. A. Diès.
Platon, tome X, par M. A. Rivaud.
Démosthène, *Harangues*, 2 vol., par M. M. Croiset.
Aristote, *Constitution d'Athènes*, par M. B. Haussoullier et G. Mathieu.
Théophraste, *Caractères*, par M. O. Navarre.
Callimaque, par M. E. Cahen.
Marc-Aurèle, par M. A.-I. Trannoy.
Plotin, tomes I, II, III, par M. E. Bréhier.
L'Empereur Julien, tome I, 2e partie. *Lettres*, par M. J. Bidez.
Lucrèce, 2 vol., par M. A. Ernout.
Catulle, par M. G. Lafaye.
Cicéron, *Discours*, tomes I, II, III, IV, par M. H. de la Ville de Mirmont.
Cicéron, *L'Orateur*, par M. H. Bornecque.
Cicéron, *De l'orateur*, tome I, par M. E. Courbaud.
Cicéron, *Brutus*, par M. J. Martha.
Cicéron, *Divisions de l'Art oratoire, Topiques*, par M. H. Bornecque.
Salluste, *Catilina, Jugurtha*, par Mlle Ornstein et M. J. Roman.
Cornelius Népos, par Mlle A. M. Guillemin.
Virgile, *Bucoliques*, par M. H. Goelzer.
Le Poème de l'Etna, par M. J. Vessereau.
Ovide, *L'Art d'aimer*, par M. H. Bornecque.
Tibulle, par M. M. Ponchont.
Phèdre, par Mlle A. Brenot.
Sénèque, *de la Clémence*, par M. F. Préchac.
Sénèque, *Dialogues*, tomes I et II, par M. A. Bourgery.
Sénèque, *Dialogues*, tome III, par M. R. Waltz.
Sénèque, *Théâtre I*, par M. L. Herrmann.
Pétrone, par M. A. Ernout.
Tacite, *Histoires*, 2 vol., par M. H. Goelzer.
Tacite, *Opera minora*, par MM. H. Goelzer, H. Bornecque et G. Rabaud.
Tacite, *Annales*, 3 vol., par M. H. Goelzer.
Perse, par M. A. Cartault.
Juvénal, par MM. P. de Labriolle et F. Villeneuve.
Apulée, tome I, par M. P. Vallette.
Saint-Cyprien, *Correspondance*, 2 vol., par M. Bayard.
Saint-Augustin, *Confessions*, t. I, par M. P. de Labriolle.

Digitized by Google

2° COLLECTION D'ÉTUDES ANCIENNES

Histoire de la littérature latine chrétienne (2e édition), par M. P. de Labriolle.

Règles pour editions critiques, par M. L. Havet.

Sur les traces de Pausanias, par Sir J. G. Frazer.

Sénèque prosateur, par M. A. Bourgery.

La Louve du Capitole, par M. J. Carcopino.

Le Théâtre de Sénèque, par M. Léon Herrmann.

Octavie. *Tragédie prétexte,* par M. Léon Herrmann.

Les idées politiques d'Isocrate, par M. G. Mathieu.

3° COLLECTION DE COMMENTAIRES D'AUTEURS ANCIENS

Théophraste, *Caractères, Commentaire, exégétique et critique,* par M. O. Navarre.

Lucrèce, *Commentaire,* tome I par MM. A. Ernout et L. Robin.

4° COLLECTION DE TEXTES ET DOCUMENTS

Iuliani imperatoris Epistulae, Leges, Poematia, Fragmenta varia. coll. rec. I. Bidez et Fr. Cumont.

De Re Metrica tractatus graec. inediti, cong. rec. W. J. W. Koster.

Le Maroc chez les Auteurs anciens, par M. R. Roget.

5° COLLECTION NÉO-HELLÉNIQUE

Histoire de la Littérature grecque moderne, par M. D.-C. Hesseling.

Chrestomathie néo-hellénique, par MM. D.-C. Hesseling et H. Pernot.

Pages choisies des Évangiles, par M. H. Pernot.

Voyage en Turquie et en Grèce, du R. P. Robert de Dreux, publié par M. H. Pernot.

6° COLLECTION DE LITTÉRATURE GÉNÉRALE

Guillaume Budé et les Origines de l'humanisme en France, par J. Plattard.

L'Adolescence de Rabelais en Poitou. par J. Plattard.

Méthodes de l'Histoire Littéraire. par Gustave Lanson.

Description phonétique du présent et du verbe, par M. Henry Bargy.

A Coblence, par M. Pierre de Vaissière.

Krupp et Thyssen, par M. Raphaël.

La politique rhénane de Vergennes, par M. G. Grosjean.

Misère et splendeur des finances allemandes, par M. Valery de Moriès.

Gœthe en Alsace, par M. J. de Pange.

L'Œuvre de l'Espagne en Amérique. par M. Carlos Perreyra.

La Conquête des routes océaniques, par M. Carlos Perreyra.

Sir Roger de Coverley et autres Essais littéraires, par Sir J. G. Frazer.

Les Mémoires de Jean-Chrysostome Pasek, par P. Cazin.

Adam Mickiewicz et le Romantisme, par S. Szpotanski.

Correspondance inédite de Mickiewicz, par Ladislas Mickiewicz.

Les Têtes de chien, par Jirasek.

7° COLLECTION DU MONDE HELLÉNIQUE

Délos, par M. P. Roussel.

Delphes, par M. E. Bourguet.

Digitized by Google

COLLECTION SHAKESPEARE

Publiée sous la direction de A. Koszul.
Textes anglais et français en regard.

Volumes publiés :

Macbeth. — Traduction de J. Derocquigny, Professeur à l'Université de Lille (*Prix Montyon* 1923). . . . . 7 fr. »

Les Sonnets. — Traduction de Charles-Marie Garnier (*Prix Denfer* 1924). . . . . 7 »

Comme il vous plaira. — Traduction de Lucien Wolff, Docteur ès-lettres. . . . . 7 »

Le Soir des Rois. — Traduction de Félix Sauvage. . . . . 7 »

Le Marchand de Venise. — Traduction de Mme Lebrun-Sudry. 7 »

Roméo et Juliette. — Traduction de A. Koszul, Professeur à l'Université de Strasbourg. . . . . 7 »

Troïlus et Cressida. — Traduction de René Lalou. . . .

Hamlet. — Traduction de J. Derocquigny. . . . . 8 »

Chaque volume, avec préface et annotations, est imprimé en rouge et noir sur beau papier, format in-16 cavalier, broché.

Il a été tiré de chaque volume après réimposition, 200 ou 150 exemplaires numérotés, sur vergé pur chiffon à grandes marges. Le volume. . . . 25 fr. »

COLLECTION DE LITTÉRATURE ANGLAISE

Dans les Sentiers de la Renaissance. — Par M. E. Legouis, Professeur à la Faculté des Lettres de Paris. . . . . . 7 fr. »

Le Drame de Massinger. — Par Maurice Chelli. . . . . 25 »

Digitized by Google

COLLECTION DES UNIVERSITÉS DE FRANCE

publiée sous le patronage de l'Association Guillaume BUDÉ

Couronnée par l'Académie française.

PLATON

ŒUVRES COMPLÈTES

VOLUMES DÉJA PUBLIÉS

		Exempl. numérotés sur papier Lafuma.
TOME I. — (Hippias mineur. — Albiciade. — Apologie de Socrate. — Euthyphron. — Criton.) Texte établi et traduit par M. M. Croiset, Membre de l'Institut, Administrateur du Collège de France. . . .	18 fr.	épuisé.
Le texte seul.	10	21 fr.
La traduction seule.	9	épuisé.
TOME II. — (Hippias majeur. — Lachès. — Lysis. — Charmide.) Texte établi et traduit par M. A. Croiset, Membre de l'Institut, Doyen honoraire de la Faculté des Lettres de Paris.	16	33
Le texte seul.	9	19
La traduction seule.	8	17
TOME III. — Première partie. — (Protagoras.) Texte établi et traduit par M. A. Croiset, Membre de l'Institut, Doyen honoraire de la Faculté des Lettres de Paris.	9	19
Le texte seul.	6	13
La traduction seule.	5	11
TOME III. — Deuxième partie. — (Gorgias. — Ménon.) Texte établi et traduit par M. A. Croiset, Membre de l'Institut, Doyen honoraire de la Faculté des Lettres de Paris..	16	33
Le texte seul.	9	19
La traduction seule.	8	17
TOME VIII. — Première partie. — (Parménide.) Texte établi et traduit par M. A Diès, Professeur aux Facultés catholiques de l'Ouest..	10	21
Le texte seul.	8	17
La traduction seule.	7	15
TOME VIII. — Deuxième partie. — (Théétète.) Texte établi et traduit par M. A. Diès, Professeur aux Facultés catholiques de l'Ouest.	12	25
Le texte seul.	7	15
La traduction seule.	6	13
TOME VIII. — Troisième partie. — (Le Sophiste.) Texte établi et traduit par M. A. Diès, Professeur aux Facultés catholiques de l'Ouest..	14	29
Le texte seul.	9	19
La traduction seule.	8	17
TOME X. — (Timée. — Critias.) Texte établi et traduit par M. A. Rivaud, Professeur à la Faculté des Lettres de Poitiers..	20	41
Le texte seul.	12	25
La traduction seule.	11	23

Digitized by Google

CHARTRES. — IMPRIMERIE DURAND, RUE FULBERT (11-1925).

Digitized by Google

Digitized by Google

339446
888
Ae8f
V.1
A000005792498
Digitized by Google

Gaylord
PAMPHLET BINDER
Syracuse, N. Y.
Stockton, Calif.

~~APR 1 9 1978~~ ILL

~~FEB 0 9 1981~~ ILL

Digitized by Google

A000005792498

Digitized by Google